ΔΗΜΟΣ Ι. Π. ΜΕΣΟΛΟΓΓΙΟΥ

ΒΑΛΒΕΙΟΣ
ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΤΡΟΠΟΣ ΑΠΟΚΤΗΣΗΣ:
ΔΩΡΕΑ
ΠΑΛΑΜΑΪΚΗΣ ΣΧΟΛΗΣ
ΗΜΕΡ. ΕΙΣΑΓΩΓΗΣ:
22-01-13
ΑΡΙΘΜΟΣ ΕΙΣΑΓΩΓΗΣ:
22.940
ΑΡΙΘ. ΤΑΞΙΝΟΜΗΣΗΣ:

# ΕΥΡΙΠΙΔΗΣ.

A.ε.22.940

# ΕΥΡΙΠΙΔΗΣ.

## ΠΑΡΑΦΡΑΣΘΕΙΣ, ΣΧΟΛΙΑΣΘΕΙΣ τε, ΚΑΙ ΕΚΔΟΘΕΙΣ

Ὑπὸ

ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.

ΕΙΣ ΤΟΜΟΥΣ ΕΞ.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΕΝ ΑΙΓΙΝΗι,
ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.

1834.

# ΑΝΔΡΟΜΑΧΗ.

# ΥΠΟΘΕΣΙΣ

ΝΕΟΠΤΟΛΕΜΟΣ ἐν Τροίᾳ γέρας λαβὼν Ἀνδρομάχην, τὴν Ἕκτορος γυναῖκα, παῖδα ἔτεκεν ἐξ αὐτῆς τὸν Μολοττόν. ὕστερον δὲ ἐπέγημεν Ἑρμιόνην, τὴν Μενελάου θυγατέρα. δίκας δὲ πρότερον ᾔτηκὼς τῆς Ἀχιλλέως ἀναιρέσεως τὸν ἐν Δελφοῖς Ἀπόλωνα, πάλιν ἀπῆλθεν ἐπὶ τὸ χρηστήριον, μετανοήσας, ἵνα τὸν θεὸν ἐξιλάσηται. ζηλοτύπως δ' ἔχουσα πρὸς τὴν Ἀνδρομάχην ἡ βασιλὶς, ἐβουλεύετο κατ' αὐτῆς θάνατον, μεταπεμψαμένη τὸν Μενέλαον· ἡ δὲ τὸ παιδίον μὲν ὑπεξέθηκεν, αὐτὴ δὲ κατέφυγεν ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος. οἱ δὲ περὶ τὸν Μενέλαον καὶ τὸ παιδίον ἀνεῦρον, καὶ ἐκείνην ἀπατήσαντες, ἀνήγειραν· καὶ σφάττειν μέλλοντες ἀμφοτέρους, ἐκωλύθησαν, Πηλέως ἐπιφανέντος Μενέλαος μὲν οὖν ἀπῆλθεν εἰς Σπάρτην· Ἑρμιόνη δὲ μετενόησεν, εὐλαβηθεῖσα τὴν παρουσίαν τοῦ Νεοπτολέμου. παραγενόμενος δὲ ὁ Ὀρέστης ταύτην μὲν ἀπήγαγε πείσας, Νεοπτολέμῳ δὲ ἐπιβούλευσεν· ὃν καὶ φονευθέντα παρῆσαν οἱ φέροντες. Πηλεῖ δὲ μέλλοντι τὸν νεκρὸν θρηνεῖν Θέτις ἐπιφανεῖσα, τοῦτον μὲν ἐν Δελφοῖς ἐπέταξε θάψαι, τὴν δὲ Ἀνδρομάχην εἰς Μολοσσοὺς ἀποστεῖλαι μετὰ τοῦ παιδὸς, αὐτὸν δὲ θανασίαν προσδέχεσθαι· τυχὼν δὲ ταύτης εἰς Μακάρων νήσους ᾤκισεν.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν Φθίᾳ κεῖται· ὁ δὲ χορὸς συνέστηκεν ἐκ Φθιωτίδων γυναικῶν· προλογίζει δὲ Ἀνδρομάχη. τὸ δὲ δρᾶμα τῶν δευτέρων· ὁ πρόλογος σαφῶς καὶ εὐλόγως εἰρημένος· ἔστι δὲ καὶ τὰ ἐλεγεῖα τὰ ἐν τῷ θρήνῳ τῆς Ἀνδρομάχης ἐν τῷ δευτέρῳ μέρει· ῥῆσις Ἑρμιόνης τὸ βασιλικὸν ἐμφαίνουσα· καὶ ὁ πρὸς Ἀνδρομάχην λόγος καλῶς ἔχων· εὖ δὲ καὶ ὁ Πηλεὺς, ὁ τὴν Ἀνδρομάχην ἀφελόμενος.

## ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΑΝΔΟΜΑΧΗ.
ΘΕΡΑΠΑΙΝΑ.
ΧΟΡΟΣ.
ΕΡΜΙΟΝΗ.
ΜΕΝΕΛΑΟΣ.
ΜΟΛΟΣΣΟΣ.
ΠΗΛΕΥΣ.
ΑΛΛΗ ΘΕΡΑΠΑΙΝΑ.
ΤΡΟΦΟΣ.
ΟΡΕΣΤΗΣ.
ΑΓΓΕΛΟΣ.
ΘΕΤΙΣ.

# ΑΝΔΡΟΜΑΧΗ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΑΝΔΡΟΜΑΧΗ, ΘΕΡΑΠΑΙΝΑ, ΧΟΡΟΣ, ΕΡΜΙΟΝΗ.

ΑΝ. ΑΣΙΑΤΙΔΟΣ γῆς σχῆμα, Θηβαία πόλις,
Ὅθεν πόθ' ἕδνων σὺν πολυχρύσῳ χλιδῇ
Πριάμου τύραννον ἑστίαν ἀφικόμην,
Δάμαρ δοθεῖσα παιδοποιὸς Ἕκτορι,
Ζηλωτὸς ἔν γε τῷ πρὶν Ἀνδρομάχη χρόνῳ,
Νῦν δ' οὔ τις ἄλλη δυστυχεστέρα γυνὴ
Ἐμοῦ πέφυκεν, ἢ γενήσεταί ποτε·
Ἥτις πόσιν μὲν Ἕκτορ' ἐξ Ἀχιλλέως
Θανόντ' ἐσεῖδον, παῖδά θ', ὃν τικτω πόσει,
Ῥιφθέντα πύργων Ἀστυάνακτ' ἀπ' ὀρθίων,
Ἐπεὶ τὸ Τροίας εἷλον Ἕλληνες πέδον·
Αὐτὴ δὲ δούλη, τῶν ἐλευθερωτάτων
Οἴκων νομισθεῖσ', Ἑλλάδ' εἰσαφικόμην,
Τῷ νησιώτῃ Νεοπτολέμῳ δορὸς γέρας

---

1. Σχῆμα] σχῆμα μὲν, τὸν κόσμον καὶ τὸ ἀξίωμα τῆς γῆς λεγει. Θήβας

# ΑΝΔΡΟΜΑΧΗ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ·

**ΑΝΔΡΟΜΑΧΗ, ΘΕΡΑΠΑΙΝΑ, ΧΟΡΟΣ, ΕΡΜΙΟΝΗ.**

**ΑΝ·** ΤΗΣ Ἀσιάτιδος σέμνωμα, Θηβαίων πόλις, ἐξ ἧς εἰς τὰ τοῦ Πριάμου σὺν ἁβρᾷ καὶ πλουσιωτάτῃ φερνῇ ποτε ἀφικόμην βασίλεια, Ἕκτορα γημαμένη, ἡ ἐν τῷ πρὶν μὲν χρόνῳ παρὰ πᾶσι ζηλωτὴ γενομένη, νῦν δ᾽ οὐκ οἶδα, εἴτις γέγονεν, ἢ γενήσεταί ποτε γυνὴ ἐμοῦ ἀθλιωτέρα· Ἕκτορά τε γὰρ αὐτὸν αὐτοῖς ὀφθαλμοῖς εἶδον ἀνῃρημένον ὑπ᾽ Ἀχιλλέως, καὶ Ἀστυάνακτα τὸν παῖδα, Τροίας πεσούσης, κατὰ τῶν πετρῶν ἐκριφθέντα τοῦ τείχους· ἐγὼ δ᾽ ἐλευθέρα ἐξ ἐλευθερωτάτων οὖσα, ἀπήχθην αἰχμάλωτος εἰς τὴν Ἑλλάδα, γέρας ἀρετῆς Νεοπτολέμῳ τῷ Νησιώτῃ ἀποκληρωθεῖσα ἐξαίρετον

---

δὲ, οὐ τὰς ἐν Θεσσαλίᾳ, ἀλλὰ τὴν ἐν Ἀσίᾳ Θήβην, ἧς ἐβασίλευεν Ἠετίων ὁ Ἀνδρομάχης πατήρ. 4 Παιδοποιὸς] νόμιμος γυνὴ, ἐξ ἧς οἱ παῖδες γενόμενοι γνήσιοι, διάδοχοι τῶν πραγμάτων ἐγίγνοντο, ἀποκλειομένων τῶν ἐκ παλλακίδων νόθων. 6. Νῦν δὲ οὔτις ἄλλη δυστυχεστέρα] οὕτως ἀντὶ τοῦ, Νῦν δ᾽, εἴτις δυστυχεστάτη. ἵνα μὴ ὁ ἑπόμενος στίχος ἀνακόλουθος ᾖ. 14. Τῷ νησιώτῃ] ἐν Σκύρῳ

Δοθεῖσα λείας Τρωϊκῆς ἐξαίρετον.
Φθίας δὲ τῆσδε καὶ πόλεως Φαρσαλίας
Ξύγχορτα ναίω πεδί', ἵν' ἡ θαλασσία
Πηλεῖ ξυνῴκει χωρὶς ἀνθρώπων Θέτις,
Φεύγουσ' ὅμιλον· Θεσσαλὸς δέ νιν λεὼς
Θετίδειον αὐδᾷ θεᾶς χάριν νυμφευμάτων,
Ἔνθ' οἶκον ἔσχε τόνδε παῖς Ἀχιλλέως,
Πηλέα δ' ἀνάσσειν γῆς ἐᾷ Φαρσαλίας,
Ζῶντος γέροντος σκῆπτρον οὐ θέλων λαβεῖν.
Κἀγὼ δόμοις τοῖσδ' ἄρσεν' ἐντίκτω κόρον,
Πλαθεῖσ' Ἀχιλλέως παιδὶ, δεσπότῃ τ' ἐμῷ.
Καὶ πρὶν μὲν ἐν κακοῖσι κειμένην, ὅμως
Ἐλπίς μ' ἀεὶ προσῆγε, σωθέντος τέκνου,
Ἀλκήν τιν' εὑρεῖν κἀπικούρησιν κακῶν·
Ἐπεὶ δὲ τὴν Λάκαιναν Ἑρμιόνην γαμεῖ,
Τοὐμὸν παρώσας δεσπότης δοῦλον λέχος,
Κακοῖς πρὸς αὐτῆς σχετλίοις ἐλαύνομαι.
Λέγει γὰρ, ὥς νιν φαρμάκοις κεκρυμμένοις
Τίθημ' ἄπαιδα, καὶ πόσει μισουμένην·
Αὐτὴ δὲ ναίειν οἶκον ἀντ' αὐτῆς θέλω
Τόνδ', ἐκβαλοῦσα λέκτρα τἀκείνης βίᾳ·
Ἃ γὼ τὸ πρῶτον οὐχ ἑκοῦσ' ἐδεξάμην,
Νῦν δ' ἐκλέλοιπα. Ζεὺς τάδ' εἰδείη μέγας,
Ὡς οὐχ ἑκοῦσα τῷδ' ἐκοινώθην λέχει.
Ἀλλ' οὔ σφε πείθω· βούλεται δέ με κτανεῖν,

---

γὰρ τῇ νήσῳ Νεοπτόλεμος ἐγεννήθη. 17. Σύγχορτα] χόρτος ὁ τῆς αὐλῆς περίβολος· κἀντεῦθεν οἱ ὅροι τῶν χωρίων· ὥστε εἶναι τὸ σύγχορτον ταὐτον τῷ,

λείας Τρωϊκῆς· καὶ νῦν κατοικῶ τὰ ὅμορα τῶν Φαρσάλων πεδία, ὅπου Θέτις, θεὸς οὖσα, θνητῷ ἀνδρὶ συνῴκησε τῷ Πηλεῖ, τὴν τῶν ἀνθρώπων ἀποφεύγουσα ὁμιλίαν· νῦν δ' ὑπὸ Θετταλῶν Θετίδειον τὸ χωρίον τοῦτο προσαγορεύεται· ἐν ᾧ, ταυτηνὶ τὴν οἰκίαν ἔχων ὁ τοῦ Ἀχιλλέως, ἐνδιαιτᾶται, ἐάσας Πηλεῖ Φαρσάλων ἄρχειν· οὐ γὰρ ἀξιοῖ, περιόντος τοῦ γέροντος, ἀναδέξασθαι τὸ σκῆπτρον. Τούτῳ οὖν ἐγὼ ὡς δούλη δεσπότῃ συνευνασθεῖσα, ἔτεκον παῖδα ἄῤῥενα, ἐφ' ᾧ, καίπερ κακῶς πραττούσῃ, ὑπῆν μοί τις ἐλπὶς, εὖ πράξειν πόθ' ὕστερον, ἀντισήκωσιν τῶν κακῶν ἔχουσα, σωζομένου ἐκείνου· νῦν δ' ἐπειδὴ παρωσάμενος ἐμὲ ὁ δεσπότης, ἔγημεν Ἑρμιόνην τὴν τοῦ Μενελάου, ἐξελαύνομαι ὑπ' αὐτῆς, συκοφαντουμένη ἐκ ζηλοτυπίας· φησὶ γὰρ ἀποῤῥήτοις με φαρμάκοις τήν τε τέκνωσιν αὐτῇ διαφθείρειν, καὶ πρὸς τοῦ ἀνδρὸς ποιεῖν ἀπεχθάνεσθαι, ὡς δῆθεν ἐμὲ αὐτὴν μόνην βουλομένην κατασχεῖν τὰ ἐνταῦθα, καὶ τὴν ἐκείνης εὐνὴν εἰσποιήσασθαι· ἣν ἐγὼ οὐδὲ τὴν ἀρχὴν ἐδεξάμην ἑκοῦσα, καὶ νῦν αὖθις ἀπεῖπον ὅλως. Ζεὺς δ' αὐτὸς μαρτυρείτω μοι, ὡς πάντα ἀληθῆ ταῦτα λέγω· ἀλλ' οὐ πείθω λέγουσ' ἐκείνην· βούλεται δ' ἀνελεῖν με, συμπράκτορα εὑραμένη Μενέλαον

ὅμορα· ὁ γὰρ Νεοπτόλεμος, περιόντος Πηλέως τοῦ πάππου, οὐκ ἀξιῶν ἐν Φαρσάλοις κατοικεῖν, οὐδὲ τῶν σκήπτρων ἀντιποιεῖσθαι (ἴδε παρακατιὼν σίχ. 23) διητᾶτο ἰδιωτεύων ἐν τῷ Θετιδείῳ. χωρίον δὲ τοῦτ' ἐςιν Θέτιδι ἱερόν· ἔνθα ἡ θεὸς μὴ ἀξιοῦσα ἀναςρέφεσθαι ἐν ἀνθρώποις μετὰ τὸν γάμον, διῆγε τὸν βίον. 25. Πλαθεῖσα] καὶ ἐν ἄλλοις, Πλασθεῖσα, τὸ μὲν ἐκ τοῦ πλάθειν, τὸ δὲ ἐκ τοῦ πλάζειν. ἄμφω δὲ σημαίνει ταὐτὸν, τὸ πλησίον γενέσθαι.

Πατήρ τε θυγατρὶ Μενέλεως συνδρᾷ τάδε.
Καὶ νῦν κατ' οἴκους ἔστ', ἀπὸ Σπάρτης μολὼν
Ἐπ' αὐτὸ τοῦτο· δειματουμένη δ' ἐγὼ
Δόμων πάροικον Θέτιδος εἰς ἀνάκτορον
Θάσσω τόδ' ἐλθοῦσ', ἤν με κωλύσῃ θανεῖν·
Πηλεύς τε γάρ νιν, ἔγγονοί τε Πηλέως
Σέβουσιν, ἑρμήνευμα Νηρῆδος γάμων.
Ὃς δ' ἔστι παῖς μοι μόνος, ὑπεκπέμπω λάθρα
Ἄλλους ἐς οἴκους, μὴ θάνῃ φοβουμένη.
Ὁ γὰρ φυτεύσας αὐτὸν οὔτ' ἐμοὶ πάρα
Προσωφελῆσαι, παιδί τ' οὐδέν ἐστ', ἀπὼν
Δελφῶν κατ' αἶαν, ἔνθα Λοξίᾳ δίκην
Δίδωσι μανίας, ἥν ποτ' ἐς Πυθὼ μολὼν,
Ἤτησε Φοῖβον πατρὸς οὗ τίνειν δίκην,
Εἴ πως τὰ πρόσθε σφάλματ' ἐξαιτούμενος,
Θεὸν παράσχοιτ' ἐς τὸ λοιπὸν εὐμενῆ.

ΘΕ. Δέσποιν', ἐγώ τοι τοὔνομ' οὐ φεύγω τόδε
Καλεῖν σ', ἐπείπερ καὶ κατ' οἶκον ἠξίουν
Τὸν σὸν, τὸ Τροίας ἡνίκ' ᾠκοῦμεν πέδον·
Εὔνους δὲ καὶ σοὶ ζῶντί τ' ἦν τῷ σῷ πόσει,
Καὶ νῦν φέρουσά σοι νέους ἥκω λόγους
Φόβῳ μὲν, εἴ τις δεσποτῶν αἰσθήσεται,
Οἴκτῳ δὲ τῷ σῷ· δεινὰ γὰρ βουλεύεται
Μενέλαος ἐς σὲ, παῖς θ', ἅ σοι φυλακτέα.

ΑΝ. Ὦ φιλτάτη σύνδουλε· σύνδουλος γὰρ εἶ

52. Δίκην μανίας] ἀφροσύνης. τοῦ γὰρ Ἀχιλλέως ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ κατὰ Τροίαν, μνηςευσμένου Πολυξένην τὴν τοῦ Πριάμου, ὑπὸ Πάριδος ἀπο-

τὸν πατέρα, ἐπὶ τοῦτ' αὐτὸ ἀρτίως ἐλθόντ' ἐκ Σπάρτης· τοῦτο δ' ἐγὼ φοβουμένη, ἐπὶ τὸ τῆς Θέτιδος τουτὶ ἀνακτόριον, ἐκ γειτόνων ὄν, ὃ Πηλεὺς αὐτὸς, καὶ οἱ ἐκ Πηλέως εἰς μνήμην τῶν γάμων ἐκείνης σεβάζονται, ἱκέτις κατέφυγον πρὸς σωτηρίαν· ὃς δὲ μόνος μοί ἐστι παῖς, τοῦτον φόβῳ ὑπεξεθέμην πρὸς ἑτέρους· ὁ γὰρ πατὴρ αὐτοῦ οὔτ' ἐμοὶ, οὔτ' αὐτῷ δύναται βοηθῆσαι, ἀποδημῶν εἰς Δελφοὺς, ἀνοίας δίκην Ἀπόλλωνι τίων, ἐφ' οἷς αὐτὸς αὐτὴν ταύτην ἦλθεν αἰτήσων παρ' ἐκείνου λαβεῖν ἕνεκα τοῦ πατρὸς Ἀχιλλέως, εἴπως συγγνώμην ἐξαιτούμενος, ἐξιλεώσαιτο τὸν θεὸν ἔς γε τοὐπιὸν ἑαυτῷ εὐμενέστερον ἔχειν.

ΘΕ. Δέσποινα (καθάπερ γὰρ ἐν Τροίᾳ προσῆκέ μοι τοῦτο προσαγορεύειν σε, οὕτω κἀνταῦθα οὐκ ἔχω, ὅπως μὴ ἀποδῶ σοι ταὐτὸ) εὔνους οὖσα σοί τε, καὶ τῷ σῷ ἀνδρὶ πάλαι ποτὲ περιόντι, ἥκω ἐροῦσά σοι νέον τὶ, τρέμουσα μὲν, μήτις τῶν δεσποτῶν τοῦτο αἴσθηται, οἰκτείρουσα δέ σε, ἐφ' οἷς μέλλω λέγειν· Μενέλαος γὰρ καὶ ἡ παῖς αὐτοῦ Ἑρμιόνη δεινὰ βουλεύονται κατὰ σοῦ· διὸ δεῖ σε φυλάξασθαι τούτους.

ΑΝ. Ὦ φιλτάτη σύνδουλε· σύνδουλον γὰρ οἶδά σε νῦν δυσυ-

---

θανόντος, Νεοπτόλεμος ἐλθὼν τὸ πρῶτον εἰς Δελφοὺς, ἀπῄτει τὸν θεὸν δίκας πατρῴου φόνου· μεταμεληθεὶς δ' ὕστερον, ἐφ' οἷς ἐθρασύνατο, ἦλθε τὸ δεύτερον, δώσων δίκην ἐκείνῳ, καὶ ἐξιλεώσασθαι αὐτὸν ἐπὶ τῷ ἀμπλακήματι· ὅπου ἐπιβουλῇ Ὀρέστου τέθνηκεν ὑπὸ τῶν Δελφῶν. 34. Ἥν ποτε] δι' ἣν μανίαν. 53. Πατρὸς οὗ] τοῦ ἑαυτοῦ πατρός· ἐν ἄλλοις δὲ κεῖται, πατρός. οὗ ᾽κτίνει δίκην· οὐ πάνυτοι καὶ τοῦτο ἀπίθανον, τοῦ Ἣν πρὸς τὸ Δίκην ἀναφε-

Τῇ πρόσθ' ἀνάσσῃ τῇδε, νῦν δὲ δυςυχεῖ·
Τί δρῶσι; ποίας μηχανὰς πλέκουσιν αὖ,
Κτεῖναι θέλοντες τὴν πανάθλίαν ἐμέ;
ΘΕ. Τὸν παῖδά σου μέλλουσιν, ὦ δύστηνε σὺ,
Κτείνειν, ὃν ἔξω δωμάτων ὑπεξέθου.
ΑΝ. Οἴμοι! πέπυσται τὸν ἐμὸν ἔκθετον γόνον
Πόθεν ποτ'; ὦ δύστηνος, ὡς ἀπολόμην!
ΘΕ. Οὐκ οἶδ', ἐκείνων δ' ᾐσθόμην ἐγὼ τάδε.
Φροῦδος δ' ἐπ' αὐτὸν Μενέλεως δόμων ἄπο.
ΑΝ. Ἀπωλόμην ἄρ'! ὦ τέκνον, κτενοῦσί σε
Δισσοὶ λαβόντες γῦπες· ὁ δὲ κεκλημένος
Πατὴρ ἔτ' ἐν Δελφοῖσι τυγχάνει μένων.
ΘΕ. Δοκῶ γὰρ οὐκ ἂν ὧδέ σ' ἂν πράσσειν κακῶς,
Κείνου παρόντος· νῦν δ' ἔρημος εἶ φίλων.
ΑΝ. Οὐδ' ἀμφὶ Πηλέως ἦλθεν, ὡς ἥξοι, φάτις;
ΘΕ. Γέρων γ' ἐκεῖνος, ὥστε σ' ὠφελεῖν παρών.
ΑΝ. Καὶ μὴν ἔπεμψ' ἐπ' αὐτὸν οὐχ ἅπαξ μόνον.
ΘΕ. Μῶν οὖν δοκεῖς σοῦ φροντίσαι τίν' ἀγγέλων;
ΑΝ. Πόθεν; θέλεις οὖν ἄγγελος μολεῖν σύ μοι!
ΘΕ. Τί δῆτα φήσω, χρόνιος οὖσ' ἐκ δωμάτων;
ΑΝ. Πολλὰς ἂν εὕροις μηχανάς· γυνὴ γὰρ εἶ.
ΘΕ. Κίνδυνος· Ἑρμιόνη γὰρ οὐ σμικρὰ φύλαξ.
ΑΝ. Ὁρᾷς; ἀπαυδᾷς ἐν κακοῖς φίλοισι σοῖς.
ΘΕ. Οὐ δῆτα· μηδὲν τοῦτ' ὀνειδίσῃς ἐμοί.

---

ρομένου. 70. Πέπυσται] ἀπροσώπως, ἤκουσται τοῦτο τοῖς πολλοῖς; ἀναπληρωτέον δ' ἂν εἴη τὸ ἐλλεῖπον ὧδε. Πέπυσται τὸν ἐμὸν ἔκθετον εἶναι γόνον, εἰμὴ Μενέλαον αὐτὸν εἰσάγει. 73. Φροῦδος] πρὸ ὁδοῦ· ὅ ἐστιν, ἐξῆλθεν. 82. Μῶν οὖν δοκεῖς] μῶν νομίζεις, ὅτι ἐφρόντισε τίς ἐκείνων τῶν ἀγγέλων ποιῆ-

χοῦσα, ἡ βασιλίς σου ποτὲ γενομένη· τί μέλλουσι δράσειν με, τίνι μηχανῇ σπουδὴν ἔχοντες ἀποκτεῖναι τὴν παναθλίαν;

ΘΕ. Ἀνελεῖν θέλουσιν, ὃν ὑπεξέθου παῖδα.

ΑΝ. Οἴμοι! πόθεν, τίνος προδεδωκότος, ἔκπυστον γέγονε ἔκθετον τὸν ἐμὸν παῖδα εἶναι; ὦ δύστηνος ἐγὼ, ἀπωλόμην.

ΘΕ. Τοῦτο μὲν αὐτὴ οὐκ οἶδα· ᾐσθόμην δ' ἐκείνων ζητούντων· καὶ ἤδη Μενέλαος ἐπ' ἐκεῖνον ἐξῄει.

ΑΝ. Ἀπωλόμην, ὦ τέκνον, ἀποκτενοῦσί σε ἆρα οἱ δύο ἐκεῖνοι γῦπες· ὁ δὲ σὸς πατὴρ, ἐν Δελφοῖς ὢν τυγχάνει.

ΘΕ. Παρόντος γὰρ ἐκείνου, οὐκ ἂν σοι οὕτω κακῶς τὰ πράγματ' εἶχε· νῦν δὲ φίλων πάντων ἔρημος οὖσα εὑρίσκῃ πανταχόθεν.

ΑΝ. Τί δέ; οὐδεὶς περὶ Πηλέως, ὡς ἥξει, λόγος παρὰ τοῖς ἔξω;

ΘΕ. Βραδὺς δ' ὁ γέρων, ὥστε καὶ βοηθῆσαί σοι.

ΑΝ. Καὶ μὴν πολλοὺς ἔπεμψα ἀγγέλους ἤδη.

ΘΕ. Σὺ δὲ πιστεύεις φροντίσαι τινὰ τούτων;

ΑΝ. Πόθεν; ἀλλ' οὐκ ἂν φθάνοις σύγε καλοῦσα τοῦτον;

ΘΕ. Καὶ τίς μοι λόγος ἔσται λιπούσῃ τοὺς δεσπότας;

ΑΝ. Πολλὰς ἂν εὕροις τέχνας, γυνὴ τὴν φύσιν οὖσα.

ΘΕ. Κίνδυνός ἐστιν, Ἑρμιόνης γρηγορούσης.

ΑΝ Ὁρᾷς, ὅπως ἀποκνεῖς τοῖς φίλοις βοηθῆσαι;

ΘΕ. Οὔμενουν· μὴ πρόφερέ μοι τοῦτο· εἶμι γὰρ, ἐπεὶ κἂν

---

σαι τὸ προστεταγμένον; ἐν ἄλλοις δὲ κεῖται Δοκεῖ ἀντὶ Δοκεῖς· ἀλλ' οὕτως, ἔδει γράφειν ἀντὶ τοῦ τίν' ἀγγέλων, τὶς ἀγγέλων· ἵν' ᾖ, μῶν δοκεῖ σοι τίς τῶν ἀγγέλων φροντίσαι; 84. Χρονιος] τί ἐρῶ, φησίν, ἐπανελθοῦσα, ἣν διὰ χρόνου πολλοῦ μετα-

Ἀλλ' εἶμ', ἐπεί τοι κοὐ περίβλεπτος βίος
Δούλης γυναικὸς, ἤν τι καὶ πάθω κακόν.

ΑΝ. Χώρει νυν· ἡμεῖς δ', οἷςπερ ἐγκείμεσθ' ἀεὶ
Θρήνοισι καὶ γόοισι καὶ δακρύμασι,
Πρὸς αἰθέρ' ἐκτενοῦμεν· ἐμπέφυκε γὰρ
Γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
Ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν.
Πάρεστι δ' οὐχ ἓν, ἀλλὰ πολλά μοι στένειν,
Πόλιν πατρῴαν, τὸν θανόντα θ' Ἕκτορα,
Στεῤῥόν τε τὸν ἐμὸν δαίμον', ᾧ ξυνεζύγην,
Δούλειον ἦμαρ ἐσπεσοῦσ' ἀναξίως.
Χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν,
Πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς
Ὅπως περάσας ἡμέραν, ἥξει κάτω.
Ἰλίῳ αἰπεινᾷ Πάρις οὐ γάμον, ἀλλά τιν' ἄταν
Ἠγάγετ' εὐναίαν εἰς θαλάμους Ἑλέναν.
Ἇς ἕνεκ', ὦ Τροία, δορὶ καὶ πυρὶ δηϊάλωτον
Εἷλέ σ' ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης,
Καὶ τὸν ἐμὸν μελέας πόσιν Ἕκτορα, τὸν περὶ τείχη
Εἵλκυσε διφρεύων παῖς ἁλίας Θέτιδος·
Αὐτὰ δ' ἐκ θαλάμων ἀγόμαν ἐπὶ θῖνα θαλάσσης,
Δουλοσύναν στυγερὰν ἀμφιβαλοῦσα κάρα.
Πολλὰ δὲ δάκρυά μοι κατέβα χροὸς, ἁνίκ' ἔλειπον
Ἄστυ τε καὶ θαλάμους καὶ πόσιν ἐν κονίαις·
Ὤ μοι ἐγὼ μελέα, τί μ' ἐχρῆν ἔτι φέγγος ὁρᾶσθαι;

---

ξὺ ἀποῦσα ὦ; 93. Ἐκτενοῦμεν] ἀποτενοῦμεν τοὺς θρήνους κατομένας πρὸς τὸν αἰθέρα. μόνη γὰρ ἦν Ἀνδρομάχη ἐν τῷ Ἱερῷ, μήπω τοῦ χοροῦ εἰσιόντος 100. Μηδένα ὄλβιον.] πρὸς τὸ τοῦ Σόλωνος ῥηθέν ποτε πρὸς τὸν Κροῖσον. Πρὸ

πάθω τι, οὐδὲν ἔσται μοι τοῦτο, δούλῃ γ' οὔσῃ, καὶ μηδὲν ἄξιον ἐχούσῃ ἐν τῷ βίῳ.

ΑΝ. Χώρει, σπεύδουσα· ἐγὼ δ' ἐνταῦθα καθημένη, μόνη πρὸς μόνον τὸν αἰθέρα ἀποτενῶ τοὺς θρήνους, ἐν οἷς ἀεὶ τυγχάνω γ' οὖσα· ἐμπέφυκε γὰρ ἡμῖν ταῖς γυναιξὶν, ὥσπερ τις ἡδονὴ τὰς παρεστώσας συμφορὰς ἀεὶ διὰ στόματος ἔχειν· ἔστι δέ μοι οὐχ ἓν, ἢ δύο, ἀλλὰ πολλὰ ἅμα στένειν, πόλιν τε πατρώαν, Ἕκτορά τε ἀπολωλότα, καὶ τὸν ἐμαυτῆς σκληρὸν δαίμονα, ᾧ συζευχθεῖσα, ἀπήχθην αἰχμάλωτος ἐνταῦθα· χρὴ ἄρα πρὸ τοῦ τέλους μηδένα μακαρίζειν· ἡ γὰρ ἐσχάτη τῶν ἡμερῶν δείξει ἑκάστῳ, εἴτ' εὐκλεὴς, εἴθ' ὡς ἑτέρως τις πρὸς τοὺς ἐν Ἅδου ἥξει.

Οὐκ εἰς γάμον ἄρ' ἠγάγετο Πάρις Ἑλένην, ἀλλ' εἰς ὄλεθρον τῆς Τροίας· διὰ γὰρ ταύτην σε, ὦ φιλτάτη πόλις, ὁ Χιλιόναυς ἐκεῖνος στόλος τῆς Ἑλλάδος δορί τε καὶ πυρὶ ἐκ βάθρων σε καθεῖλε· τόνθ' Ἕκτορα πεσόνθ' ὁ τῆς Θέτιδος τοῦ ἑαυτοῦ ἀρτήσας δίφρου, παρέσυρεν οἰκτρῶς περὶ τὰ τείχη· κἀγὼ ἡ δειλαία ἁρπαγεῖσα ἀπὸ τοῦ θαλάμου, ἀπήχθην αἰχμάλωτος εἰς τὰς ναῦς πρὸς δουλείαν, μυρί' ὅσα καταλείβουσα δάκρυα, ἡνίκ' ἀπέλειπον τὴν πόλιν, τοὺς θαλάμους, καὶ αὐτὸν τὸν φίλον Ἕκτορα ἐγκαλινδούμενον τῷ λύθρῳ· οἴμοι τῇ πα-

---

τελευτῆς μηδένα δεῖ μακαρίζειν. Τὰ δὲ ἑξῆς ἐν ἐλεγείοις, ἀσύνηθες ὂν τοῦτο ἐν Τραγῳδίᾳ. 108. Εἵλκυσε περὶ τὰ τείχη.] οὐχ' ὧδ' ἐποίησεν Ὅμηρος· ἀλλὰ μεταδιώξας αὐτὸν Ἀχιλλεὺς τρὶς περὶ τὰ τείχη, ἀπέκτεινε· καὶ ἀποκτείνας, εἵλκυσεν αὐτὸν εἰς τὸ στρατόπεδον, δήσας ἀπὸ τοῦ δίφρου· ἐκεῖ δὲ πολλάκις

Ἑρμιόνας δούλαν; ἇς ὕπο τειρομένα,
Πρὸς τόδ' ἄγαλμα θεᾶς ἱκέτις περὶ χεῖρε βαλοῦσα,
Τάκομαι, ὡς πετρίνα πιδακόεσσα λιβάς.

ΧΟ. Ὦ γύναι, ἃ Θέτιδος δάπεδον καὶ ἀνάκτορα θάσσεις (Στρ. ά.)
Δαρὸν, οὐδὲ λείπεις,
Φθιὰς ὅμως ἔμολον ποτὶ σὰν Ἀσιήτιδα γένναν,
Εἴ τί σοι δυναίμαν
Ἄκος τῶν δυσλύτων πόνων τεμεῖν,
Οἵ σε καὶ Ἑρμιόναν ἔριδι στυγερᾷ συνέκλῃσαν,
Τλάμων, ἀμφὶ λέκτρων
Διδύμων ἐπίκοινον
Ἐοῦσαν ἀμφὶ παῖδ' Ἀχιλλέως·
Γνῶθι τύχαν λόγισαι τὸ παρὸν κακὸν, εἰς ὅπερ ἥκεις. (Ἀντ. ά.)
Δεσπόταις ἁμιλλᾷ,
Ἰλιὰς οὖσα κόρα, Λακεδαίμονος ἐκγενέτῃσι;
Λεῖπε δεξίμηλον
Δόμον τᾶς ποντίας θεοῦ. τί σοι
Καιρὸς ἀτυζομένᾳ δέμας ἀεικέλιον καταλείβειν
Δεσποτῶν ἀνάγκαις;
Τὸ κρατοῦν δέ σε πείσει.
Τί μόχθον, οὐδὲν οὖσα, μοχθεῖς;
Ἀλλ' ἴθι, λεῖπε θεᾶς Νηρηΐδος ἀγλαὸν ἕδραν, (Στρ. β'.)

---

περιείλκυε περὶ τὸν τοῦ Πατρόκλου νεκρὸν, παρασύρων ἐν κόνει. 119. Ἀσιᾶτιδα γένναν] πρὸς σε τὴν ἐν Ἀσίᾳ γεννηθεῖσαν. 122. οἵσε . . συνέκλησας]

ναθλία! τί με δεῖ ὁρᾶν ἔτι τὸ τοῦ ἡλίου φῶς, Ἑρμιόνης γεγενημένην δούλην; ὑφ᾽ ἧς ἐπηρεαζομένη ἤδη, εἰς τουτὶ τὸ τῆς Θέτιδος ἱκέτις κατέφυγον ἄγαλμα, ὅπου ὡς σταγὼν λειβομένη ἐκ πέτρας, τήκομαι δάκρυσι.

Χο. Ὦ γύναι, ἣν τὸ ἀνάκτορον τουτὶ τῆς θεοῦ πάλαι τυγχάνεις κατοικοῦσα· ἐγὼ μὲν, καίτοι Ἑλληνὶς ἐκ Φθίας ταυτησὶ εἰμὶ τὸ γένος· ἀλλ᾽ οὐκ ἀπηξίωσα ἐλθεῖν πρὸς σὲ τὴν ἐκ τῆς Ἀσίας, οἴκτῳ, ὡς εἰκὸς, ἐπειχθεῖσα, εἴπως σοι δυναίμην λύσιν εὑρεῖν τῶν παρεστώτων πόνων· οἷς σέτε καὶ τὴν Ἑρμιόνην ἔρις στυγερὰ περιέπλεξεν, ἐφ᾽ οἷς τὴν τοῦ ἀνδρὸς εὐνὴν ἐπίκοινον ἔχετε.

Γνῶθι σαυτὴν, τὰ παρόντα μετ᾽ ἐπιστασίας λογισαμένη· Τρῳὰς γὰρ οὖσα, ἀνταγωνίζῃ πρὸς Λάκαιναν δέσποιναν· λίπε τὸ τῆς θεοῦ τουτὶ ἀνακτόριον· τί γάρ σοι ὄφελος πρὸς δεσπότας ἀναγκάζοντας ἁμιλλωμένην, ἀεὶ τὸ σαυτῆς τήκειν σῶμα; τὸ γὰρ ἰσχυρότερον κρατεῖ πανταχοῦ· προς τί ουν πονεῖς, ἀμήχανος ὅλως οὖσα;

Ἄγε τοίνυν, ὦ πανταλαινα νύμφη, ἴθι λιποῦσα τὸ ἱερὸν τουτὶ τῆς θεοῦ ἀνακτόριον· καὶ γνῶθι, ὡς ἐξ ἀλ-

---

ἀντίπτωσις· ἦν γὰρ εἰπεῖν ὀρθῶς· οἷς (πόνοις) σέτε καὶ Ἑρμιόνην ἔρις στυγερὰ συνέκλεισε. 125. Ἐπίκοινον ἐοῦσαν] κοινὴν τῇ Ἑρμιόνῃ (σε) τὴν τοῦ Νεοπτολέμου εὐνὴν ἔχουσαν· σύντατε δὲ τὸ, ἐοῦσαν, πρὸς τὸ, σέ 129. Δεξίμηλον] τὸν δεχόμενον ἱερεῖα. δοκεῖ δ᾽ ὁ Χορὸς παραινεῖν αὐτῇ ἐξελθεῖν τοῦ βωμοῦ ὡς ἀποθανουμένην· ἄλλως γαρ μὴ εἶναι αὐτῇ βιωτόν. 130. τίς σοι καιρὸς] τίς σοι ὄφελος· οὕτω καὶ κατωτέρω στίχ. 486. συχνὴ δ᾽ ἡ χρῆσις αὕτη τῷ ποιητῇ. 132. Δεσποτῶν ἀνάγκαις] ὑπὸ τῶν δεσποτῶν βίον βιαιον ἔχουσα ἐστημ...

Γνῶθι δ' οὖσ' ἐπὶ ξένας,
Δμωῒς, ἐπ' ἀλλοτρίας πόλεως,
Ἔνθ' οὐ φίλων τιν' εἰσορᾷς
Σῶν, ὦ δυστυχεστάτα,
Ὦ παντάλαινα νύμφα.
Οἰκτροτάτα γὰρ ἔμοιγ' ἔμολες, γύναι Ἰλιὰς,
οἴκους· (Ἀντ. β'.)
Δεσποτῶν δ' ἐμῶν φόβῳ
Ἡσυχίαν ἄγομεν, τὸ δὲ σὸν
Οἴκτῳ φέρουσα τυγχάνω,
Μὴ παῖς τᾶς Διὸς κόρας
Σοί μ' εὖ φρονοῦσαν εἰδῇ.

ΕΡ. Κόσμον μὲν ἀμφὶ κρατὶ χρυσέας χλιδῆς,
Στολμόν τε χρωτὸς τόνδε ποικίλων πέπλων,
Οὐ τῶν Ἀχιλλέως, οὐδὲ Πηλέως ἄπο
Δόμων ἀπαρχὰς δεῦρ' ἔχουσ' ἀφικόμην,
Ἀλλ' ἐκ Λακαίνης Σπαρτιάτιδος χθονὸς
Μενέλαος ἡμῖν ταῦτα δωρεῖται πατὴρ
Πολλοῖς σὺν ἕδνοις, ὥστ' ἐλευθεροστομεῖν.
Ὑμᾶς μὲν οὖν τοῖσδ' ἀνταμείβομαι λόγοις·
Σὺ δ' οὖσα δούλη καὶ δορίκτητος γυνὴ
Δόμους κατασχεῖν, ἐκβαλοῦσ' ἡμᾶς, θέλεις
Τούσδε, στυγοῦμαι δ' ἀνδρὶ φαρμάκοισι σοῖς,
Νηδὺς δ' ἀκύμων διὰ σέ μοι διόλλυται·
Δεινὴ γὰρ Ἠπειρῶτις ἐς τὰ τοιάδε
Ψυχὴ γυναικῶν· ὧν ἐπισχήσω σ' ἐγὼ,
Κοὐδέν σ' ὀνήσει δῶμα Νηρῆδος τόδε;
Οὐ βωμὸς, οὐδὲ ναὸς, ἀλλὰ κατθανῇ.

λοδαπῆς εἰς ἀλλοδαπὴν δούλη τυγχάνεις ἀπηγμένη, ἔνθ' οὐ φίλον, οὐκ ἄλλον ὁρᾷς οὐδένα.

Οἶδα μέν σε, ὦ γύναι, ἀθλιωτάτην πασῶν γεγενημένην, καὶ τὴν σὴν οἰκτείρω τύχην· ἀλλὰ φόβῳ τῶν δεσποτῶν ἀνάγκη με σιγὴν ἔχειν· δέος γὰρ μὴ ἡ τῆς Ἑλένης κόρη αἴσθηταί με εὐνοϊκῶς πρὸς σὲ ἔχουσαν.

ΕΡ. Ὁρᾶθ' ὑμεῖς τὸν τῆς κεφαλῆς τοῦτον κόσμον, καὶ τὴν διάχρυσον ταυτηνὶ καὶ ποικίλην ἐσθῆτα, τὴν τοὐμὸν καλύπτουσαν σῶμα; ταύτην οὐκ ἐκ τῶν Πηλέως καὶ Ἀχιλλέως ἕδνα τυγχάνω σχοῦσα, ἀλλὰ ταῦτά τε, καὶ ἄλλην ἔτι λαμπρὰν φερνὴν παρὰ τοῦ πατρὸς Μενελάου λαβοῦσα ἐκ Σπάρτης, ἀφικόμην ἐνταῦθα· δίκαιον οὖν ἐμὲ ἐλεύθερον ἔχειν στόμα· καὶ πρὸς μὲν ὑμᾶς ἱκανά μοι εἴρηται ταῦτα. Σὺ δ', ὦ κάθαρμα, δούλη καὶ δορίκτητος οὖσα, τολμᾷς κατασχεῖν τοὺς οἴκους τούτους, ἡμᾶς παρωσαμένη; ἢ οὐκ οἶσθ' ὅπως ἐκ τῶν σῶν φαρμάκων ἐγώ τε μισοῦμαι ὑπὸ τοῦ ἀνδρὸς, καὶ ἡ νηδὺς μοι διέφθαρται ὅλως· ψυχὴ γυναικῶν τῶν ἐκ τῆς Ἀσίας δεινὴ, τοιαῦτα ἐξευρίσκειν· ἀλλ' ἐγὼ αὐτὴ ἤδε παύσωσε τούτων αὐτίκα μάλα· τῶν δ' ἀνακτόρων σοι τούτων ὄνησις οὐδεμία, οὐ βωμοῦ, οὐ ναοῦ, οὐδενός· δέ-

ραι. 150. Ἀπαρχὰς] ἀντὶ ἕδνα, φερνήν· δηλοῖ δὲ ταῦτα τὸ ἀλαζονικὸν τοῦ γυναίου. καὶ ἣν ἔχει πρὸς τὸν ἑαυτῆς ἄνδρα ὑπεροψίαν, ὡς ἐκ γένους λαμπροῦ καὶ οἴκου ὁρμωμένης πλουσιωτάτου· ἑκατὸν γὰρ ἡμίονοι καθ' Ὅμηρον τὴν αὐτῆς φερνὴν ἐκόμισαν Φθίαζε. 159. Ἠπειρῶτις] τὴν Ἀσιάτιδα· οὕτω δὲ καὶ Ἰσοκράτης τὴν ἀντιπέρας Ἤπειρόν φησι τὴν Ἀσίαν. ἴδε καὶ κατωτέρω στίχ. 653

Ἢν δ' οὖν βροτῶν τίς σ', ἢ θεῶν σῶσαι θέλῃ,
Δεῖ σ' ἀντὶ τῶν πρὶν ὀλβίων φρονημάτων
Πτῆξαι ταπεινὴν, προσπεσεῖν τ' ἐμὸν γόνυ,
Σαίρειν τε δῶμα τοὐμὸν, ἐκ χρυσηλάτων
Τευχέων χερὶ σπείρουσαν Ἀχιλῴου δρόσον,
Γνῶναί θ', ἵν' εἶ γῆς· οὐ γάρ ἐσθ' Ἕκτωρ τάδε,
Οὐ Πρίαμος, οὐδὲ χρυσὸς, ἀλλ' ἡ Ἑλλὰς πόλις.
Ἐς τοῦτο δ' ἥκεις ἀμαθίας, δύστυνε σὺ,
Ἢ παιδὶ πατρὸς, ὃς σὸν ὤλεσεν πόσιν
Τολμᾶς ξυνεύδειν καὶ τέκν' αὐθέντου πάρα
Τίκτειν. τοιοῦτο πᾶν τὸ βάρβαρον γένος·
Πατήρ τε θυγατρὶ, παῖς τε μητρὶ μίγνυται.
Κόρη τ' ἀδελφῷ, διὰ φόνου δ' οἱ φίλτατοι
Χωροῦσι, καὶ τόνδ' οὐδὲν ἐξείργει νόμος·
Ἃ μὴ παρ' ἡμᾶς ἔσφερ'· οὐδὲ γὰρ καλὸν
Δυοῖν γυναικοῖν ἄνδρ' ἕν' ἡνίας ἔχειν,
Ἀλλ' ἐς μίαν βλέποντες εὐναίαν Κύπριν
Στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέλει.

ΧΟ. Ἐπίφθονόν τι χρῆμα θηλειῶν ἔφυ,
Καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.

ΑΝ. Φεῦ, φεῦ!
Κακόν γε θνητοῖς τὸ νέον, ἔν τε τῷ νέῳ
Τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει.
Ἐγὼ δὲ ταρβῶ, μὴ τὸ δουλεύειν μέ σοι

---

167. Χειρὶ σπείρουσαν] ἐν ἄλλοις περισπείρουσαν· καθάπερ καὶ κατωτέρω μικρὸν ἀντὶ τοῦ χρυσὸς, χρύσης ἐν ἄλλοις κεῖται· ἀλλ' ἡ Ἀνδρομάχη οὐκ ἐκ Χρύσης, ἐξ ἧς ἡ Χρυσηῒς ἡ τοῦ Ἀγαμέμνονος· ἀλλ' ἐκ Θήβης. 184. Τὸ νέον]

δοκται γὰρ τεθνάναι σε· εἰδέ τις ἄλλως, ἢ θεῶν, ἢ ἀνθρώπων σωτηρίαν σοι δοίη, δεῖ σε τῶν πρὶν φρονημάτων ἀφεθεῖσαν, τοῖς ἐμοῖς προσπεσεῖν γόνασι ταπεινὴν ὅλως καὶ κατεπτηχυῖαν, τό,τ' ἐμὸν δῶμα σαίρουσαν, ὕδωρ ἐκ χρυσῶν προῤῥαίνουσαν σκευῶν, καὶ σεαυτὴν γιγνώσκουσαν, παρ' οἷς τυγχάνεις οὖσα· ὧδε γὰρ οὐχ Ἕκτωρ, οὐ Πρίαμος, οὐ χρυσὸς ἔσθ' ὁ πάλαι· ἀλλ Ἑλλὰς αὐτή· σὺ δ', ὦ μιαρωτάτη. εἰς τοῦτ' ἀφῖξαι μωρίας, ὥς' οὐκ ἀπώκνησας ὁμιλῆσαι ἀνδρὶ, οὗ ὁ πατὴρ τὸν σὸν ἀπέκτεινεν ἄνδρα, καὶ τεκνοποιῆσαι παρ' αὐτοῦ τοῦ φονέως· τοιοῦτον γὰρ τὸ βάρβαρον, πατρὶ μὲν θυγατρὶ, παῖς δὲ μητρὶ, καὶ ἀδελφὴ μίγνυται ἀδελφῷ οἱ δ' αὖ φίλτατοι ὑπ' ἀλλήλων ἐπιβουλευόμενοι, ἀναιροῦνται. Ταῦτα δὴ ὑμῶν ἔθιμ' ὄντα, φύλαττε σεαυτῇ· ἡμῖν δὲ μηδὲν κοινώνει· οὐ γὰρ καλὸν παρ' ἡμῖν γε ἕνα τινὰ δυοῖν γυναικῶν ἄνδρα εἶναι; ἀλλὰ κάλλιςον μάλιςα ἄμφω εἰς μίαν ἀφορῶντας θελκτήριον εὐνὴν, φιλίᾳ συνδεδέσθαι ἀλλήλοις, εἴτις καλῶς ἐθέλοι συμβιῶναι.

ΧΟ. Ζηλότυπον τὸ τῶν γυναικῶν φῦλον πέφυκεν ἀεὶ, καὶ δυσμενὲς μάλις', ἐπειδὰν τύχῃ τῶν αὐτῶν γάμων κοινωνοῦν.

ΑΝ. Φεῦ, φεῦ· ὡς χαλεπὸν νεότης, καὶ μάλισθ' ἡνίκα μὴ χειραγωγοῖτο ὑπὸ τοῦ δικαίου· ὁρῶ δ' ἐμαυτὴν ὡς ἐν ςενωτάτῳ κατεχομένην· δέος γὰρ μήτι ἡ δουλεία, κα

---

πρὸς τὴν Ἑρμιόνην ἀναφέρει ταῦτα· κακὸν, φησὶ, καὶ ἀκράτητον ἡ νεότης τοῦ ἀνθρώπου, καὶ μάλιστα, ὁπότε τις ἐν τῇ νεότητι αὐτοῦ οὐκ ἔχει φρόνημα δί-

Λόγων ἀπώσῃ, πόλλ' ἔχουσαν ἔνδικα,
Ἢν δ' αὖ κρατήσω, μὴ 'πὶ τῷδ' ὄφλω βλάβην·
Οἱ γὰρ πνέοντες μεγάλα τοὺς κρείσσους λόγους
Πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο·
Ὅμως δ' ἐμαυτὴν οὐ προδοῦσ' ἁλώσομαι.
Εἴπ', ὦ νεᾶνι, τῷ σ' ἐχεγγύῳ λόγῳ
Πεισθεῖσ', ἀπωθῶ γνησίων νυμφευμάτων;
Ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις,
Τύχῃ θ' ὑπερθεῖ, καί μ' ἐλευθέραν ὁρᾷς;
Ἢ τῷ νέῳ τε καὶ σφριγῶντι σώματι,
Πόλεως τε μεγέθει καὶ φίλοις ἐπηρμένη,
Οἶκον κατασχεῖν τὸν σὸν ἀντὶ σοῦ θέλω;
Πότερον, ἵν' αὐτὴ παῖδας ἀντὶ σοῦ τέκω
Δούλους ἐμαυτῇ τ' ἀθλίαν ἐφολκίδα;
Ἢ τοὺς ἐμούς τις παῖδας ἐξανέξεται,
Φθίας τυράννους ὄντας, ἢν σὺ μὴ τέκῃς;
Φιλοῦσι γάρ μ' Ἕλληνες, Ἕκτορός τ' ἄπο,
Αὐτή τ' ἀμαυρὰ, κοὐ τύραννός ἦν Φρυγῶν.
Οὐκ ἐξ ἐμῶν σε φαρμάκων στυγεῖ πόσις,
Ἀλλ' εἰ ξυνεῖναι μὴ 'πιτηδεία κυρεῖς.
Φίλτρον δὲ καὶ τόδ'. Οὐ τὸ κάλλος, ὦ γύναι,
Ἀλλ' αἱ 'ρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.
Σὺ δ' ἤν τι κνισθῇς, ἡ Λάκαινα μὲν πόλις

κxιον. 203. Ἕκτορος τ' ἄπο, αὐτή τ' ἀμαυρὰ] ἐν ἄλλοις κεῖται ὡς ἓν κόμμα τοῦτο· οἷον, Ἕκτορός τ' ἄπο αὐτὴ ἀμαυρά· ὁ δὲ λόγος εἰρωνικὸς, ἄλλως δὲ βούλεται εἰπεῖν, ὡς μισοῦσί με Ἕλληνες ὡς λαμπρὰν καὶ φύσει καὶ τύχῃ γε

τοι βουλομένην εἰπεῖν, καὶ πολλὰ ἔχουσαν δίκαια παρασχέσθαι, κωλύσῃ με τοῦ λόγου· εἰποῦσα δ' αὖθις, καὶ λόγῳ κρατήσασα, μὴ ἐπὶ τούτῳ αὐτῷ ὄφλω. δίκην· τὰ γὰρ παρὰ τῶν ἐλασσόνων προσφερόμενα δίκαια, χαλεπῶς τε καὶ βαρέως τοῖς ὠσὶ τῶν μέγα φρονούντων εἰσβάλλουσιν· ὅμως δ' οὖν οὐκ ἂν ἑκοῦσα προδοίην ἐμαυτήν, ὥσθ' ἁλῶναι. Ἄγε τοίνυν αὐτή, ὦ νεάνις, εἰπέ μοι, τῷ ποτ' ἐγὼ ἀξιόχρεῳ λόγῳ πεισθεῖσα, βούλομαί σε τῆς τοῦ σοῦ ἀνδρὸς εὐνῆς ἀποστῆσαι; πότερον, τῇ τῆς πόλεως τῶν Φρυγῶν ὑπεροχῇ ὡς ἐλευθέρα ἐπερειδομένη, καὶ τῇ τύχῃ αὐτῆς ὡς ἀκμαζούσης ἐπαιρομένη, ἢ τῷ σφριγῶντι τούτῳ βραχίονι, καὶ φίλων μέγα φρονοῦσα ἐπικουρίᾳ, τὸν σὸν οἶκον ἀντὶ σοῦ ὥρμημαι κατασχεῖν; καὶ εἰ τοῦτο, πότερον αὖ, ἵν' αὐτὴ ἀντὶ σοῦ τέκω τέκνα δοῦλα, ἄθλιον ἐμαυτῇ ἐφεπόμενον βάρος; ἢ δοκεῖς, ἤνσοι μὴ ὦσι παῖδες, ἀνέξεσθαι Φθιώτας, ὁρῶντας τοὺς ἐξ ἐμοῦ Φθίας ἄρχοντας; φιλοῦσι γάρ με Ἕλληνες, (οὐχ ὁρᾷς;) ὡς ἀπό τε Ἕκτορος, καὶ κατὰ γένος τοὐμὸν ταπεινὴν γεγονυῖαν, κοὐχὶ βασιλίδα Φρυγῶν ἁπάντων. Οὐδ' αὖ ἐκ φαρμάκων ἡμῶν τὸ τοῦ ἀνδρὸς πρὸς σὲ πηγάζει μῖσος· ἀλλ' ἐκ τῆς σῆς πρὸς ἐκεῖνον συμφορᾶς δοκεῖ τὴν γέννησιν σχεῖν, μὴ εἰδυίας, ἢ μὴ ἀξιούσης ἐπιτηδείως καὶ κατὰ χάριν ἐκείνῳ προσφέρεσθαι· ὅ ἐστι τῶν φίλτρων γυναιξὶ τὸ πρώτιστον μάλιστα· ἢ οὐκ οἶσθ', ὡς οὐ τὸ κάλλος, ἀλλ' ἡ ἀρετὴ μάλιστα καὶ πρώτως προσάγεται τοὺς γαμέτας; σὺ δέ, καὶ μικρὸν ἦν ἐπὶ τῷ λυπηθῇς, εὐθὺς ἐπὶ μέγα μὲν αἴρεις τῷ λόγῳ τὴν Σπάρτην· εἰς οὐδὲν δὲ

ΔΗΜΟΚΡ... ΝΙΚΗ ... ΒΑΛΒΕΙΟΣ ΔΗΜ... ΚΗ

ΕΡ. Τί σεμνομυθεῖς, κεἰς ἀγῶν' ἔρχῃ λόγων,
Ὡς δὴ σὺ σώφρων, τἀμὰ δ' οὐχὶ σώφρονα;
ΑΝ. Οὔκουν ἐφ' οἷς γε νῦν καθέστηκας λόγοις.
ΕΡ. Ὁ νοῦς ὁ σός μοι μὴ ξυνοικοίη, γύναι.
ΑΝ. Νέα πέφυκας, καὶ λέγεις αἰσχρῶν πέρι.
ΕΡ. Σὺ δ' οὐ λέγεις γε, δρᾷς δέ μ', εἰς ὅσον δύνῃ.
ΑΝ. Οὐκ αὖ σιωπῇ Κύπριδος ἀλγήσεις πέρι;
ΕΡ. Τί δ'; οὐ γυναιξὶ ταῦτα πρῶτα πανταχοῦ;
ΑΝ. Καλῶς γε χρωμέναισιν· εἰ δὲ μὴ, οὐ καλά.
ΕΡ. Οὐ βαρβάρων νόμοισιν οἰκοῦμεν πόλιν.
ΑΝ. Κἀκεῖ τἀγ' αἰσχρὰ κἀνθάδ' αἰσχύνην ἔχει.
ΕΡ. Σοφὴ, σοφὴ σύ· κατθανεῖν δ' ὅμως σε δεῖ.
ΑΝ. Ὁρᾷς ἄγαλμα Θέτιδος ἔς σ' ἀποβλέπον;
ΕΡ. Μισοῦν γε πατρίδα σὴν Ἀχιλέως φόνῳ.
ΑΝ. Ἑλένη νιν ὤλεσ', οὐκ ἐγὼ, μήτηρ γε σή.
ΕΡ. Ἦ καὶ πρόσω γὰρ τῶν ἐμῶν ψαύσεις κακῶν;
ΑΝ. Ἰδοὺ σιωπῶ κἀπιλάζυμαι στόμα.
ΕΡ. Ἐκεῖνο λέξον, οὗπερ οὕνεκ' ἐστάλην.
ΑΝ. Λέγω σ' ἐγὼ νοῦν οὐκ ἔχειν, ὅσον σε δεῖ.
ΕΡ. Λείψεις τόδ' ἁγνὸν τέμενος ἐναλίας θεοῦ;
ΑΝ. Εἰ μὲν θανοῦμαί γ'· εἰ δὲ μὴ, οὐ λείψω ποτέ.
ΕΡ. Ὡς τοῦτ' ἄραρε, κοὐ μενῶ πόσιν μολεῖν.
ΑΝ. Ἀλλ' οὐδ' ἐγὼ μὴν πρόσθεν ἐκδώσω μέ σοι.
ΕΡ. Πῦρ σοι προσοίσω, (κοὐ τὸ σὸν προσκέψομαι)
ΑΝ. Σὺ δ' οὖν κάταιθε· θεοὶ γὰρ εἴσονται τάδε.
ΕΡ. Καὶ χρωτὶ δεινῶν τραυμάτων ἀλγηδόνας.
ΑΝ. Σφάζ', αἱμάτου θεᾶς βωμὸν, ἣ μέτεισί σε.
ΕΡ. Ὦ βάρβαρον σὺ θρέμμα καὶ σκληρὸν θράσος,

---

236. Οὔκουν] οὐ σώφρονα τὰ σὰ, ὅσον εἰκάσαι ἐκ τῶν λόγων, οἷς νῦν τυγχάνεις διαλεγομένη. 240. Ἀλγήσεις] οὐκ ἐν σιωπῇ ὑποίσεις τὸν οἶστρον τῆς Ἀφροδίτης

ΕΡ. Τί σεμνολογεῖς αὐτὴ, καὶ εἰς ἅμιλλαν ἔρχῃ λόγων; ὡς σὺ μὲν σώφρων εἶ, ἐγὼ δὲ τοὐναντίον;

ΑΝ Οὕτω φρονῶ, ἐξ ὧν εἴρηκας λόγων.

ΕΡ. Τὴν σὴν συμβουλὴν μηδέποτε δεξαίμην.

ΑΝ. Νέαγε οὖσα, περὶ αἰσχρῶν ἐρίζεις.

ΕΡ Σὺ δ' οὐκ ἐρίζεις, δρᾷς δέ με τοῦτο πάντως·

ΑΝ. Οὐκ οἴσεις σιωπῇ τὸ τῆς Ἀφροδίτης;

ΕΡ. Τί δέ; γυναιξὶ πάσαις οὐ φροντὶς αὕτη πρώτη;

ΑΝ. Εἰ μὲν καλῶς, καλόν· εἰ δὲ μὴ, αἰσχρὸν τοῦτο.

ΕΡ. Νόμοι βαρβάρων ἐνταῦθα οὐ κρατοῦσι.

ΑΝ. Τάγ' αἰσχρὰ πανταχοῦ αἰσχύνην φέρει.

ΕΡ. Σοφὴ, σοφὴ σὺ εἶ, ἀλλ' ὅμως γε τεθνήξῃ.

ΑΝ. Ὁρᾷς τὸ Θέτιδος ἄγαλμα, ὅπως εἰς σὲ ἐμβλέπει;

ΕΡ. Ὁρῶ μισοῦν σε διὰ τὸν Ἀχιλλέως φόνον.

ΑΝ. Ἡ σὴ μήτηρ ἐκείνῳ αἰτία τοῦ θανάνου.

ΕΡ. Τολμᾷς καὶ πρόσω τὰ κακά μοι προφέρειν;

ΑΝ. Ἰδοὺ σιωπῶ, καὶ συῤῥάπτω τὸ στόμα.

ΕΡ Λέγε δὲ σὺ μόνον, ἐφ' ᾧ ἧκον ὧδε.

ΑΝ. Λέγω δὴ τοῦτο, νοῦν σε μὴ ἔχειν ὅλως.

ΕΡ. Ἀπολήψεις τῆς θεοῦ τὸ τέμενος τοῦτο;

ΑΝ. Εἰ μὴ θανοῦμαι· εἰ δὲ μὴ, πῶς ἀπολίπω;

ΕΡ. Ἀλλὰ δέδοκται, καὶ οὐ μενῶ τὸν ἄνδρα.

ΑΝ. Ἀλλ' οὐδ' ἐγὼ ἔξειμι πρὶν ἢ ἐλθεῖν ἐκεῖνον.

ΕΡ. Πυρὶ φθερῶ σε, κοὐδέν μοι μέλει σοῦ γε.

ΑΝ. Καῦσον σύ γε, θεοὶ δ' ὁρῶσι ταῦτα.

ΕΡ. Πρὸς δὲ καὶ τὸ σῶμά σου παντοίως διαῤῥήξω.

ΑΝ Σφάξον, ἀλλ' ἡ θεὸς ἔχει ἔκδικον ὄμμα.

ΕΡ. Ὦ βάρβαρον θρέμμα τῆς θρασύτητος ταύτης· οὐκ ἐνδώ-

Ἐγκαρτερεῖς δὴ θάνατον; ἀλλ' ἐγώ σ' ἕδρας
Ἐκ τῆσδ' ἑκοῦσαν ἐξαναστήσω· τάχα·
Τοιόνδ' ἔχω σου δέλεαρ. ἀλλὰ γὰρ λόγους
Κρύψω, τὸ δ' ἔργον αὐτὸ σημανεῖ τάχα.
Κάθησ' ἑδραία· καὶ γὰρ εἰ πέριξ σ' ἔχει
Τηκτὸς μόλυβδος, ἐξαναστήσω σ' ἐγὼ,
Πρὶν, ᾧ πέποιθας, παῖδ' Ἀχιλλέως μολεῖν.

ΑΝ. Πέποιθα· δεινὸν δ', ἑρπετῶν μὲν ἀγρίων
Ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα,
Ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,
Οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
Κακῆς· τοσοῦτον ἐσμὲν ἀνθρώποις κακόν.

ΧΟ. Ἦ μεγάλων ἀχέων ἄρ' ὑπῆρξεν, (Στρ. ά.)
Ὅτ' Ἰδαίαν ἐς νάπαν ἦλθεν
Ὁ Μαίας τε καὶ Διὸς τόκος,
Τρίπωλον ἅρμα δαιμόνων
Ἄγων τὸ καλλιζυγὲς,
Ἔριδι στυγερᾷ
Κεκορυθμένον εὐμορφίας,
Σταθμοὺς ἔπι βούτα,
Βοτῆρά τ' ἀμφὶ μονότροπον νεανίαν,
Ἔρημόν θ' ἑστιοῦχον αὐλάν.

262 ἐγκαρτερεῖς] ἀποφεύγεις, ἀντιβαίνει πρὸς τὸν θάνατον. Ἴδε Ἡρ. Μαιν. στίχ. 1354. 264. Δέλεαρ] Μολοττὸν ἐννοεῖ, ὃν Ἀνδρομάχη ἦν ὑπεκτεθειμένη· κρύ-

σεις, ἀλλ' ἀποφεύγεις τὸν θάνατον οὕτως; ἀλλ' αὐτίκα μάλα ἑκοῦσαν ἐξάξω σε ἐντεῦθεν· τοιοῦτον γάρ ἐστι μοι δέλεαρ· μάταιον δ' ὀνομάζειν τοῦτο πρὶν ἂν τέλος λάβῃ· σὺ δ' ἔχ' ἀτρέμας ὡς ἐν ἑδραιοτάτῳ· καὶ γὰρ καὶ μολυβδίνῳ εἰ ἔτυχες τείχει φρουρουμένη, ῥᾳδίως ἐξαναστήσωσε, πρὶν ἢ Νεοπτόλεμον ἐλθεῖν, ᾧ μάλιστα δοκεῖς πεποιθέναι.

ΑΝ. Καὶ γὰρ πέποιθα τούτῳ· ἐκεῖνο δ' ἔγωγε θαυμάζω, ὅπως ἑρπετῶν μὲν ἰοβόλων δήγματα παρέσχεν ὁ θεὸς φάρμακα τοῖς ἀνθρώποις ἰᾶσθαι· γυναικὸς δὲ φαύλης, ἢ ἐχίδνης καὶ πυρός ἐστιν ἀκρατεστέρα, οὐδείς πω φάρμακον ἐξεῦρε· τοιοῦτον γὰρ κακὸν ἐσμὲν ἀνθρώποις ἡμεῖς αἱ γυναῖκες.

ΧΟ. Ἦ πούγε μεγάλων συμφορῶν ὑπῆρξε Τρωσί τε καὶ Ἕλλησιν ὁ τῆς Μαίας καὶ Διὸς, ἡνίκα ἦλθεν εἰς τὸ τῆς Ἴδης νάπος, τὸ καλλίζυγες τῶν θεῶν τρίπωλον ἄγων ἅρμα, ὡπλισμένον ἔριδι στυγερᾷ τοῦ κάλλους, πρὸς βουκόλον νεανίαν, σταθμοῖς καὶ ἐπαύλεσιν ἐρήμοις μονοτρόπως ἐνδιαιτώμενον.

---

πτει δὲ τοὺς λόγους, μὴ εἰδυῖα ἔτι σαφῶς, εἰ Μενέλαος εὑρήσει αὐτὸν ζητῶν·

267. Τηκτὸς μόλυβδος] ἁπλῶς τοῦτο, κἂν ἐν μολυβδίνῳ τείχει ᾖς φρουρουμένη. δυνατὸν δὲ εἶναί τι τοιοῦτον κἂν τῷ Θετιδείῳ, ἐν ᾧ ἦν τὸ ἄγαλμα τῆς θεοῦ.

277. Τρίπωλον ἅρμα θεῶν] τὰς τρεῖς θεὰς λέγει. Ἥραν, Ἀθηνᾶν, Ἀφροδίτην, ἃς λαβὼν ὁ Ἑρμῆς, κατὰ πρόσταξιν τοῦ Διὸς, ἤγαγεν εἰς Ἴδην πρὸς

Ταὶ δ᾽ ἐπεὶ ὑλόκομον νάπος ἦλυθον, (Ἀντ. α'.)
Οὐρείαν πιδάκων ἔνιψαν τ᾽
Αἰγλάεντα σώματα ῥοαῖς,
Ἔβαν τὲ Πριαμίδαν ὑπερ-
Βολαῖς λόγων δυσφρόνων
Παραβαλλόμεναι,
Κύπρις εἷλε λόγοισι δολίοις,
Τερπνοῖς μὲν ἀκοῦσαι,
Πικρὰν δὲ σύγχυσιν βίου Φρυγῶν πόλει
Ταλαίνᾳ περγάμοις τε Τροίας.
Εἴθε δ᾽ ὑπὲρ κεφαλὰν ἔβαλεν κακὸν (Στρ. β'.)
Ἅτις τέκεν ποτὲ Πάριν,
Πρὶν Ἰδαῖον κατοικίσαι λέπας,
Ὅτε νιν παρὰ θεσπεσίῳ δάφνᾳ
Βόασε Κασάνδρα κτανεῖν,
Μεγάλαν Πριάμου πόλεως λώβαν.
Τίν᾽ οὐκ ἐπῆλθε; ποῖον οὐκ ἐλίσσετο
Δαμογερόντων βρέφος φονεύειν;
Οὔτ᾽ ἂν ἐπ᾽ Ἰλιάσι ζυγὸν ἤλυθε (Ἀντ. β'.)
Δούλειον, οὔτε σὺ, γύναι,
Τυράννων ἔσχες ἂν δόμων ἕδρας·
Παρέλυσε δ᾽ ἂν Ἑλλάδος ἀλγεινοὺς
Πόνους, οὓς ἀμφὶ Τροίαν
Δεκέτεις ἀλάληντο νέοι λόγχαις·
Λέχη τ᾽ ἔρημ᾽ ἂν οὔποτ᾽ ἐξελείπετο,
Καὶ τεκέων ὀρφανοὶ γέροντες.

---

Πάριν, ὅπως διαγνοὺς εἴποι, τίς αὐτῶν ἡ καλλίων. 185. Ὀρείαν] δωρικῶς ἀντὶ τοῦ Ὀρείων πηδάκων 292. Πικράν] ἐννοητέον τὴν Προ̃ς

Αὗται γὰρ, ἐπεί ποτ' ἀφίκοντο ἐς τὸ νάπος, ἔλουσαν τότε πρῶτον ἐν ὀρειναῖς πηγαῖς τὰ ἑαυτῶν λευκότατα σώματα, καὶ προσίεσαν Πάριδι, κακοβούλων λόγων ὑπερβολαῖς χρώμεναι πρὸς τὴν νίκην· ἀλλ' ἡ Ἀφροδίτη τῷ τῶν λόγων ἐπαγωγῷ ὑπερβαλομένη, τερπνῶν μὲν ἀκοῦσαι, πικρῶν δ' ἔπειτα τῇ τῶν Τρώων πόλει γεγενημένων, τὴν νίκην ἔσχε.

Ἀλλ' εἴθε τὴν ἀρχὴν, ἅμα τεκοῦσα, μὴ ἔσωσε τὸ κακὸν ἡ Ἑκάβη, εἴθ' ἀπέκτεινε Πάριν πρὶν κατοικῆσαι ἐκεῖνον ἐν Ἴδῃ, ὁπόθ' ἡ θεσπεσία Κασάνδρα ἐκ τῆς προφητικῆς δάφνης χρησμῳδοῦσα, ἐκέλευεν ἀποκτεῖναι, ὡς μέγιστον κακὸν γεννηθὲν τῇ τοῦ Πριάμου πόλει· πρὸς τίνα γὰρ οὐκ ἐλθοῦσα, τίνος τῶν δημογερόντων οὐκ ἐδεήθη φονεῦσαι τὸ βρέφος;

Τούτου γὰρ γενομένου, οὔθ' αἱ ἄλλαι Τρῳάδες τὸν τῆς δουλείας ὑπεδύοντ' ἂν ζυγὸν, οὔτε σὺ, ὦ τάλαινα, ἐν τοῖς τῶν τυράννων ἐδούλευες οἴκοις· οὔτε μὴν ἡ ἐκ πάσης τῆς Ἑλλάδος ἐκστρατεύσασα νεολαία, δεκαετῆ ὑπέστη ἀγῶνα, ἐν διηνεκέσι κινδύνοις περὶ τὴν Τροίαν ἀγρυπνοῦντες ἐν ὅπλοις· ὧν πολλαὶ γυναῖκες ὀπίσω ἀπελείφθησαν χῆραι, καὶ γέροντες ἄτεκνοι.

---

πρὸς ἀπόδοσιν τούτου, οἷον, παρασκευάζουσα (ἡ Κύπρις) ἢ μηχανωμένη. 295 Ἄτις] ἥτις Ἑκάβη· Μέλλουσα γὰρ τέξεσθαι, εἶδεν ὄναρ τεκεῖν δαυλὸν ἡμμένον· τῶν δὲ μάντεων κελευόντων ἀποκτεῖναι τὸ τεχθὲν, ὡς μέλλον ἐμπρήσειν τὴν πόλιν, ἡ μήτηρ ὑπεξέθετο αὐτὸ εἰς τὴν Ἴδην, ὅπου ποιμὴν εὑρὼν, ἀνέθρεψεν

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

## ΜΕΝΕΛΑΟΣ, ΑΝΔΡΟΜΑΧΗ, ΜΟΛΟΤΤΟΣ, ΧΟΡΟΣ.

ΜΕ. Ἥκω λαβὼν σὸν παῖδ', ὃν εἰς ἄλλους δόμους
Λάθρα θυγατρὸς τῆς ἐμῆς ὑπεξέθου.
Σὲ μὲν γὰρ ηὔχεις θεᾶς βρέτας σῶσαι τόδε,
Τοῦτον δὲ τοὺς κρύψαντας· ἀλλ' ἐφευρέθης
Ἧσσον φρονοῦσα τοῦδε Μενέλεω, γύναι.
Κεἰ μὴ τόδ' ἐκλιποῦσ' ἐρημώσεις πέδον,
Ὅδ' ἀντὶ τοῦ σοῦ σώματος σφαγήσεται.
Ταῦτ' οὖν λογίζου, πότερα κατθανεῖν θέλεις,
Ἢ τόνδ' ὀλέσθαι σῆς ἁμαρτίας ὕπερ,
Ἣν εἰς ἔμ', ἔς τε παῖδ' ἐμὴν ἁμαρτάνεις.
ΑΝ. Ὦ δόξα, δόξα, μυρίοισι δὴ βροτῶν,
Οὐδὲν γεγῶσι, βίοτον ὤγκωσας μέγαν.
Εὔκλεια δ' οἷς μὲν ἐς' ἀληθείας ὕπο,
Εὐδαιμονίζω· τοὺς δ' ὑπὸ ψευδῶν ἔχειν
Οὐκ ἀξιώσω πλὴν τύχῃ φρονεῖν δοκεῖν.
Σὺ δὴ ϛρατηγῶν λογάσιν Ἑλλήνων ποτὲ
Τροίαν ἀφείλου Πρίαμον, ὧδε φαῦλος ὤν;
Ὅϛτις θυγατρὸς ἀντίπαιδος ἐκ λόγων
Τοσόνδ' ἔπνευσας, καὶ γυναικὶ δυστυχεῖ
Δούλῃ κατέστης εἰς ἀγῶν'. οὐκ ἀξιῶ
Οὔτ' οὖν σε Τροίας, οὔτε σοῦ Τροίαν ἔτι.
Ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὖ φρονεῖν

---

ἐν πήρα, ὅθεν τοὔνομα αὐτῷ Πάρις. 327. Ἀντίπαιδος] νέας, ἐν ἥβῃ· ἐν ἀκ

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

**ΜΕΝΕΛΑΟΣ, ΑΝΔΡΟΜΑΧΗ, ΜΟΛΟΤΤΟΣ, ΧΟΡΟΣ.**

ΜΕ. Τὸν σὸν ἀνευρὼν παῖδ', ὃν λάθρα τῆς ἐμῆς θυγατρὸς εἰς ἄλλων τινῶν ὑπεξέθου οἰκίαν, ἦλθον· σὺ γὰρ ᾠήθης ὡς τόδ' ἄγαλμα τῆς θεοῦ αὐτόντε τοῦτον, καί σε τὴν ἐκθεμένην δύναται σῶσαι· ἀλλ' ἐψεύσθης τῆς ἐλπίδος, ἐξελεγχθεῖσα ἔργῳ ἐμοῦ γ' αὐτοῦ ἧττον πολλῷ φρονοῦσα· καὶ νῦν, εἰ μὴ ἐκλίποις τὸ ἕδος τοῦτο, ἐκεῖνος ἀντὶ σοῦ αὐτίκα σφαγήσεται· Εἰπὲ τοίνυν ἡμῖν, σκεψαμένη τὸ κρεῖττον, πότερον αἱρῇ τοῖν δυοῖν, αὐτὴ ἀποθανεῖν, ἢ τοῦτον, ἀνθ' ὧν αὐτὴ εἰς ἐμέ τε καὶ εἰς τὴν ἐμὴν ἐξύβρισας θυγατέρα;

ΑΝ. Ὦ δόξα, δόξα, ὅπως πολλοὺς τῶν ἀνθρώπων μηδὲν ὄντας, εἰς ὕψος ἐξῆρας μέγα, οὐ καλῶς γε· οἷς μὲν γὰρ εὔκλεια ἀληθής ἐστιν ἐξ ἔργων, ἄξιον τούτους ἔμοιγε θαυμάζειν· οἷς δὲ ψευδής, κἀκ προλήψεως μόνης, οὐκ ἂν βουλοίμην εὐκλεεῖς ὀνομάζειν, πλὴν ὅσον δοκεῖν ἐπὶ πλούτῳ μέγα φρονεῖν· αὐτίκα γὰρ σύ, ὦ Μενέλαε, ἡγησάμενος τῶν Ἑλλήνων ποτὲ ἐπὶ Τροίαν, ἐξεῖλες, κακὸς οὕτως ὤν, ὥς' ἐκ λόγων ψευδῶν θυγατρὸς μειρακίσκης, μέγ' ἐμπνεύσας, ῥαγδαιότερος, ἢ ἔδει, ὡρμήθης πρὸς γυναῖκα δυστυχῆ καὶ ἀναξίως ζυγῷ ὑποδῦσαν δουλείας· οὐκ ἂν οὖν εἴης ἔμοιγε οὔτε σὺ Τροίας ἄξιος, οὔτε σοῦ γε ἡ Τροία· ἔξωθεν ἄρ' εἰσὶ λαμπροὶ οἱ δοκοῦντες φρονεῖν. τὰ δ' ἐντὸς ὅμοιοι τοῖς πολλοῖς,

Λαμπροὶ, τὰ δ' ἔνδον πᾶσιν ἀνθρώποις ἴσοι,
Πλὴν εἴ τι πλούτῳ· τοῦτο δ' ἰσχύει μέγα·
Μενέλαε, φέρε δὴ, διαπεράνωμεν λόγους.
Τέθνηκα τῇ σῇ θυγατρὶ, καί μ' ἀπώλεσεν·
Μιαιφόνον μὲν οὐκέτ' ἂν φύγοι μύσος.
Ἐν τοῖς δὲ πολλοῖς καὶ σὺ τόνδ' ἀγωνιεῖ
Φόνον· τὸ συνδρῶν γάρ σ' ἀναγκάσει χρέος.
Ἢν δ' οὖν ἐγὼ μὲν μὴ θανεῖν ὑπεκδράμω,
Τὸν παῖδά μου κτενεῖτε; κᾆτα πῶς πατὴρ,
Τέκνου θανόντος, ῥᾳδίως ἀνέξεται;
Οὐχ ὧδ' ἄνανδρον αὐτὸν ἡ Τροία καλεῖ·
Ἀλλ' εἶσιν οἷ χρή· Πηλέως γὰρ ἄξια
Πατρός τ' Ἀχιλλέως ἔργα δρῶν φανήσεται.
Ὤσει δὲ σὴν παῖδ' ἐκ δόμων· σὺ δ' ἐκδιδοὺς
Ἄλλῳ, τί λέξεις; πότερον ὡς κακὸν πόσιν
Φεύγει τὸ ταύτης σῶφρον; ἀλλὰ ψεύσεται.
Γαμεῖ δὲ τίς νιν; ἤ σφ' ἄνανδρον ἐν δόμοις
Χήραν καθέξεις πολιόν; ὦ τλήμων ἄνερ,
Κακῶν τοσούτων οὐχ ὁρᾷς ἐπιῤῥοάς;
Πόσας δ' ἂν εὐνὰς θυγατέρ' ἠδικημένην
Βούλοι' ἂν εὑρεῖν, ἢ παθεῖν, ἃ 'γὼ λέγω;
Οὐ χρὴ 'πὶ μικροῖς μεγάλα πορσύνειν κακὰ,
Οὐδ', εἰ γυναῖκες ἐσμὲν ἀτηρὸν κακὸν,

---

λεις δὲ κεῖται, ἀντὶ παιδὸς, οὐ καλῶς. 338. Τὸ συνδρῶν] τὸ γὰρ χρέος τῆς συγγενείας, δι' ὃ συνδρᾷς, βοηθῶν τῇ θυγατρὶ, ἀναγκάσει σε συμμετασχεῖν τοῦ φόνου. 347. Ψεύσεται] τί δ' οὐχὶ γραπτέον μᾶλλον, ψεύσεαι, ἐν δευτέρῳ προσώπῳ; 351. Πόσας εὐνάς.] προελοῦ μᾶλλον καὶ κατὰ πολλὰς εὐνὰς ἀδικεῖσθαι ἔτι τὴν σὴν θυγατέρα, ἢ ταῦτα παθεῖν, ἃ ἐγὼ λέγω· ὅ ἐστι, καὶ ἐξ

πλὴν ὅτι ὑπερβάλλουσι πλούτῳ· ὃ μόνον ἰσχυροὺς αὐτοὺς ἐπεργάζεται· ἐπειδὴ ἄγε σκεψώμεθα περὶ τῶν παρόντων· θῶμεν, ὅτι θνήσκω ἤδη τῇ σῇ θυγατρὶ, πῶς μὲν ἐκείνη ἐκφευξεῖται τὸ μίασμα; πῶς δὲ καὶ αὐτὸς οὐ δόξεις τοῖς πολλοῖς συναντιλαβέσθαι ἐκείνῃ τοῦ φόνου; ἀνάγκη γάρ σε, συνεργὸν ὄντα, συμμέτοχον γενέσθαι τοῦ φόνου· ἣν δ᾽ αὖ αὐτὴ ὑπεκφύγω, τολμήσετε ἀποκτεῖναι τὸν παῖδα; εἶθ᾽ ὁ πατὴρ πῶς οἴσει τοῦτο; ἆρ᾽ ἀνέξεται ὁρῶν τεθνηκότα ἐκεῖνον, ὁ μέγα κλέος ἐν Τροίᾳ ἀράμενος; ἀλλ᾽ οὐχὶ κινήσει πάντα λίθον, ἐφ᾽ ᾧ Πηλέως καὶ πατρὸς Ἀχιλλέως ἐπιδείξασθαι ἔργα; πρῶτον ἐκβαλεῖ τῆς οἰκίας τὴν σὴν θυγατέρα· ἢν εἶ θελήσεις ἐκδοῦναι ἑτέρῳ ἀνδρὶ, τί ποτ᾽ ἐρεῖς; πότερον ὡς σώφρων οὖσα, φαῦλον ἐκφεύγει ἄνδρα; ἀλλ᾽ οὐ πείσεις οὐδένα· πόθεν; πολλοῦγε καὶ δεῖ· τίς οὖν ἀναδέξεται τοιοῦτον κακόν; ἢ χήραν καθέξεις ἐς γῆρας ἥκοι; ὦ τλῆμον σύγε, οὐχ ὁρᾷς ὅσων κακῶν σεαυτῷ ὑπάρξεις; ἐν πόσαις γὰρ εὐναῖς προέλοιο ἂν μᾶλλον ἰδεῖν τὴν σαυτοῦ θυγατέρα ἠδικημένην, ἢ παθεῖν ταῦθ᾽, ἃ ἐγὼ εἶπον; Οὐ χρὴ τοίνυν μεγάλα ἀντὶ μικρῶν ἑαυτοῖς προκαλεῖσθαι κακά· οὐδὲ τοὺς ἄνδρας, τοῦτ᾽ αὐτὸ ἄνδρας ὄντας, γυναιξὶ, ἐπιῤῥεπεστέραις οὔσαις πρὸς τὸ ἁμαρτάνειν, ἐξο-

---

πλείους τῶν δύο ἡμῶν γυναικῶν Νεοπτόλεμος εἶχε, καὶ ἡ σὴ θυγάτηρ πλεονάκις ἐστερεῖτο τῆς τοῦ ἀνδρὸς εὐνῆς, ἄμεινον ἦν ταῦθ᾽ ὑποφέρειν, ἢ παθεῖν,

Ἄνδρας γυναιξὶ ἐξομοιοῦσθαι φύσιν.
Ἡμεῖς γὰρ, εἰ σὴν παῖδα φαρμακεύομεν,
Καὶ νηδὺν ἐξαμβλοῦμεν, ὡς αὐτὴ λέγει,
Ἑκόντες, οὐκ ἄκοντες, οὐδὲ βώμιοι
Πιτνοῦντες, αὐτοὶ τὴν δίκην ὑφέξομεν
Ἐν σοῖσι γαμβροῖς, οἷσιν οὐκ ἐλάσσονα
Βλάβην ὀφείλω, προστιθεῖσ' ἀπαιδίαν.
Ἡμεῖς μὲν οὖν τοιοίδε· τῆς δὲ σῆς φρενὸς
Ἕν σου δέδοικα· διὰ γυναικείαν ἔριν
Καὶ τὴν τάλαιναν ὤλεσας Φρυγῶν πόλιν.
ΧΟ. Ἄγαν ἔλεξας, ὡς γυνὴ, πρὸς ἄρσενας,
Καί σου τὸ σῶφρον ἐξετόξευσεν φρενός.
ΜΕ. Γύναι, τάδ' ἐστὶ σμικρὰ καὶ μοναρχίας
Οὐκ ἄξι', ὡς φῄς, τῆς ἐμῆς, οὐδ' Ἑλλάδος.
Εὖ δ' ἴσθ' ὅτου τις τυγχάνει χρείαν ἔχων,
Τοῦτ' ἔσθ' ἑκάστῳ μεῖζον, ἢ Τροίαν ἑλεῖν.
Κἀγὼ θυγατρὶ, (μεγάλα γὰρ κρίνω τάδε,
Λέχους στέρεσθαι) σύμμαχος καθίσταμαι.
Τὰ μὲν γὰρ ἄλλα δεύτερ', ἃ 'ν πάσχῃ γυνή.
Ἀνδρὸς δ' ἁμαρτάνουσ' ἁμαρτάνει βίου.
Δούλων δ' ἐκεῖνον τῶν ἐμῶν ἄρχειν χρεὼν,
Καὶ τῶν ἐκείνου τοὺς ἐμοὺς, ἡμᾶς τε πρός·
Φίλων γὰρ οὐδὲν ἴδιον, οἵτινες φίλοι
Ὀρθῶς πεφύκασ', ἀλλὰ κοινὰ χρήματα.
Μένων δὲ τοὺς ἀπόντας, εἰ μὴ θήσομαι
Τἄμ' ὡς ἄριστα, φαῦλός εἰμι, κοὐ σοφός.
Ἀλλ' ἐξανίστω τῶνδ' ἀνακτόρων θεᾶς·
Ὡς, ἢν θάνῃς σὺ, παῖς ὅδ' ἐκφεύγει μόρον.

βιοῦσθαι· ἐγὼ γὰρ, εἰ φαρμάκοις, ὥς φησι, τὴν ἐκείνης νηδὺν ἐξαμβλύνω, ἑκοῦσά γε, οὐδὲ βωμοῖς πῃ προσπεσοῦσα ἱκέτις, τῷ σῷ γαμβρῷ δώσω δίκην, ᾧ οὐκ ἐλάσσω, ἢ καὶ τῇ σῇ θυγατρὶ, ὄφλω βλάβην, ὡς ἄπαιδα καταστήσασα. Τοιαῦτα μὲν περὶ ἐμαυτῆς· σοῦ δ' ἓν ἐκεῖνο μάλιστα δέδοικα· ὅτι διὰ ζηλοτυπίαν γυναικὸς καὶ τὴν τῶν Φρυγῶν ἀνέτρεψας πόλιν.

**ΧΟ.** Ὑπερέβαλες παῤῥησίᾳ, γυνὴ οὖσα, τὴν φύσιν· ὑπερέτεινας γὰρ τὸ τῆς φρονήσεως τόξον.

**ΜΕ.** Σὺ μὲν, ὦ γύναι, μικρὰ οἴῃ ταῦτα, τῆς τ' ἐμῆς ἀρχῆς, καὶ τῆς Ἑλλάδος ἀνάξια τιθεμένη· ἀλλ' οὐκ οἶσθ' ἴσως, ὡς ὅτου ἂν τύχῃ τὶς ἐπὶ τοῦ παρόντος δεόμενος, τοῦτ' αὐτῷ μεῖζον, ἢ Τροίαν ἐστὶν ἑλεῖν· εἰκότως οὖν κἀγὼ ἀμύνω τῇ θυγατρὶ, μέγα κακὸν ἐν ἀφροδισίοις ἐκείνην ἀδικεῖσθαι τιθέμενος· πάντα γὰρ ἀνάσχοιτ' ἂν γυνὴ πάσχουσα· ἑνὸς δὲ τοῦ ἀνδρὸς στερουμένη, ἴσον τίθεται τῷ καὶ βίου στερεῖσθαι· ὅσον δὲ περὶ τοῦ ἀνδρὸς αὐτῆς, ἴσθι, ὡς πάντα τὰ τῶν φίλων κοινὰ, οἷς ἀληθὴς ὑπάρχει φιλία· Χρὴ τοίνυν ἐκεῖνον τῶν ἐμῶν, τούς τ' ἐμοὺς καὶ ἡμᾶς ὁμοίως τῶν δούλων ἐκείνου ἄρχειν· τὸ δὲ ἀναβαλέσθαι τὰ ἐμαυτοῦ εὖ θέσθαι, μέχρις ἂν ἐπανέλθῃ ἐκεῖνος, φαύλου, κοὐ φρονίμου ἂν εἴη. Ταῦτ' οὖν μαθοῦσα, ἐξανίστασο ἐντεῦθεν, ἵν' ἀποθανοῦσα, σωτηρία γένῃ τῷ σῷ παιδὶ τῷδε· εἰ δὲ μὴ, ἀντὶ σοῦ ἀπο-

---

ἐγὼ εἶπον. 363. Ἓν σου δέδοικα] μήτι καὶ ἄλλο κακὸν ἐπενέγκῃς διὰ γυ

Σοῦ δ' οὐ θελούσης κατθανεῖν, τόνδε κτενῶ.
Δυοῖν δ' ἀνάγκη θατέρῳ λιπεῖν βίον.

**ΑΝ.** Οἴμοι πικρὰν κλήσωσιν αἵρεσίν τέ μοι
Βίου καθίστης· καὶ λαχοῦσά γ' ἀθλία,
Καὶ μὴ λαχοῦσα δυστυχὴς καθίσταμαι.
Ὦ μεγάλα πράσσων αἰτίας μικρᾶς πέρι,
Πιθοῦ· τί καίνεις μ'; ἀντὶ τοῦ; ποίαν πόλιν
Προὔδωκα; τίνα σῶν ἔκτανον παίδων ἐγώ;
Ποῖον δ' ἔπρησα δῶμ'; ἐκοιμήθην βίᾳ
Ξὺν δεσπόταισι· κᾆτ' ἐμ', οὐ κεῖνον κτενεῖς,
Τὸν αἴτιον τῶνδ', ἀλλὰ τὴν ἀρχὴν ἀφεὶς,
Πρὸς τὴν τελευτὴν ὑστέραν οὖσαν φέρῃ;
Οἴμοι κακῶν τῶνδ'! ὦ τάλαιν' ἐμὴ πατρὶς,
Ὡς δεινὰ πάσχω! τί δέ με καὶ τεκεῖν ἐχρῆν,
Ἄχθος τ' ἐπ' ἄχθει τῷδε προσθέσθαι διπλοῦν;
Τί δῆτ' ἐμοὶ ζῆν ἡδύ; πρὸς τί χρὴ βλέπειν;
Πρὸς τὰς παρούσας, ἢ παρελθούσας τύχας;
Ἥτις σφαγὰς μὲν Ἕκτορος τροχηλάτους
Κατεῖδον, οἰκτρῶς τ' Ἴλιον πυρούμενον,
Αὐτὴ δὲ δούλη ναῦς ἐπ' Ἀργείων ἔβην,
Κόμης ἐπισπασθεῖσ'· ἐπεὶ δ' ἀφικόμην
Φθίαν, φονεῦσιν Ἕκτορος νυμφεύομαι.
Ἀτὰρ τί ταῦτ' ὀδύρομαι, τὰ δ' ἐν ποσὶν

---

ναῖκα, οἷόν ἐστι τὸ ἐν Τροίᾳ. 401. Κατεῖδον] μετὰ τοῦτον τὸν στίχον ἐν ἄλλοις κεῖται κἀκεῖνος [Καὶ παῖδ' ἀποβληθέντα περγάμων ἄπο]. 405. Αὐτὰρ τί ταῦτ' ὀδύρομαι.] οὗτος ὁ στίχος καὶ ὁ ἑπόμενος ἐν ἄλλοις κεῖνται ἀνωτέρω μετὰ τὸν

θανεῖται οὗτος· ἀνάγκης δ᾽ οὔσης τοῖν δυοῖν τὸν ἕτερον ἀποθανεῖν, ἑλοῦ, ὃ ἂν βούλῃ.

ΑΝ. Οἴμοι ὡς πικρὰν τὴν κλήρωσιν καὶ αἵρεσιν ταύτην τοῦ βίου μοι προτείνεις· καὶ γὰρ κἂν λάχω, κἂν μὴ λάχω, εἰμὶ παναθλία· ὦ μεγάλα περὶ μικρῶν πράσσων, ἄκουσον σύγε τοὺς ἐμοὺς τούτους λόγους· τί δήποτε ἐθέλεις ἀπολέσαι με, καὶ ἀνθ᾽ ὅτου; μή τινα σοι τῶν πόλεων προὔδωκα; μήτινα τῶν παίδων ἀπέκτεινα, ἢ οἰκίαν ἐνέπρησα, ἢ ἄλλο τι κακὸν ἐποίησά σε τοιοῦτον; ἀλλὰ συνηυνάσθην ἄκουσα τῷ δεσπότῃ· εἶτ᾽ ἐμοὶ τοῦτ᾽ ἐγκαλεῖς, καὶ οὐκ ἐκεῖνον ζητεῖς ἀποκτεῖναι τὸν γενόμενον αἴτιον, ἀλλ᾽ ἐμὲ τὴν ἀναγκασθεῖσαν; οἴμοι τῶν κακῶν· ὦ τάλαινα ἐμὴ πατρὶς, ὡς δεινὰ καὶ ἀνύποιςα πάσχω· τί δ᾽ ἐχρῆν με τεκεῖν, ὥστ᾽ ἐπ᾽ ἄχθει τούτῳ καὶ ἕτερον ἐπιθέσθαι; πῶς ἂν εἴη μοι τὸ ζῆν ἡδὺ τοῦ λοιποῦ, πρὸς τί ἀφορώσῃ; πότερον, πρὸς τὰς παρεστώσας, ἢ τὰς παρελθούσας συμφοράς; ἥτις τὸν θ᾽ Ἕκτορ᾽ αὐτὸν ἐσφραγμένον αὐτοῖς ὀφθαλμοῖς εἶδον ἀπὸ τοῦ δίφρου ἑλκόμενον, καὶ Αςυάνακτα τὸν παῖδα ἀπὸ τοῦ τείχους ἐκσφενδονηθέντα, καὶ Ἴλιον πυρπολούμενον, καὶ ἐμαυτὴν ἀπὸ τῶν θαλάμων ἀπαγομένην τε, καὶ ἀπὸ τῶν πλοκάμων ἑλκομένην πρὸς τὰς ναῦς εἰς τὴν θάλασσαν; κἀπειδὴ ἀφικόμην Φθίαζε, νυμφευθεῖσαν τοῖς φονεῦσι τοῦ Ἕκτορος· ἀλλὰ τί ταῦθ᾽ ᾠδ᾽ ὀδύρομαι παρελθόντα,

(398) Τί δή τ᾽ ἐμοὶ ζῆν ἡδύ. εὖ καλῶς. τὸ δὲ ἐξικμάζειν ἐξιχνεύειν, ἐξετάζειν, ἐστὶν ἐνταῦθα· καίτοι ἀμφίβολος ἡ γραφή· δύναται δὲ ληφθῆναι καὶ ἀντὶ τοῦ

Οὐκ ἐξικμάζω καὶ λογίζομαι κακά;
Εἷς παῖς ὅδ' ἦν μοι λοιπὸς, ὀφθαλμὸς βίου·
Τοῦτον κτενεῖν μέλλουσιν, οἷς δοκεῖ τάδε.
Οὐ δῆτα τοὐμοῦ γ' οὕνεκ' ἀθλίου βίου·
Ἐν τῷδε μὲν γὰρ ἐλπὶς, εἰ σωθήσεται·
Ἐμοὶ δ' ὄνειδος μὴ θανεῖν ὑπὲρ τέκνου.
Ἰδοὺ προλείπω βωμὸν ἥδε χειρία
Σφάζειν, φονεύειν, δεῖν, ἀπαρτῆσαι δέρην.
Ὦ τέκνον, ἡ τεκοῦσα σ', ὡς σὺ μὴ θάνῃς,
Στείχω πρὸς Ἅδην· ἢν δ' ὑπεκδράμῃς μόρον,
Μέμνησο μητρὸς, οἷα τλᾶσ' ἀπωλόμην,
Καὶ πατρὶ τῷ σῷ, διὰ φιλημάτων ἰὼν,
Δάκρυά τε λείβων καὶ περιπτύσσων χέρας,
Λέγ', οἷ' ἔπραξα· πᾶσι δ' ἀνθρώποις ἄρ' ἦν
Ψυχὴ τέκν'· ὅστις δ' αὔτ' ἄπειρος ὢν ψέγει,
Ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ' εὐδαιμονεῖ·

ΧΟ. Ὤκτειρ' ἀκούσας· οἰκτρὰ γὰρ τὰ δυστυχῆ
Βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ.
Ἐς ξύμβασιν δὲ χρῆν σε σὴν παῖδ' ἐξάγειν,
Μενέλαε, καὶ τήνδ', ὡς ἀπαλλαχθῇ πόνων.

ΜΕ. Λάβεσθέ μοι τῆσδ', ἀμφελίξαντες χέρας,
Δμῶες· λόγους γὰρ οὐ φίλους ἀκούσεται.
Ἔγωγ', ἵν' ἁγνὸν βωμὸν ἐκλίποις θεᾶς,

---

δάκρυα καταβρέχω. 421. Ἧσσον μὲν ἀλγεῖ] οὐκ ἀλγεῖ μὲν ἐπὶ ταῖς συμφοραῖς τῶν τέκνων, ὡς μὴ ἔχων τέκνα· ἀλλ' οὔτ' εὐδαιμονεῖ ἐπὶ ταῖς εὐτυχίαις ἐκεί-

ἐῶσα τὰ δεύτερα, ἐν οἷς νῦν τυγχάνω γε οὖσα; εἷς μόνος παῖς ἦν μοι λοιπὸς ὀφθαλμὸς τοῦ βίου, καὶ τοῦτον ἀπειλοῦσιν ἀποκτενεῖν, οἷς δοκεῖ ποιεῖν τοῦτο· ἀλλ' οὐκ ἂν ἀποθάνοι ὑπὲρ ἐμοῦ τῆς ἀθλίας· αὐτῷ μὲν γὰρ διασωθέντι ὕπεστιν ἐλπὶς οὐ σμικρὰ μεταβολήν ποθ' ὕστερον δέξεσθαι τύχης, ἐμοὶ δὲ μέγα ὄνειδος μὴ θέλειν αὐτοῦ προαποθανεῖν· οὐκοῦν λίπω τὸν βωμὸν τουτονὶ, αὐτὴ ἐμαυτὴν παραδοῦσα ὑποχείριον τοῖς βιαζομένοις σφάξαι, φονεῦσαι, δῆσαι, ἀπάγξαι, ὅ,τι ἂν βούλωνταί με ποιῆσαι· ἐγὼ, ὦ τέκνον, ἡ τεκοῦσά σε, πάντα ταῦθ' ἕτοιμός εἰμι παθεῖν ὑπὲρ σοῦ, καὶ δὴ ἄπειμι εἰς ᾅδου, ἵνα μὴ αὐτὸς προαπέλθῃς· σὺ δ' εἰ διασωθείης, μέμνησο τῆς μητρὸς, οἷα πάσχουσα τελευτῶ· καὶ τῷ σαυτοῦ πατρὶ προσιὼν, φιλῶν, δακρύων, περιπτύσσων, λέγε αὐτῷ, οἷα πέπονθα· οὕτω γὰρ πᾶσιν ἀνθρώποις τὰ τέκνα ἐστὶ ψυχή· ὁ δὲ μὴ εὐτυχήσας πατὴρ γενέσθαι, τάχα μὲν ψέγοι ταῦτα, καὶ ἧττον ἀλγοίη ἂν, ἀλλ' ἴστω εὐδαιμονῶν ἐν κακοδαιμονίᾳ.

ΧΟ. Τίς οὐκ ἂν ᾤκτειρε ταῦτ' ἀκούσας; ἐλεεινὸν γὰρ τὸ ἀνθρώπινον δυστυχοῦν, κἂν ξένος τις τύχῃ ὤν. Χρὴ τοίνυν σε, ὦ Μενέλαε, συμβιβάσαι τὴν σαυτοῦ θυγατέρα πρὸς ταύτην πρὸς ἀποφυγὴν τῶν κακῶν.

ΜΕ. Πρόσπολοι, συλλαβόντες μοι ταύτην, καὶ περιαγαγόντες τὰς χεῖρας, δήσατε· νῦν γὰρ ἀκούσει, οἷα οὐκ ἤλπιζεν· ἴσθι τοίνυν αὐτὴ, ὡς ἐγὼ διὰ τοῦτο τὸν τοῦ παιδός σοι

---

νων παρόντων, ἄτεκνος ὤν. καὶ οὕτω δοκεῖ μὲν εὐδαιμονεῖν μὲν ἀλγῶν· δυ-

Προὔτεινα παιδὸς θάνατον, ᾧ σ' ὑπήγαγον
Ἐς χεῖρας ἐλθεῖν τὰς ἐμὰς ἐπὶ σφαγήν.
Καὶ τἀμφὶ σοῦ μὲν ὧδ' ἔχοντ' ἐπίστασο·
Τὰ δ' ἀμφὶ παιδὸς τοῦδε παῖς ἐμὴ κρινεῖ,
Ἤν τε κτανεῖν νιν, ἤν τε μὴ κτανεῖν θέλῃ.
Ἀλλ' ἕρπ' ἐς οἴκους τούσδ', ἵν' εἰς ἐλευθέρους,
Δούλη γεγῶσα δήποθ', ὑβρίζειν μάθῃς·

ΑΝ. Οἴ μοι! δόλῳ μ' ὑπῆλθες, ἠπατήμεθα.

ΜΕ. Κήρυσσ' ἅπασιν· οὐ γὰρ ἐξαρνούμεθα.

ΑΝ. Ἦ ταῦτ' ἐν ὑμῖν, τοῖς παρ' Εὐρώτᾳ, σοφά;

ΜΕ. Καὶ τοῖς γε Τροίᾳ, τοὺς παθόντας ἀντιδρᾶν.

ΑΝ. Τὰ θεῖα δ' οὐ θεῖ', οὐδ' ἔχειν ἡγῇ δίκην;

ΜΕ. Ὅταν τάδ' ᾖ, τότ' οἴσομεν; σὲ δὲ κτενῶ.

ΑΝ. Ἦ καὶ νεοσσὸν τόνδ', ὑπὸ πτερῶν σπάσας;

ΜΕ. Οὐ δῆτα· θυγατρὶ δ', ἢν θέλῃ, δώσω κτανεῖν.

ΑΝ. Οἴ μοι! τί δῆτα σοῦ καταστένω, τέκνον;

ΜΕ. Οὔκουν θρασεῖά γ' αὐτὸν ἐλπὶς ἀναμένει.

ΑΝ. Ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν.
Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια,
Ψευδῶν ἄνακτες, μηχανορράφοι κακῶν,
Ἑλικτὰ, κοὐδὲν ὑγιὲς, ἀλλὰ πᾶν πέριξ
Φρονοῦντες, ἀδίκως εὐτυχεῖτ' ἀν' Ἑλλάδα.
Τί δ' οὐκ ἐν ὑμῖν ἐστίν; οὐ πλεῖστοι φόνοι;
Οὐκ αἰσχροκερδεῖς; οὐ λέγοντες ἄλλα μὲν
Γλώσσῃ, φρονοῦντες δ' ἄλλ' ἐφευρίσκεσθ' ἀεί;
Ὄλοισθ'· ἐμοὶ δὲ θάνατος οὐχ οὕτω βαρὺς,

---

στυχεῖ δὲ ἐν τῇ εὐδαιμονίᾳ ψυχὴν μὴ ἔχων, ὅ ἐστι τέκνα. 441. Οἴσομεν] ἐν ἄλλοις, οἴσομαι. 442. ὑπὸ πτερῶν] τὸν ὑπὸ τῶν τῆς μητρὸς πτερῶν ὄντα; ἐν

προὔτεινα θάνατον, ἵν' ἐμπέσῃς ταῖς ἐμαῖς χερσὶ ταυταισὶ πρὸς σφαγὴν, τὸ ἱερὸν τῆς θεοῦ ἐκλιποῦσα· Τὸ μὲν οὖν σὸν ὧδε ἕξει· Περὶ δὲ τοῦ παιδὸς ἐπὶ τῇ ἐμῇ θυγατρί ἐστι βουλεύσασθαι ὅ,τι ἂν βούληται πρᾶξαι, εἴτ' ἀποκτεῖναι, εἴτε καὶ διασῶσαι αὐτόν· ἀλλ' ἕρπε εἴσω ἐς τὸ δῶμα τουτὶ, ἵνα μάθῃς μηκέθ' ὑβρίζειν εἰς ἐλευθέρους, μὴ ἐλευθέρα οὖσα.

ΑΝ. Οἴμοι· δόλῳ ἄρα με παρήγαγες εἰς τοῦτο.

ΜΕ. Φανερὸν πᾶσι, κοὐδὲν ἀντεροῦμεν ἔτι.

ΑΝ. Ἀλλὰ δίκαια ταῦθ' ὑμῖν τοῖς Σπαρτιάταις;

ΜΕ. Καὶ Τρωσὶν αὐτοῖς, κακῶς προπεπονθόσι.

ΑΝ. Τί δὲ τὰ θεῖα; ἢ οὐκ ἔστι θεῶν δίκη;

ΜΕ. Τότε μὲν ὑποίσομεν, νῦν δὲ ἀπολεσθήσῃ.

ΑΝ. Ὁ δὲ νεοσσὸς ὁ ὑπόπτερος οὗτος τί;

ΜΕ. Ἐπὶ τῇ θυγατρί ἐστιν, ὃ ἂν ἐθέλῃ πρᾶξαι.

ΑΝ. Οἴμοι· τίνα δάκρυα κατασπείσω σου τέκνον;

ΜΕ. Ἐλπὶς σταθερὰ κἀυτὸν οὐκ ἀναμένει.

ΑΝ. Ὦ Σπάρτης κακὰ τέκνα, ἁπάντων πᾶσιν ἀνθρώποις ἔχθιστοί τε καὶ στυγερώτατοι, βουλευτήρια δόλια, προστάται τοῦ ψεύδους, τέκτονες κακῶν, οἱ μηδὲν ἁπλοῦν, οὐδ' εὐθὺ, ἀλλὰ λοξὰ φρονοῦντες· οὐκοῦν τοιοῦτοι ὄντες, οὐκ ἀξίως τὰ πρῶτα φέρεσθε τῶν Ἑλλήνων· τί γὰρ ἐν ἡμῖν ὂν, οὐ κακόν; ἢ τὶ κακὸν ὂν, οὐκ ἐν ἡμῖν ἐστίν; οὐ πλεῖστοι φόνοι; οὐκ αἰσχροκερδεῖς; οὐκ ἄλλα μὲν λέγοντες, ἄλλα δὲ φρονοῦντες φωρᾶσθε ἀεί· ὄλοισθ'

---

ἄλλοις δὲ κεῖται συνθέτως, ὑπόπτερον· οὕτω δὲ κἀν τοῖς Ἡρακλείδαις. στίχ. 7

» Οἵθ' Ἡράκλειοι παῖδες, οὓς ὑποπτέρους

» Σώζω νεοσσοὺς, ὄρνις ὣς ὑφειμένη.

Ὡς σοὶ δέδοκται. κεῖνα γάρ μ' ἀπώλεσεν,
Ὅθ' ἡ τάλαινα πόλις ἀναλώθη Φρυγῶν,
Πόσις θ' ὁ κλεινὸς, ὅς σε πολλάκις δορὶ
Ναύτην ἔθηκεν ἀντὶ χερσαίου κακόν.
Νῦν δ' ἐς γυναῖκα γοργὸς ὁπλίτης φανεὶς,
Κτείνεις μ'. ἀπόκτειν'· ὡς ἀθώπευτόν γέ σε
Γλώσσης ἀφήσω τῆς ἐμῆς καὶ παῖδα σήν.
Ἐπεὶ σὺ μὲν πέφυκας ἐν Σπάρτῃ μέγας,
Ἡμεῖς δὲ Τροίᾳ γ'. εἰ δ' ἐγὼ πράσσω κακῶς,
Μηδὲν τόδ' αὔχει· καὶ σὺ γὰρ πράξειας ἄν.

ΧΟ. Οὐδέποτ' ἂν δίδυμα λέκτρ' ἐπαινέσω βροτῶν, (Στρ. ά.)
Οὐδ' ἀμφιμάτορας κόρους,
Ἔριν μὲν οἴκων, δυσμενεῖς τε λύπας.
Τὴν μίαν μοι στεργέτω πόσις
Γάμοις ἀκοινώνητον ἀνδρὸς εὐνάν.
Οὐδὲ γὰρ ἐν πόλεσι δίπτυχοι τυραννίδες (Ἀντ. ά.)
Μιᾶς ἀμείνονες φέρειν.
Ἄχθος τ' ἐπ' ἄχθει καὶ στάσις πολίταις·
Τεκτόνοιν θ' ὕμνου συνεργάταιν
Δυοῖν ἔριν Μοῦσαι φιλοῦσι κραίνειν.
Πνοαὶ δ' ὅταν φέρωσι ναυτίλους θοαὶ, (στ. β'.)
Κατὰ πηδαλίων διδύμα πραπίδων γνώμα,
Σοφῶν τε πλῆθος ἀθρόον ἀσθενέστερον.
Φαυλοτέρας φρενὸς αὐτοκρατοῦς.
Ἑνὸς ἁ δύνασις ἀνά τε μέλαθρα κατά τε πόλιας,

444. Θρασεία] πιστὴ βεβαία. 469. Ἀκοινώνητον] ὁ μὲν ἀνὴρ φησὶ, μίαν ἐχέτω γυναῖκα· ἡ μὲν γυνὴ αὕτη μηδένα ἕτερον γινωσκέτω ἄνδρα· ἀλλ' ἀμφότεροι συνευναζέσθωσαν ἄπειροι ἀλλοτρίας εὐνῆς 471. Φέρειν οὔτε πόλει

ὑμεῖς γε· κἀμοὶ μὲν ὁ θάνατος οὐχ οὕτω βαρὺς, ὡς σὺ νομίζεις· ἐκεῖνο δέ μοι ἐστὶ καὶ θανάτου πικρότερον, τὸ μεμνῆσθαι καταναλωθεῖσαν τὴν Τροίαν, καὶ Ἕκτορα τὸν κλεινὸν ἐσφαγμένον· ὃς κακὸν ὁρῶν σε πολλάκις ὄντα, συγκατέκλεισεν εἰς τὰς ναῦς, ἐπιπεσὼν ῥαγδαιότερος· νῦν δ' ὁπλίτης γενναῖος ἐπελθὼν ἐμοὶ γυναικὶ ταλαιπώρῳ, ἀνδραγαθίζῃ, ἀποκτεῖναί με θέλων· ἀπόκτεινον, μηδὲ φείδου, ὡς ἐγὼ σέγε οὐδέποτ' οὔτε λόγοις ὑποδραμοῦμαι, οὔτ' ἄλλως θωπεύσω, οὔτε σὲ, οὔτε τὴν σὴν θυγατέρα· σὺ μὲν γὰρ νῦν μέγας ἐν Σπάρτῃ· ἡμεῖς δ' ἦμέν ποτε ἐν Τροίᾳ· εἰ δὲ νῦν κακῶς πράσσω, μὴ θάῤῥει σύγε· τάχα γὰρ ἂν καὶ σοὶ αὐτῷ ἀντιπεριςαίη τὰ πράγματα.

**ΧΟ.** Οὐδέποτ' ἂν τοὺς διπλοῦς τῶν ἀνδρῶν ἐπαινέσαιμι γάμους· οὔτε μὴν τοὺς ἑτεροθαλεῖς παῖδας, τὴν χαλεπὴν ταύτην τῶν οἴκων ἔριν, τὴν μέγα μῖσος καὶ ἀπέχθειαν ἐμποιοῦσαν· εἴθε δὲ ούμὸς ἀνὴρ μίαν ςέργοι ἐμὲ γυναῖκα, καὶ αὐτὴν ἑτέρου ἀνδρὸς μὴ ἔχουσαν πεῖραν.

Ὁρῶμεν γὰρ κἀν ταῖς πόλεσιν αὐταῖς δύο ἄρχοντας μηδέποτε τοῦ ἑνὸς ἄμεινον κυβερνῶντας· ἀλλ' ἐπὶ πάθεσι πάθη, καὶ στάσεις ἐν ςάσεσι συμβαινούσας ἐντεῦθεν συγχνότερον· τὸ δὲ παραδοξότερον καὶ οἷς ὁ βίος λόγοι καὶ ὕμνοι, καὶ τούτοις αἱ Μοῦσαι ἐνέθηκαν ἔριν πρὸς ἀλλήλους καὶ φθόνον.

Οὕτω δὴ κἀν τοῖς χειμαζομένοις δύο κυβερνῆται, κἂν ἄριςοι ὦσιν, ἐποίησαν πολλάκις ἐξοκεῖλαι τὸ σκάφος· καὶ πλῆθος σοφῶν περὶ τὸ αὐτὸ ἀσχολούμενοι, εὑρέθησαν ἀσθενέςεροι ὄντες τοῦ ἑνὸς, ἀμαθοῦς μὲν ὄντος, αὐτοκράτορος δέ· Ἵν' οὖν κατά τε οἶκον καὶ πόλιν πάντα

---

ῥᾷον δύο ἄρχοντας φέρειν, ἢ ἕνα· τοῦτο γὰρ ἄχθος ἐστὶν ἐπ' ἄχθει καὶ ςάσις

Ὁπόταν εὑρεῖν θέλωσι καιρόν·
Ἔδειξεν ἡ Λάκαινα τοῦ στρατηλάτα (Ἀντ. β'.)
Μενέλα· διὰ γὰρ πυρὸς ἦλθ' ἑτέρῳ λέχει,
Κτείνει δὲ τὴν τάλαιναν Ἰλιάδα κόραν,
Παῖδά τε δύσφρονος ἔριδος ὕπερ.
Ἄθεος, ἄνομος, ἄχαρις ὁ φθόνος. ἔτι σε, πότνια,
Μετατροπὰ τῶνδ' ἔπεισιν ἔργων.
Καὶ μὴν ἐσορῶ τόδε σύγκρατον
Ζεῦγος πρὸ δόμων,
Ψήφῳ θανάτου κατακεκριμένον.
Δύστανε γύναι, τλήμων δὲ σὺ, παῖ,
Μητρὸς λεχέων ὃς ὑπερθνήσκεις,
Οὐδὲν μετέχων,
Οὐδ' αἴτιος ὢν βασιλεῦσιν.
ΑΝ. Ἅδ' ἐγὼ χέρας αἱματη- (Στρ. γ'.)
Ρὰς βρόχοισι κεκλειμένα,
Πέμπομαι κατὰ γαίας.
ΜΟ. Μᾶτερ, μᾶτερ, ἐγὼ δὲ σᾷ
Πτέρυγι συγκαταβαίνω.
ΑΝ. Θῦμα δάϊον, ὦ χθονὸς
Φθίας κράντορες!
ΜΟ. ὦ πάτερ,
Μόλε φίλοις ἐπίκουρος.
ΑΝ. Κείσῃ δὴ, τέκνον, ὦ φίλος,
Μαστοῖς ματέρος ἀμφὶ σᾶς
Νεκρὸς ὑπὸ χθονὶ σὺν νεκρῷ.
ΜΟ. Ὤ μοί μοι! τί πάθω τάλας

---

πολίταις 473. Ὕμνου] ἐν ἄλλοις δὲ, ὕμνοισιν ἐργάταιν, κεῖται· ἀναφέρεται δὲ ταῦτα καὶ πρὸς τὸ Ἡσιόδειον· καὶ ἀοιδὸς ἀοιδῷ φθονέει. 476. Κατὰ πα-

ἢ διακυβερνώμενα κατὰ τρόπον, εἷς κοίρανος ἴςω, μία δύναμις ἡ προςάττουσα.

Μαρτυρεῖ μοι τῷ λόγῳ ἡ Μενελάου θυγάτηρ, ῥαγδαιοτάτῃ ζηλοτυπίᾳ τῇ ἀντιζήλῳ ἐπιπεσοῦσα Τρῳάδι, αὐτήν τε καὶ τὸν παῖδ' αὐτῆς, ἐξ ἀμαθοῦς ἔριδος ἐπηρμένη, ἀξιοῖ ἀποκτεῖναι· φεῦ, ὅσον ἄθεος, ἄνομος, ἄχαρίς ἐςιν ὁ φθόνος. Σὺ δ', ὦ δέσποινα, ἔσθ' ὅτε μεταμελήσῃ ἐπὶ τοῖς πεπραγμένοις.

Καὶ μὴν ὁρῶ ἄμφω τούτους πρὸ τῶν οἴκων ὧδε, ἀδίκῳ ψήφῳ θανάτου κατακεκριμένους· ὦ δύςηνε γύναι, ὦ τλῆμον καὶ σὺ παῖ, ὃς μηδενὸς μετέχων ἐγκλήματος, οὐδ' αἴτιος κακοῦ τινὸς τοῖς δεσπόταις γενόμενος, ἀποθνήσκεις ἐπὶ μητρῴαις συμφοραῖς.

ΑΝ. Ἤδη δ' οὖν ἐγὼ, δεδεμένη τὰς χεῖρας βρόχοις, πέμπομαι πρὸς τοὺς κάτω.

ΜΟ. Μῆτερ ἐμὴ, κἀγὼ ὑπὸ τὴν σὴν πτέρυγα συναπέρχομαι, θῦμα γενόμενος σφάγιον· ὦ Φθίας τὸ κράτος ἔχοντες, Ὦ φίλτατε πάτερ, σπεῦσον ἐπικουρήσων φίλοις.

ΑΝ. Ὦ τέκνον, ὦ φίλε παῖ, αὐτίκα κείσῃ παρὰ τοῖς μαςοῖς τῆς σαυτοῦ μητρὸς ὑπὸ γῆν, ἄθλιος νεκρὸς νεκροῦ ἀθλιωτέρου.

ΜΟ. Ὤμοι, τί ποιήσω; ὦ τάλας ἐγὼ καὶ σὺ ἀθλία μῆτ ερ

---

δαλίων] δύο κυβερνητῶν, φησὶ, καὶ φρονίμων ὄντων. γνώμη ἐπιβλαβὴς ἐν τῇ τῶν πηδαλίων διοικήσει ἀποβαίνει. 479. Ἡ δύναςις] ἐν ἄλλοις κεῖται, ἡ δύναμις. 480. Καιρὸν] ὄφελος· ὡς ἀνωτέρω· 130. 485. Ὁ φθόνος.] ἐν ἄλλοις ὁ φόνος· ὁμοίως δὲ κἀν τῷ ἑπομένῳ στίχῳ ἀντὶ τοῦ, ἔτι σε, ἔτι σοι κεῖται. 491. Μητρὸς λεχέων] ἕνεκα τῆς πρὸς τὴν σὴν μητέρα ζηλοτυπίας τῆς Ἑρμιόνης. 494. Ἅδ' ἐγὼ] ἥδε αὐτὴ ἐγώ. 465. Κεκλειμένα] ταὐτὸν τῷ κεκλεισμένη, ἴσως δὲ γραπτέον, κεκλησμένα παρὰ τοῦ κλῄζειν, ἢ κλῄειν. 502



ΔΗΜΟΚΡ... ΚΗ ... ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

Δῆτ' ἐγὼ σύ τε, μᾶτερ!
ΜΕ. Ἴθ' ὑποχθόνιοι· καὶ γὰρ ἀπ' ἐχθρῶν
Ἥκετε πύργων· δύο δ' ἐκ δισσαῖν
Θνήσκετ' ἀνάγκαιν· σὲ μὲν ἡμετέρα
Ψῆφος ἀναιρεῖ, παῖδα δ' ἐμὴ παῖς
Τόνδ' Ἑρμιόνη. καὶ γὰρ ἄνοια
Μεγάλη λείπειν ἐχθροὺς ἐχθρῶν,
ἐξὸν κτείνειν,
Καὶ φόβον οἴκων ἀφελέσθαι.
ΑΝ. Ὦ πόσις πόσις, εἴθε σὰν
Χεῖρα καὶ δόρυ σύμμαχον
Κτησαίμαν, Πριάμου παῖ!
ΜΟ. Δύστανος, τί δ' ἐγὼ μόρου
Παράτροπον μέλος εὕρω;
ΑΝ. Λίσσου, γούνασι δεσπότου
χρίμπτων, ὦ τέκνον.
ΜΟ. ὦ φίλος,
φίλος, ἄνες θάνατόν μοι.
ΑΝ. Λείβομαι, δακρύοις κόρας,
στάζω, λισσάδος ὡς πέτρας
Λιβὰς ἀνήλιος, ἁ τάλαιν'.
ΜΟ. Ὤ μοί μοι! τί δ' ἐγὼ κακῶν
Μῆχος ἐξανύσωμαι;
ΜΕ. Τί με προσπίπτεις, ἁλίαν πέτραν, (Ἀντ. δ'.)
Ἢ κῦμα λιταῖς ὡς ἱκετεύων;
Τοῖς γὰρ ἐμοῖσιν γέγον' ὠφελία,
Σοὶ δ' οὐδὲν ἔχω φίλτρον, ἐπεί τοι
Μέγ' ἀναλώσας ψυχῆς μόριον,
Τροίαν εἷλον καὶ μητέρα σήν·
Ἧς ἀπολαύων
Ἅδην χθόνιον καταβήσῃ.

**ΜΕ.** Ἐκφθείρεσθε εἰς τὸν Ἅδην, ἐχθροὶ ὄντες, κἀξ ἐχθρᾶς πόλεως ἀπαχθέντες ἐνταῦθα· ἀνάγκη γὰρ ἡμᾶς ἀμφοτέρους, ἕτερον ὑφ' ἑτέρου ἡμῶν ἀπολέσθαι, σὲ μὲν, ὑπὸ τῆς ἐμῆς ψήφου· τὸν δὲ παῖδα, ὑπὸ τῆς Ἑρμιόνης· ἐχθρῶν γὰρ ἐξ ἐχθρῶν, ἐξ ὧν μεγάλη βλάβη ἐγγίνεται τῷ οἴκῳ, φείδεσθαι συλλαβόντας, πολλὴ μωρία.

**ΑΝ.** Ὦ ἄνερ, ἄνερ, σὲ τὸν φίλτατον φωνῶ Ἕκτορα, γένοιτό μοι νῦν ὁ σὸς βραχίων ἐπίκουρος.

**ΜΟ.** Ὦ δύστηνος ἐγώ, τί ποτ' ἂν ἐφεύροιμι πρὸς ἀπαλλαγήν;

**ΑΝ.** Προσπεσὼν, ὦ τέκνον, τοῖς τούτου γόνασι, καθικέτευε.

**ΜΟ.** Ὦ φίλε δέσποτα, φείδου μου τοῦ ταλαιπώρου.

**ΑΝ.** Ὦ τάλαιν' ἐγώ· ὡς τήκομαι, καί μοι τὰ ὄμματα λύονται εἰς δάκρυα, ὡς λιβὰς ἐν ἀνηλίῳ ἐκ πέτρας λειβομένη·

**ΜΟ.** Ὤμοι μοι· τί δήποτ' ἴαμα τῶν κακῶν ἂν ἐξεύροιμι;

**ΜΕ.** Τί δήποτέ μοι προσπίπτεις σὺ δεόμενος οὕτως; ἢ οὐκ οἶσθ' ὅτι αἱ σαὶ ἱκετεῖαι προσπίπτουσί μοι μάτην, καθάπερ τὰ κύματα προσαράσσοντα εἰς τὰς πέτρας; τοὐμὸν δ' οὐκ ἄλλο, ἢ τοὺς ἐμαυτοῦ ὠφελῆσαι· σοῦ δ' οἶκτος οὐδ' ὁστισοῦν ἔνεστιν ἔμοιγε· πολὺ γὰρ μέρος τοῦ ἐμαυτοῦ καταναλώσας βίου, Τροίαν ἐξεῖλον, καὶ τὴν σὴν μητέρα αἰχμάλωτον ἠγαγόμην· ἧς παῖς αὐτὸς ὢν, δίκαιος ἂν εἴης συγκαταβῆναι ἐκείνῃ παρὰ τοὺς κάτω.

---

Κείση] ἐν ἄλλοις, Κεῖσο. 512. Λείπειν] ἐν ἄλλοις, Λιπεῖν. Ἐχθροὺς δ' ἐχθρῶν τὸν παῖδα τῆς ἐχθρᾶς ἐννοεῖ Ἀνδρομάχης. 519. Παράτροπον] τίνα λόγον εἴπω ὥστε παρατρέψαι τὸν μόρον ἄλλη. 520. Λίσσου σὺ] τῷ παιδὶ παραινεῖ ἱκετεύειν, αὐτὴ μὴ ἀξιοῦσα. ἔφη γὰρ ἀπειποῦσα τὴν ἱκεσίαν ἀνωτέρω 460. 528. Ἀλίαν πέτραν] τί με ἱκετεύεις ὡς πέτραν, ἢ ὡς κῦμα θαλάσσης, ἃ οὐ πεφύκασι δέχεσθαι παράκλησιν; οὕτω δηλονότι κἀμὲ, ὡς ἄψυχόν τι καὶ ἀναίσθητον μάτην ἱκετεύεις. ἢ οὕτω· τί προσπίπτεις με, ὥσπερ κῦμα πρὸς θαλασσίαν πέτραν; ἀλλὰ τοῦτ' ἦν ἄν, εἰ ἐξαλειφθείη τὸ Ἡ. 539. Τί ταῦτα, καὶ πῶς] ἐν ἄλλοις

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

## ΠΗΛΕΥΣ, ΜΕΝΕΛΑΟΣ, ΑΝΔΡΟΜΑΧΗ, ΧΟΡΟΣ.

ΧΟ. Καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλας,
Σπουδῇ τιθέντα δεῦρο γηραιὸν πόδα.

ΠΗ. Ὑμᾶς ἐρωτῶ τόν τ' ἐφεστῶτα σφαγῇ,
Τί ταῦτα, καὶ πῶς; κἀκ τίνος λόγου νοσεῖ
Δόμος; τί πράσσετ' ἄκριτα μηχανώμενοι;
Μενέλα', ἐπίσχες· μὴ τάχυν' ἄνευ δίκης.
Ἡγοῦ σὺ θᾶσσον· οὐ γάρ, ὡς ἔοικέ μοι,
Σχολῆς τόδ' ἔργον, ἀλλ' ἀνηβητηρίαν
Ῥώμην ἐπαινῶ λαμβάνειν, εἴπερ ποτέ.
Πρῶτον μὲν οὖν κατ' οὖρον, ὥσπερ ἱστίοις,
Ἐμπνεύσομαι τῇδ'· εἰπὲ, τίνι δίκῃ χέρας
Βρόχοισιν ἐκδήσαντες οἵδ' ἄγουσί σε
Καὶ παῖδ'; ὕπαρνος γάρ τις ὢς ἀπόλλυσαι,
Ἡμῶν ἀπόντων, τοῦ τε κυρίου σέθεν.

ΑΝ. Οἵδ', ὦ γεραιὲ, σὺν τέκνῳ θανουμένην
Ἄγουσί μ' οὕτως, ὡς ὁρᾷς· τί σοι λέγω;
Οὐ γὰρ μιᾶς σε κληδόνος προθυμίᾳ
Μετῆλθον, ἀλλὰ μυρίων ὑπ' ἀγγέλων.
Ἔριν δὲ τὴν κατ' οἶκον οἶσθά που κλύων
Τῆς τοῦδε θυγατρὸς, ὧν τ' ἀπόλλυμαι χάριν.

---

…οις, τί ταῦτα, πῶς τοῦτο; 542. Ἡγοῦ σοι θᾶσσον] πρὸς τὸν χειραγωγοῦντά …ησι τοῦτο, εἰ μήτι αὐτὸς ἑαυτὸν κελεύει. 544. Ἐπαινῶ] ἐπιθυμῶ ἀνηβῆσαι.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

## ΠΗΛΕΥΣ, ΜΕΝΕΛΑΟΣ, ΑΝΔΡΟΜΑΧΗ, ΧΟΡΟΣ.

ΧΟ. Καὶ μὴν ἴδ' ἐκεῖνος Πηλεὺς γηραιῷ ποδὶ σπεύδει δεῦρο.

ΠΗ. Ἐρωτῶ πρῶτον ὑμᾶς τε, καὶ τουτονὶ τὸν ἐπὶ τῆς σφαγῆς ἕτοιμον ὄντα δρᾶσαι τι τῶν ἀνηκέστων, τί ταῦτα; τί ποθ' οὕτως εἰς τοῦτο ταραχῆς τὰ πράγμαθ' ἥκει ὧδε; τί ποτε βούλεσθ' ὑμεῖς πράττειν ἀκρίτως κἀξ ἐπιβουλῆς; Μενέλαε, ἐπίσχες σύγε· μὴ σπεῦδε πρὶν δοῦναι τῇ γυναικὶ λόγον, ἀκρίτως τὶ πρᾶξαι. Ἡγοῦ μοι, σὺ, ὦ πρόσπολε, θᾶσσον· οὐ γὰρ ἐν ἀκμῇ τῶν κακῶν μενετέα· ἥδιστ' δ' ἂν, εἴπερ ποτὲ, καὶ νῦν ἀναβήσαιμι· καὶ πρῶτον, ὥσπερ οὔριος, ἐμπεσὼν τοῖς ἱστίοις χειμαζομένης νεὼς, ταῦτ' ἀπεκόλπωσε πρὸς τὸ σώζεσθαι, οὕτω πρόσειμι τῇδε· καὶ δὴ εἰπέ μοι σύγε, τί δήποτε τὰς χεῖρας δήσαντες οὗτοι οὕτως, ἕλκουσί σε καὶ τὸν παῖδά σοι τοῦτον; ἐξ ὧν γὰρ ὁρῶ, ἀπάγουσί σε ὡς ὕπαρνον οἶν τὴν ἐπὶ τὸν Ἅδην, ἡμῶν τε καὶ τοῦ ἀνδρὸς ἀπόντων.

ΑΝ. Οὗτοι δὴ, ὦ γέρον, ἀπάγουσιν ἡμᾶς ἀμφοτέρους, βουλόμενοι κατασφάξαι· τί γὰρ δεῖ πρὸς εἰδότα μηκύνειν; καί σε πολλάκις πολλῇ μετεπεμψάμην προθυμίᾳ διὰ πλείστων ἀγγέλων· οἶσθα γὰρ τήντ' ἔριν ἀκούσας τῆς τούτου θυγατρὸς, καὶ τἄλλα, ὧν ἕνεκα νῦν ἀπόλυμαι·

562. μιᾶς κληδόνος προθυμίᾳ] πολλοὺς σὺν προθυμίᾳ καλεσὰς ἔπεμψα πρὸς

Καὶ νῦν με βωμοῦ Θέτιδος, ἣ τὸν εὐγενῆ
Ἔτικτέ σοι παῖδ', ἣν σὺ θαυμαστὴν σέβεις,
Ἄγουσ' ἀποσπάσαντες, οὔτε τῳ δίκῃ
Κρίναντες, οὐδὲ τοὺς ἀπόντας ἐκ δόμων
Μείναντες, ἀλλὰ τὴν ἐμὴν ἐρημίαν
Γνόντες τέκνου τε τοῦδ', ὃν οὐδὲν αἴτιον
Μέλλουσι σὺν ἐμοὶ τῇ ταλαιπώρῳ κτενεῖν.
Ἀλλ' ἀντιάζω σ', ὦ γέρον, τῶν σῶν πάρος
Πιτνοῦσα γονάτων, χειρὶ δ' οὐκ ἔξεστί μοι
Τῆς σῆς λαβέσθαι φιλτάτης γενειάδος,
Ῥῦσαί με, πρὸς θεῶν· εἰ δὲ μὴ, θανούμεθα,
Αἰσχρῶς μὲν ὑμῖν, δυστυχῶς δ' ἐμοὶ, γέρον.
ΜΗ. Χαλᾶν κελεύω δεσμὰ, πρὶν κλάειν τινὰ,
Καὶ τῆσδε χεῖρας διπτύχους ἀνιέναι.
ΑΕ. Ἐγὼ δ' ἀπαυδῶ γ' ἄλλος οὐχ ἥσσων σέθεν,
Καὶ τῆσδέ πολλῷ κυριώτερος γεγώς.
ΗΗ. Πῶς; ἦ τὸν ἀμὸν οἶκον οἰκήσεις μολὼν
Δεῦρ'; οὐχ ἅλις σοι τῶν κατὰ Σπάρτην κρατεῖν;
ΜΕ. Εἷλόν νιν αἰχμάλωτον ἐκ Τροίας ἐγώ.
ΠΗ. Οὑμὸς δέ γ' αὐτὴν ἔλαβε παῖς παιδὸς γέρας.
ΜΕ. Οὔκουν ἐκείνου τἀμὰ, τἀκείνου τ' ἐμά;
ΠΗ. Δρᾶν εὖ, κακῶς δ' οὔ, μηδ' ἀποκτείνειν βίᾳ.
ΜΕ. Ὡς τήνδ' ἀπάξεις οὔποτ' ἐξ ἐμῆς χερός.
ΠΗ. Σκήπτρῳ δὲ τῷδε σὸν καθαιμάξω κάρα.
ΜΕ. Ψαῦσόν γ', ἵν' εἰδῇς, καὶ πέλας πρόσελθέ μου.
ΠΗ. Σὺ γὰρ μετ' ἀνδρῶν, ὦ κάκιστε κἀκ κακῶν;

---

σί. φράσις τοῦτο ποιητική. 558. Οὔτε τῳ δίκῃ] οὔτε δίκῃ τίνι· σπάνιον δὲ

καὶ νῦν τοῦ βωμοῦ τουτουὶ τοῦ τῆς Θέτιδος, ἣν σὺ σέβεις, καὶ ἥ σοι Ἀχιλλέα τὸν ἄριστον ἔτεκεν, ἀπάγουσί με, οὔτε δίκῃ τινὶ ἐπιτρέποντες, οὔτε τοὺς ἀποδημοῦντας ἀνεχόμενοι περιμεῖναι· ἐπειλημμένοι δὲ τῆς ἐμῆς ἐρημίας, ἐμέ τε καὶ τοῦτον, οὐδενὸς αὐτὸν αὐτοῖς γενόμενον αἴτιον, μέλλουσι κατασφάξειν· ἀλλὰ δέομαι σου, ὦ γέρον, καὶ ἱκετεύω, τοῖς σοῖς προσπίπτουσα γόνασι (χειρὶ δ' οὐκ ἔχω ὅπως τῆς σῆς ἅψομαι γενειάδος) σῶσαί με πρὸς θεῶν· εἰ γὰρ ἀποθανοῖμεν, τοῦτο δυςυχὲς μὲν κἀμοὶ, ἀλλ' οὐχ ἧττον καὶ ὑμῖν αἰσχρὸν ἔσται.

ΠΗ. Χαλᾶτε, λύετε τὰ δεσμὰ, πρίν τις οἰμώξῃ, ἀνέντες τῇδε τὰς χεῖρας ἐλευθέρας.

ΜΕ. Ἐγὼ δ' ἕτερος αὖ ἐντεῦθεν οὐκ ἐπιτρέψω τοῦτο, σοῦ τε ἰσχύων πλέον, καὶ τῆσδ' ἐμοὶ προσηκούσης μᾶλλον.

ΠΗ. Πῶς; οὐχ ἅλις σοι Σπάρτης κρατεῖν, ἀλλὰ καὶ τῶν ἐμῶν δεῦρ' ἐλθὼν κύριος βούλει εἶναι;

ΜΕ. Αἰχμάλωτον γὰρ αὐτὴν ἐκ Τροίας ἄγων ἥκω.

ΠΗ. Ἀλλὰ τῷ Ἀχιλλέως δέδοται γέρας αὕτη.

ΜΕ. Τἀμὰ καὶ τἀκείνου κοινὰ ἐν μέσῳ πάντα.

ΠΗ. Εὖ μὲν πάντως, κακῶς δ' οὔ δρᾶν ἀλλήλους.

ΜΕ. Ἀλλ' οὐκ ἂν τήνδε τῆς ἐμῆς χειρὸς ἀφέλοις.

ΠΗ. Τῷ δέ σοι τῷ σκήπτρῳ αὐτίκα συντρίψω τὸ κρανίον.

ΜΕ. Πειρῶ προσιὼν, ἵν' εἰδῶμεν καὶ τοῦτο.

ΠΗ. Σὺ γὰρ, ὦ κάκιστε, κἀκ κακίστων, ἀξιοῖς ςρέφεσθαι

---

φαίτεται τὸ ἀόριςον τοῦτο ἐπὶ θηλυκοῦ. 577. Δρᾶν εὖ] κοινὰ, φησὶ, τά τῶν φίλων, ἀλλ' ἐν τῷ εὖ ποιεῖν ἀλλήλους, οὐ μὴν δὲ ἐν τῷ κακῶς ποιεῖν, ὃ σὺ νῦν πράτ-

Σοί που μέτεστιν, ὡς ἐν ἀνδράσιν, λόγου;
Ὅστις πρὸς ἀνδρὸς Φρυγὸς ἀπηλλάγης λέχους,
Ἄκληστ', ἄδουλα δώμαθ' ἑστίας λιπὼν,
Ὡς δὴ γυναῖκα σώφρον' ἐν δόμοις ἔχων,
Πασῶν κακίστην· οὐδ' ἂν, εἰ βούλοιτό τις,
Σώφρων γένοιτο Σπαρτιατίδων κόρη,
Αἳ ξὺν νέοισιν, ἐξερημοῦσαι δόμους,
Γυμνοῖσι μηροῖς καὶ πέπλοις ἀνειμένοις
Δρόμους παλαίστρας τ', οὐκ ἀνασχετοὺς ἐμοὶ,
Κοινὰς ἔχουσι· κᾆτα θαυμάζειν χρεὼν,
Εἰ μὴ γυναῖκας σώφρονας παιδεύετε;
Ἑλένην ἔρεσθαι χρῆν τάδ', ἥτις ἐκ δόμων,
Τὸν σὸν λιποῦσα φίλιον, ἐξεκώμασε
Νεανίου μετ' ἀνδρὸς εἰς ἄλλην χθόνα.
Κᾄπειτ' ἐκείνης οὕνεχ' Ἑλλήνων ὄχλον
Τοσόνδ' ἀθροίσας, ἤγαγες πρὸς Ἴλιον·
Ἣν χρῆν σ' ἀποπτύσαντα μὴ κινεῖν δόρυ,
Κακὴν ἐφευρόντ', ἀλλ' ἐᾶν αὐτοῦ μένειν,
Μισθόν τε δόντα, μή ποτ' εἰς οἴκους λαβεῖν.
Ἀλλ' οὔτι ταύτῃ σὸν φρόνημ' ἐπούρισας.
Ψυχὰς δὲ πολλὰς κἀγαθὰς ἀπώλεσας,
Παίδων τ' ἄπαιδας γραῦς ἔθηκας ἐν δόμοις,
Πολιούς τ' ἀφείλου πατέρας εὐγενῆ τέκνα.
Ὧν εἷς ἐγὼ δύστηνος, αὐθέντην δὲ σὲ,

τεις, ἀποκτεῖναι τήνδε ἐθέλων. 584. Ἄκλησα λιπὼν] ὁ γὰρ Μενέλαος ἐν Κρήτῃ ἦν ἀποδημῶν, ὅτ' ἐλθὼν Πάρις, ἀφείλετο αὐτὸν τὴν Ἑλένην, 589. Γυ-

ἐν ἀνδράσιν, ὁ μηδ' ὁπωσοῦν μετέχων τοῦ ἀνδρείου; ὃς πρὸς ἀνδρὸς Φρυγὸς ἐσυλήθης τὴν γυναῖκα; ἄφρουράτε καὶ ἀφύλακτα πάντα καταλιπὼν ὀπίσω, ὡς εἰ ἦν σοι γυνὴ σωφρονεστάτη, ἡ πασῶν ἐκείνη ἀσελγεστάτη; πῶς γὰρ ἂν γένοιτο σώφρων γυνὴ ἐν Σπάρτῃ; ἢ οὐκ ἴσμεν, ὅπως καταλειποῦσαι τὰς οἰκίας, γυμνοῖς τοῖς μηροῖς, καὶ ἀνειμέναις ταῖς ἐσθῆσι συναγωνίζονται τοῖς νέοις πρὸς δρόμον καὶ πάλην; ὃ τίς ἂν νοῦν ἔχων ἀνάσχοιτο; εἶτ' ἀποροῦσί τινες, ὅπως τὰς γυναῖκας παρ' ὑμῖν ἀπέλιπεν ἡ αἰδώς· ἐρέσθω Ἑλένην, ὃς ἂν βούληται μαθεῖν· ἥ σε τὸν ἑαυτῆς συνευνέτην ἀπολιποῦσα, ἐξοιστρώθη εἰς τὴν ἀλλοδαπὴν μετὰ ξένου ἀνδρός· ὑπὲρ ἧς αὐτὸς ἀθροίσας τὸν μέγαν ἐκεῖνον στρατὸν τῶν Ἑλλήνων, ἐπήγαγες ἐπὶ Τροίαν· ἣν ἐχρῆν σε, πεῖραν ἤδη αὐτῆς λαβόντα, ἀποπτύσας, οὐ μόνον ἐάσαντα αὐτὴν ἐκεῖ ἔρρειν, ἀλλὰ καὶ μισθὸν δόντα, ἐφ' ᾧ μηδέποτε οἴκαδε ἐπανήξειν· ἀλλ' οὐκ ἔστης ἐπὶ τούτου, ἀλλὰ πολλοὺς κἀγαθοὺς ἀπώλεσας ἄνδρας, παῖδάς τε πολλοὺς ὀρφανοὺς καταστήσας, καὶ γέροντας πολιοὺς παίδων εὐγενῶν ἀποστερήσας· ὧν εἷς ὢν κἀγὼ,

---

μνοῖς μηροῖς] σχιστὸς ὁ χιτὼν ἦν Λακωνίσιν πόρπαις τισὶν ἑκατέρωθεν συνημμένος, ὃν παραλύουσαι κάτωθεν ἐκ τῆς πέζης ἄνω, παρανέφαινον τοὺς μηροὺς αὐτῶν. διὸ καὶ φαινομηρίδας αὐτὰς παρωνόμαζον· ἐπειδὴ γὰρ ἰσχύος μάλιστα ἔμελε Σπαρτιάταις, ἐπεμέλοντο καὶ τῶν γυναικῶν παλαίστραις καὶ γυμνασίοις, ὅπως ἰσχυραὶ γιγνόμεναι, ἰσχυρὰ τέκνα τίκτωσιν. 601. Ἀλλ' οὔτι ταύ-

Μιάστορ' ὥς τιν', ἐσδέδορκ' Ἀχιλλέως.
Ὃς οὐδὲ τρωθεὶς ἦλθες ἐκ Τροίας μόνος,
Κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασιν
Ὅμοι' ἐκεῖσε δεῦρό τ' ἤγαγες πάλιν·
Κἀγὼ μὲν ηὔδων τῷ γαμοῦντι, μήτε σοὶ
Κῆδος ξυνάψαι, μήτε δώμασιν λαβεῖν
Κακῆς γυναικὸς πῶλον· ἐκφέρουσι γὰρ
Μητρῷ' ὀνείδη· τοῦτο καὶ σκοπεῖτέ μοι,
Μνηστῆρες, ἐσθλῆς θυγατέρ' ἐκ μητρὸς λαβεῖν.
Πρὸς τοῖσδε τ' εἰς ἀδελφὸν οἷ' ἐφύβρισας,
Σφάξαι κελεύσας θυγατέρ' εὐηθέστατα;
Οὕτως ἔδεισας, μὴ οὐ κακὴν δάμαρτ' ἔχῃς.
Ἑλὼν δὲ Τροίαν, (εἶμι γὰρ κἀνταῦθά σοι,)
Οὐκ ἔκτανες γυναῖκα, χειρίαν λαβών.
Ἀλλ' ὡς ἐσεῖδες μαςὸν, ἐκβαλὼν ξίφος,
Φίλημ' ἐδέξω, προδότιν αἰκάλλων κύνα,
Ἥσσων πεφυκὼς Κύπριδος, ὦ κάκιςε σύ.
Κἄπειτ' ἐς οἴκους τῶν ἐμῶν ἐλθὼν τέκνων,
Πορθεῖς ἀπόντων, καὶ γυναῖκα δυςυχῆ
Κτείνεις ἀτίμως, παῖδά θ', ὃς κλαίοντά σε
Καὶ τὴν ἐν οἴκοις σὴν κατασήσει κόρην,
Κεἰ τρὶς νόθος πέφυκε. πολλάκις δέ τοι

---

τῃ] ἐνταῦθα· οὐ περιώρισας τὸ φρόνημά σου τῇ γνώμῃ ταύτῃ 608. Κάλλιςα τεύχη] καὶ ἀπιὼν, φησὶ, καὶ ἐπανελθὼν, οὐδὲν εἶ, ἢ καλὰ ὅπλα φέρων ἐν θήκαις χρησαῖς τῶν ἀσπίδων καὶ ἄλλων, ὡς μὴ χρησάμενος ἐν μάχαις, ὥςε ἐκτρέψαι ταῦτα 610. Κἀγὼ μὲν ἦδον] ἔλεγον· ἐν ἄλλοις ἄμεινον κεῖται, ηὔδων. 614. Μνηστῆρες] ἀποστροφῆς τοῦτο σχῆμα πρὸς τοὺς μέλλοντας εἰς γάμον ἥξειν. 616. Θυγατέρα] Ἰφιγένειαν· ἐν γὰρ Αὐλίδι τῆς Βοιωτίας ἀθροισ-

ὡς φονέα τε καὶ μιάστορά σε Ἀχιλλέως Δοκῶ μοι ὁρᾶν· ὅς μόνος οὐδὲ τραῦμα λαβὼν, ἐπανῆλθες ἐκ Τροίας· ὅσον δ' ὅπλων ἕνεκα, ἑώρακα μέν σε κἀκεῖσε ἰόντα, κἀκεῖθεν ἐπανιόντα, κάλλιςα καὶ ἐν θήκαις καλαῖς, χρυσόπαςα περιθέμενον· κἀν τούτοις μόνοις τὸ ἀνδρίζεσθαί σε συγκέκλειςαι· καίτοι ἐγὼ ἐκέλευσα Νεοπτόλεμον τοιοῦτον ἑαυτῷ μὴ συναρμόσαι γάμον, μήτε γυναικὸς κακῆς κάκιςον σκύμνον εἰσαγαγέσθαι οἴκαδε παρ' ἑαυτῷ· τὰ γὰρ τοιαῦτα γύναια ἀποφέρονται ἀεί τι τῆς μητρῴας φαυλότητος· διὰ τοῦτο ὑποθοίμην ἂν ἔγωγε τοῖς μέλλουσι γυναῖκας μνηςεύσεσθαι, μητρὸς ἀγαθῆς ἀεὶ θυγατέρα λαμβάνειν. Πρὸς δὲ τούτοις μήμνησο ἔτι καὶ οἷα ἐπῆρας τὸν σαυτοῦ ἀδελφὸν πρᾶξαι, παραινέσαι ἀνοσίως τὴν ἑαυτοῦ θυγατέρα σφάξαι, δεδοικὼς, μὴ αὐτὸς ἀποςερηθῇ τῆς σαυτοῦ καλῆς γυναικός· καὶ αὖ ὕςερον Τροίας κρατήσας, (δεῖ γὰρ καὶ ταῦτα προσθεῖναι) οὐκ ἠνέσχου ἀποκτεῖναι το γύναιον, ὑποχείριον λαβὼν, ἀλλ' ἅμα ἰδὼν τὸν μαςὸν, ῥίψας τὸ ξίφος, ἐδέξω φίλημα παρ' ἐκείνης, προδότιν θωπεύων κύνα, οὕτως ἀφροδισίας χάριτος ὁ κάκιςος ἡττηθείς· ἔπειθ' οὕτως εἰς τὴν τῶν ἐμῶν παίδων οἰκίαν εἰσιὼν, πράττεις, ἀπόντων ἐκείνων ὅ,τι ἂν βούλῃ· καὶ ἀποκτείνεις γυναῖκ' ἀτίμως, καὶ παῖδα, ὅς καὶ εἰ τρὶς νόθος ἦν σέ τε καὶ τὴν σὴν κόρην ποιήσει

---

θέντων τῶν Ἑλλήνων καὶ ἑτοίμων ὄντων ἀναχθῆναι ἐπὶ Τροίαν, Ἀγαμέμνων ἐφόνευσεν ἔλαφον ἐν κυνηγεσίῳ, ἱερὰν οὖσαν Ἀρτέμιδι· μηνισάσης δὲ τῆς θεοῦ, καὶ ἀπλοίας ἐκ τούτου γενομένης, ἀνεῖπεν ὁ Φοῖβος μίαν τῶν ἑαυτοῦ θυγατέρων θῦσαι τῇ θεῷ Ἀγαμέμνονα. εἰ βούλοιο αὐτὴν ἐξιλέσασθαι· ὁ δὲ προτρέψαντος Μενελάου, ἐσφαγίασεν αὐτήν. 627. Κεῖ Τρὶς] ἐν

Ξηρὰ βαθεῖαν γῆν ἐνίκησε σπορᾷ.
Νόθοι τε πολλοὶ γνησίων ἀμείνονες·
Ἀλλ' ἐκκομίζου παῖδα· κύδιον βροτοῖς,
Πένητα χρηστὸν, ἢ κακὸν καὶ πλούσιον,
Γαμβρὸν πεπᾶσθαι καὶ φίλον· σὺ δ' οὐδὲν εἶ.

ΧΟ. Σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα
Γλῶσσ' ἐκπορίζει· τοῦτο δ' οἱ σοφοὶ βροτῶν
Ἐξευλαβοῦνται, μὴ φίλοις τεύχειν ἔριν.

ΜΕ. Τί δῆτ' ἂν εἴποις τοὺς γέροντας, ὡς σοφοὶ,
Καὶ τοὺς φρονεῖν δοκοῦντας Ἕλλησίν ποτε;
Ὅτ' ὢν σὺ Πηλεὺς, καὶ πατρὸς κλεινοῦ γεγὼς,
Κῆδος ξυνάψας, αἰσχρὰ μὲν σαυτῷ λέγεις,
Ἡμῖν δ' ὀνείδη διὰ γυναῖκα βάρβαρον,
Ἣν χρῆν σ' ἐλαύνειν τήνδ' ὑπὲρ Νείλου ῥοὰς
Ὑπέρ τε Φᾶσιν καὶ πέρα 'κβαλεῖν ἀεὶ,
Οὖσαν μὲν 'Ηπειρῶτιν, οὗ πεσήματα
Πλεῖσθ' Ἑλλάδος πέπτωκε δοριπετῆ νεκρῶν,
Τοῦ σοῦ τε παιδὸς αἵματος κοινουμένην.
Πάρις γὰρ, ὃς σὸν παῖδ' ἔπεφν' Ἀχιλλέα,
Ἕκτορος ἀδελφὸς ἦν, δάμαρ δ' ἥδ' Ἕκτορος.
Καὶ τῇδε γ' εἰσέρχει σὺ ταὐτὸν ἐς στέγος,
Καὶ ξυντράπεζον ἀξιοῖς ἔχειν βίον,
Τίκτειν δ' ἐν οἴκοις παῖδας ἐχθίστους ἐᾷς;
Ἃ 'γὼ, προνοίᾳ τῇ τε σῇ κἀμῇ, γέρον,

---

ἄλλοις, κεῖτις, κεῖται. 636. Τί δῆτ' ἂν εἴποις] πῶς ἂν ὀνομάσειας. 639. Κῆδος συνάψας] ἢ ἀναπληρωτέον τι, οἷον, κῆδος συνάψας θεῖον· ἢ διορθωτέον, ὡς εἴκασεν ἄλλος, γράψας ὡδί.

» Ὅτ' ὢν σὺ Πηλεὺς, καὶ πατρος κλεινοῦ, θεοῖς
» Κῆδος συνάψας.

οἰμῶξαι· καθάπερ γὰρ καὶ χώραν λεπτόγειον εὐκαρποτέραν πολλάκις συμβαίνει καθίςασθαι τῆς βαθείας, οὕτω καὶ τῶν νόθων πολλοὺς οὐδὲν θαυμαςὸν ἀρίους τῶν γνησίων γενέσθαι. Ἄπελθε τοίνον λαβὼν καὶ τὴν σὴν θυγατέρα· ἄμεινον γὰρ πένητα μὲν, χρηςὸν δὲ φίλον καὶ κυδεςὴν ἔχειν, ἢ πλούσιον καὶ κακόν· σὺ γὰρ οὐτιδανὸς ὢν τυγχάνεις.

**ΧΟ·** Ἐκ μικρᾶς ἀφορμῆς ἡ γλῶσσα ἐπὶ μέγα τὴν ἔριν αἴρει· ἀλλ' οἱ σοφοὶ τῶν ἀνθρώπων ἀποφεύγουσι πρὸς φίλους διαμιλλᾶσθαι.

**ΜΕ.** Τί ἂν εἴποι τὶς περὶ τῶν ἄλλων γερόντων, τῶν δοκούντων εὖ φονεῖν ἐν τοῖς Ἕλλησιν, ὁπότε σὺ ὁ Πηλεὺς, ὁ καὶ ἐκ πατρὸς ἐνδόξου γενόμενος, καὶ γάμον σεαυτῷ συναρμόσας θεοῦ, αἰσχρὰ μὲν σεαυτῷ λέγεις, ἡμῖν δὲ προφέρεις ὀνείδη, καὶ ταῦθ' ἕνεκα βαρβάρου γυναικός; ἣν ἔδει σέτε πέραν τοῦ Νείλου καὶ τοῦ Φάσιος ἐξελαύνειν, κἀμὲ παρακαλεῖν εἰς ταὐτὸ, ὡς Ἀσιάτιδα οὖσαν, ἔνθα πολλοὶ τῶν Ἑλλήνων πεπτώκασιν ἐν ἀγῶσι, καὶ τοῦ φόνου τοῦ σοῦ παιδὸς μετασχοῦσαν. Πάρις μὲν γὰρ, ὃς ἀπέκτεινεν Ἀχιλλέα, Ἕκτορος ἦν ἀδελφός. Ἕκτορος δ' ἡ γυνὴ αὕτη· εἶθ' ὁμωρόφιον αὐτὸς αὐτῇ γενόμενος, καὶ ὁμοτράπεζον ἔχων δίαιταν, ἐᾷς παῖδας ἐκ ταύτης σοι ἐχθίςους γενέσθαι; οὓς ἐγὼ, σοῦτε κἀμοῦ ἕνεκα τὴν

---

παράδοξος δὲ ἔλλειψις εἰ μήτις ὅλως ἐξέλιπε ςίχος. 643. Ἠπειρῶτιν] Ἀσιάτιδα· ὡς ἀνωτέρω ςίχ. 159 645. Κοινουμένην] μετέχουσαν. 651. Ἁ 'γὼ] πότερον, ἃ μέλλοντα κακὰ, ἢ ἃ τέκνα ἀντὶ τὸ, οὓς παῖδας; ἔοικε τὸ δεύτερον μᾶλλον, ἵνα ᾖ· τούτους τοὺς παῖδας νῦν ἀφαιροῦμαι ὑπὸ σοῦ, μέλλων ὠφελήσειν ἐμέ τε αὐτὸν καὶ σὲ, ἐθέλων

Κτανεῖν θέλων τήνδ', ἐκ χερῶν ἁρπάζομαι.
Καίτοι φέρ', (ἅψασθαι γὰρ οὐκ αἰσχρὸν λόγου).
Ἢν παῖς μὲν ἡ 'μὴ τέκῃ, ταύτης δ' ἄπο
Βλαστῶσι παῖδες, τῆσδε γῆς Φθιώτιδος
Στήσεις τυράννους; βάρβαροι δ' ὄντες, γένος,
Ἕλλησιν ἄρξουσ'; εἶτ' ἐγὼ μὲν οὐ φρονῶ,
Μισῶν τὰ μὴ δίκαια, σοὶ δ' ἔνεστι νοῦς;
Κἀκεῖνο νῦν ἄθρησον· εἰ σὺ παῖδα σὴν
Δούς τῳ πολιτῶν, εἶτ' ἔπασχε τοιάδε,
Σιγῇ κάθησ' ἄν; οὐ δοκῶ· ξένης δ' ὕπερ
Τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους;
Καὶ μὴν ἴσον γ' ἀνήρ τε καὶ γυνὴ σθένει,
Ἀδικουμένη πρὸς ἀνδρός· ὡς δ' αὔτως ἀνὴρ,
Γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων.
Καὶ τῷ μὲν ἔστιν ἐν χεροῖν μέγα σθένος,
Τῇ δ' ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα.
Οὐκοῦν δίκαιον τοῖς ἐμοῖς ἔμ' ὠφελεῖν·
Γέρων, γέρων εἶ· τὴν δ' ἐμὴν στρατηγίαν
Λέγων ἔμ' ὠφελοῖς ἂν, ἢ σιγῶν, πλέον·
Ἑλένη δ' ἐμόχθησ' οὐχ ἑκοῦσ', ἀλλ' ἐκ θεῶν.
Καὶ τοῦτο πλεῖστον ὠφέλησεν Ἑλλάδα·
Ὅπλων γὰρ ὄντες καὶ μάχης ἀΐστορες,
Ἔβησαν ἐς τἀνδρεῖον· ἡ δ' ὁμιλία
Πάντων βροτοῖσι γίγνεται διδάσκαλος.
Εἰ δ' ἐς πρόσοψιν τῆς ἐμῆς ἐλθὼν ἐγὼ
Γυναικὸς, ἔσχον μὴ κτανεῖν, ἐσωφρόνουν.

δὲ βουλόμενος ἀνελεῖν, ἀπὸ μέσων τῶν χηρῶν ἀφαιροῦμαι· καίτοι εἴγ' ὑποθοῖμεν(οὐ γὰρ αἰσχρὸν καὶ τοῦτο προσθεῖναι) τῇ μὲν Ἑρμιόνῃ μὴ γενήσεσθαι παῖδας· τῇδε δ' ἔσεσθαι, πότερον, ἀξιώσεις αὐτοὺς τὰ σκῆπτρα τῆς Φθίας ἔχειν, καὶ βαρβάρους ὄντας, Ἑλλήνων ἄρχειν, ἢ ἐν αἰσχρῷ θέμενος τοῦτο, οὐ καταδέξῃ· ἐγὼ μὲν γὰρ τοῦτο οἶμαι· εἶτ' ἐμὲ μὲν μισοῦντα τἄδικα ἄφρονα εἶναι φῄς, αὐτὸς δ' ἐπὶ τούτοις ὀρθῶς φρονεῖν δοκεῖς σεαυτῷ; Νῦν δ' ὅρα κἀκεῖνο· εἰ γὰρ αὐτὸς ἐξέδωκας ὅτῳ ποτὲ θυγάτριον, ἡ δὲ ἔπασχε ταῦτα Ἑρμιόνῃ, ἆρ' ὑπήνεγκάς ἂν τὸ γιγνόμενον σιωπῇ; ἔγωγε μὲν οὐ πείθομαι· εἶθ' ὑπὲρ τῆς βαρβάρου τοιαῦτ' ἐλοιδόρησας προσήκοντας φίλους; καὶ μὴν, ἃ ἂν ἔχῃ ὁ ἀνὴρ γυναικὶ φαύλῃ ἐγκαλεῖν, ταῦτα ἂν κατείποι κἀκείνη ἀνδρὸς ἀσελγαίνοντος· ἴσα γὰρ πρόσεστιν ἑκατέροις ἀδικουμένοις, τὰ δίκαια· ἀλλ' ὁ μὲν ἰσχύων, αὐτὸς ἐπεξέρχεται τῷ ἐγκλήματι· ἡ δὲ παρὰ τῶν οἰκείων καὶ φίλων ἐλπίζει ἐπικουρίαν εὑρήσεσθαι· οὐδὲν οὖν ἀδικῶ, τοῖς ἐμαυτοῦ βοήθειαν παρεχόμενος· σὺ δ', ὦ γέρων, γέρων εἶ. Περὶ δὲ τῆς ἐμῆς στρατηγίας, ὅσον μᾶλλον μέμνησαι λέγων περὶ αὐτῆς, τοσοῦτον ἂν ἐπαινοίης με· τὸ δ' αὖ τῆς Ἑλένης πάθος ἀκούσιον ἦν καὶ τοῦτο, τῶν θεῶν οὕτω βουλομένων· ἐγένετο δ' οὖν ἐντεῦθεν μέγ' ὄφελος τῇ Ἑλλάδι· ὅπλων γὰρ καὶ μάχης ἀδαήμονες ὄντες, ἀπέβησαν ἐκ μελέτης μετὰ τοῦ ἀνδρείου καὶ ἐμπειρότατοι· ἄσκησις γὰρ διδάσκαλος ἐστι πάντων. Εἰδ' αὖ ἐγὼ ἅμα προσιδὼν τὴν γυναῖκα, συνέγνων μὴ ἀποκτείνας, τοῦτο σωφροσύνην ἐμαυτῷ τιθέμενος, ἐβου-

Οὐδ' ἄν σε Φῶκον ἤθελον κατακτανεῖν.
Ταῦτ' εὖ φρονῶν σ' ἐπῆλθον, οὐκ ὀργῆς χάριν·
Ἢν δ' ὀξυθυμῇς, σοὶ μὲν ἡ γλωσσαλγία
Μείζων, ἐμοὶ δὲ κέρδος ἡ προμηθία.

ΧΟ. Παύσασθον ἤδη, (λῷστα γὰρ μακρῷ τάδε,)
Λόγων ματαίων, μὴ δύο σφαλῆθ' ἅμα.

ΠΗ. Οἴμοι· καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται!
Ὅταν τροπαῖα πολεμίων στήσῃ στρατός,
Οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε,
Ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται,
Ὃς εἷς μετ' ἄλλων μυρίων πάλλων δόρυ,
Οὐδὲν πλέον δρῶν ἑνὸς, ἔχει πλείω λόγον.
Σεμνοὶ δ' ἐν ἀρχαῖς ἥμενοι κατὰ πτόλιν,
Φρονοῦσι δήμου μεῖζον, ὄντες οὐδένες·
Οἱ δ' εἰσὶν αὐτῶν μυρίῳ σοφώτεροι,
Εἰ τόλμα προσγένοιτο, βούλησίς θ' ἅμα.
Ὣς καὶ σὺ, σός τ' ἀδελφὸς ἐξωγκωμένοι
Τροίᾳ κάθησθε τῇ τ' ἐκεῖ στρατηγίᾳ,
Μόχθοισιν ἄλλων καὶ πόνοις ἐπηρμένοι.
Δείξω δ' ἐγώ σοι μὴ τὸν Ἰδαῖον Πάριν
Μείζω νομίζειν Πηλέως ἐχθρόν ποτε,
Εἰ μὴ φθερῇ τῆσδ' ὡς τάχιστ' ἀπὸ στέγης,
Καὶ παῖς ἄτεκνος, ἣν ὅδ' ἐξ ἡμῶν γεγὼς
Ἐλᾷ δι' οἴκων τήνδ' ἐπισπάσας κόμης·

---

φονεῦσαι τήνδε. 678. Φῶκον Ἀδελφὸς] οὗτος Πηλέως ἦν· ἀλλ' οὐχ ὑπὸ Πηλέως, ἀλλ' ὑπὸ Τελαμῶνος τοῦ ἀδελφοῦ ἐφονεύθη. Εὐδηΐς γὰρ ἡ μήτηρ αὐτῶν

λόμην ἂν μήτε σὲ Φῶκόν ποτε τὸν ἀδελφὸν ἀνελεῖν. Ταῦτα μὲν πρὸς σὲ παρ' ἐμοῦ οὐκ ὀργιζομένου ἐπὶ τοῖς εἰρημένοις, ἀλλὰ σωφρονοῦντος· εἰδὲ σοι τὸ ὀξύθυμον ἐκτετόξευκεν, σοὶ μὲν κέρδος ἡ γλωσσαγία, ἐμοὶ δὲ ἡ σωφροσύνη.

ΧΟ. Παύσασθε πρὸς θεῶν λόγους οὕτω ματαίους ἀντεμβάλλοντες πρὸς ἀλλήλους, ἵνα μήτι χεῖρον γένηται ἀμφοτέροις.

ΠΗ. Ὦ πόσον πονηρὸν τουτὶ τὸ ἔθνος ἀνὰ πᾶσαν ἐπικρατεῖ τὴν Ἑλλάδα· ἡνίκα γὰρ ἂν ϛρατὸς ὅλος ϛήσῃ τρόπαιον κατὰ τῶν πολεμίων, οὐ τοῖς ἀγωνισαμένοις τὴν νίκην ἀποδιδόασιν, ἀλλὰ τῷ ϛρατηγῷ τὸ τῆς δόξης βραβεῖον προσφέρουσιν· ὃς κατὰ μὲν πόλεμον, εἷς ὢν εν' μυρίοις, τὸ δόρυ πάλλων, ἔχει τὴν δόξαν μόνος, μηδὲν πλέον δρῶν ἑνὸς ἑκάϛου· εἰρήνης δ' αὖ οὔσης, ὡς σεμοὶ ἐν τοῖς ἀρχείοις καθήμενοι, μεῖζον τῶν πολλῶν, οὐδενὸς ἀμείνονες ὄντες, φρονοῦσι, καί τοι ἐκεῖνοι εἰσὶ πλείϛῳ λόγῳ πολλάκις σοφώτεροι, εἰ μόνον τολμῷεν καὶ βούλοιντο· οὕτω καὶ σὺ καὶ ὁ σὸς ἀδελφὸς τῇ ἐπὶ Τροίαν ϛρατηγίᾳ, καὶ τῇ τῶν ἄλλων ἀρετῇ ἐν ἀγῶσι πολλῷ ἐπηρμένοι ὄγκῳ, ϛρέφεσθε, ὡς ἵπποι εν' ἡμιόνοις· ἀλλ' ἔγωγε δείξω σοι ἀντίκα μάλα μὴ Πάριν μείζω ἐχθρὸν, ἢ Πηλέα νομίζειν, εἰ μὴ νῦν ἐκφθερῇ τὴν ταχίϛην ἐντεῦθεν, καὶ τὴν σὴν ἄτεκνον ἐπαγόμενος θυγατέρα· ἣν οὑτοσὶν, ὡς ἐξ ἡμῶν γεγο-

---

τῶν δύο, μισοῦσα Φῶκον τὸ ἐκ τῆς Ψαμάθης γενόμενον Αἰακῷ, ἔπεισεν αὐτοὺς ἀποκτεῖναι ἐν πεντάθλῳ· ὁ οὖν Τελαμὼν βαλὼν τῷ δίσκῳ, ἐφόνευσε. 988. Μυρίων]

Ἡ στεῖρος οὖσα μόσχος, οὐκ ἀνέξεται
Τίκτοντας ἄλλους, οὐκ ἔχουσ' αὐτὴ τέκνα.
Ἀλλ' εἰ τὸ κείνης δυστυχεῖ παίδων πέρι,
Ἄπαιδας ἡμᾶς δεῖ καταστῆναι τέκνων;
Φθείρεσθε τῆσδε, δμῶες, ὡς ἂν ἐκμάθω,
Εἴ τίς με λύειν τῆσδε κωλύσει χέρας.
Ἔπαιρε σαυτήν· ὡς ἐγὼ, καίπερ τρέμων,
Πλεκτὰς ἱμάντων στροφίδας ἐξανήσομαι.
Ὧδ', ὦ κάκιστε, τῆσδ' ἐλυμήνω γέρας;
Βοῦν, ἢ λέοντ' ἤλπιζες ἐντείνειν βρόχοις;
Ἦ, μὴ ξίφος λαβοῦσ' ἀμυνάθοιτό σε,
Ἔδεισας; ἕρπε δεῦρ' ὑπ' ἀγκάλας βρέφος,
Ξύλλυε δεσμὰ μητρός· ἐν Φθίᾳ σ' ἐγὼ
Θρέψω μέγαν τοῖσδ' ἐχθρόν· εἰ δ' ἀπῆν δορὸς
Τοῖς Σπαρτιάταις δόξα καὶ μάχης ἀγὼν,
Τἄλλ' ὄντες ἴστε μηδενὸς βελτίονες.
ΧΟ. Ἀνειμένον τι χρῆμα πρεσβυτῶν ἔφυ
Καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.
ΜΕ. Ἄγαν προνωπὴς ἐς τὸ λοιδορεῖν φέρῃ·
Ἐγὼ δὲ πρὸς βίαν μὲν, ἐς Φθίαν μολὼν,
Οὔτ' οὖν τι δράσω φλαῦρον, οὔτε πείσομαι.
Καὶ νῦν μὲν, (οὐ γὰρ ἄφθονον σχολὴν ἔχω),
Ἄπειμ' ἐς οἴκους· ἔστι γάρ τις οὐ πρόσω
Σπάρτης πόλις τις, ἣ πρὸ τοῦ μὲν ἦν φίλη,
Νῦν δ' ἐχθρὰ ποιεῖ· τήνδ' ἐπεξελθεῖν θέλω

---

πλείστων ἐν ἄλλοις δὲ κεῖται, μυρίων. 718. Ἀνειμένον] ἐλεύθερον, οὐ συνεσταλμένον,

νῶς, τῶν βοστρύχων λαβόμενος, ἐξελάσει ἐντεῦθεν· ἡ στεῖρά γε οὖσ' αὐτὴ, οὐκ ἀνέχεται βλέπειν ἄλλας τικτούσας· ὡς εἰ ἔδει διὰ ταύτην, ἄπαιδα οὖσαν, μὴ ἔχειν ἡμᾶς τὸν τοῦ κλήρου διάδοχον· ἔῤῥετ' ἐντεῦθεν ὡς πορρωτάτω τῆσδε ὑμεῖς οἱ πρόσπολοι, ἵν εἰδῶ, εἴτις ἔσται ὁ κωλύσων με λῦσαι αὐτῇ τὰς χεῖρας. Ἀνατόλμα σὺ, ὦ δύστηνε, ἐπάρασα σεαυτήν· ἐγὼ γὰρ σοὶ καί περ παρειμέναις χερσὶν, ὅμως ἐπαρκέσαιμ' ἂν τῶν πολυστρόφων σε τούτων λῦσαι δεσμῶν. Οὕτως, ὦ κάκιστε σύ γε, ἐλυμήνω αὐτῆς τὰς χεῖρας; βοῦν ἢ λέονθ' οὕτως ᾠήθης ἐντείνειν δεσμοῖς; ἢ ἐδεδίεις, μὴ λαβοῦσα ξίφος ποθὲν, ἀμύνηταί σε; δεῦρο σὺ, βρέφος, παρὰ ταῖς τῆς μητρὸς ἀγκάλαις, συναντιλαβοῦ μοι τῶν πόνων, συλλύων καὶ αὐτὸς αὐτῆς τὰ δεσμά, ἐγώ δέ σε λαβὼν θρέψω ἐν Φθίᾳ μέγα πολέμιον ἐσόμενον τούτοις· ὑμεῖς γὰρ οἱ ἐκ Σπάρτης, ἐξαιρομένης τῆς ἐν τοῖς ὅπλοις δόξης, καὶ τῆς ἐν αὐτοῖς ἐμπειρίας, ἴστ' οὐδὲν τῶν ἄλλων ἐς τἄλλα διενηνοχότες.

**ΧΟ.** Ἀνὴρ γέρων ἀκρατές τι χρῆμ' ἔφυ καὶ δυσφύλακτον ἐν ὀξυθυμίᾳ.

**ΜΕ.** Ὡς ῥαγδαῖος ὥρμησας ἐπ' ἐμὲ λοιδορίαις· ἐγὼ δ' οὖν ἐνταῦθα ἐλθὼν, οὐδὲν οὔτε πράξω, οὔτε πείσομαι φαῦλον πρὸς βίαν· καὶ νῦν μὲν (οὐ γὰρ καιρὸν ἔχει τἀμὰ διατρίβειν ἐνταῦθα) ἄπειμι οἴκαδε· καὶ γὰρ πόλιν τινὰ, οὐ πόῤῥω κειμένην τῆς Σπάρτης, φίλην μὲν πρῴην οὖσαν, νῦν δ' ἐχθρὰν γενομένην, ταύτην βούλομαι τι-

---

οὐδὲ περιδεές. τὸ δὲ, ἔφυ, γένος ἐν ἄλλοις κεῖται. 723. Ἄφθονον σχολὴν] οὐκ ἔχω

Στρατηλατήσας, χὐποχείριον λαϐεῖν·
Ὅταν δὲ τἀκεῖ θῶ κατὰ γνώμην ἐμὴν,
Ἥξω· παρὼν δὲ πρὸς παρόντας, ἐμφανῶς
Γαμϐροὺς διδάξω καὶ διδάξομαι λόγους.
Κἂν μὲν κολάζῃ τήνδε, καὶ τὸ λοιπὸν ᾖ
Σώφρων καθ' ἡμᾶς, σώφρον' ἀντιλήψεται.
Θυμούμενος δὲ, τεύξεται θυμουμένων,
Ἔργοισι δ' ἔργα διάδοχ' ἀντιλήψεται.
Τοὺς σοὺς δὲ μύθους ῥᾳδίως ἐγὼ φέρω·
Σκιὰ γὰρ ἀντίστοιχος ὡς φωνὴν ἔχεις,
Ἀδύνατος οὐδὲν ἄλλο, πλὴν λέγειν μόνον.

ΠΗ. Ἡγοῦ, τέκνον μοι, δεῦρ' ὑπ' ἀγκάλαις σταθεὶς,
Σύ τ', ὦ τάλαινα· χείματος γὰρ ἀγρίου
Τυχοῦσα, λιμένας ἦλθες εἰς εὐηνέμους.

ΑΝ. Ὦ πρέσϐυ, θεοί σοι δοῖεν εὖ καὶ τοῖσι σοῖς,
Σώσαντι παῖδα κἀμὲ τὴν δυσδαίμονα.
Ὅρα δὲ, μὴ νῦν εἰς ἐρημίαν ὁδοῦ
Πτήξαντες οἵδε, πρὸς βίαν ἄγωσί με,
Γέροντα μὲν σ' ὁρῶντες, ἀσθενῆ δ' ἐμὲ,
Καὶ παῖδα τόνδε νήπιον· σκόπει τάδε,
Μὴ νῦν φυγόντες, εἶθ' ἁλῶμεν ὕστερον.

ΠΗ. Οὐ μὴ γυναικῶν δειλὸν εἰσοίσεις λόγον.
Χώρει· τίς ἡμῶν ἅψεται; κλάων ἄρα
Ψαύσει· θεῶν γὰρ οὕνεχ', ἱππικοῦ τ' ὄχλου

---

καιρὸν πολὺν διατρίψαι ἐνταῦθα. 730. Γαμϐροὺς] ἀδιαφόρως λαμϐάνεται τοῦτο τῷ ποιητῇ κατὰ πάντων τῶν κατ' ἐπιγαμίαν προσηκόντων, ὥσπερ

μωρήσασθαι, ποιησάμενος ὑποχείριον· ἐπειδὰν δὲ ταῦτ' εὖ διαθῶμαι, ἥξω δεῦρο· τότε δὴ παρὼν πρὸς παρόντα τὸν ἐμαυτοῦ γαμβρὸν δώσω καὶ λήψομαι λόγους· κἂν μὲν κολάσας τήνδε, σώφρων φέρηται πρὸς ἡμᾶς, καὶ ἡμᾶς ἕξει σώφρονας. εἰδὲ ἐξαχθεὶς θυμῷ, ἀνταιβαίη, τοιούτους εὑρήσει καὶ ἡμᾶς. οἷα γὰρ ἂν δράσῃ, τοιαῦτα καὶ ἀντιλήψεται· τοὺς δὲ σοὺς πολλοὺς λήρους ἐκείνους ῥᾳδίως ἔγωγε οἴσω· σκιᾷ γὰρ ὅμοιος ὢν, οὐδὲν ἄλλο ἔχεις πλὴν γλῶσσαν μόνην.

ΠΗ. Δεῦρο σὺ, ὦ τέκνον, ὑποδύου εἰς τὰς ἐμὰς ὧδ' ἀγκάλας, καὶ σὺ, ὦ τάλαινα, πρόσιθί μοι· νῦν γὰρ ἐκ μεγάλου χειμῶνος εἰς εὐήνεμον ὡρμίσω λιμένα.

ΑΝ. Εὖ σοι γένοιτο θεόθεν, ὦ πρέσβυ, ἐμέ τε καὶ τὸν παῖδα τουτονὶ διασώσαντι τοῦ ἐσχάτου κινδύνου παρὰ πᾶσαν ἐλπίδα· ἀλλὰ φόβος τὶς ἔθ' ὑποτρέχει με, μὴ οἱ ἐχθροὶ εἰς ἔρημον πῃ ὑποδύντες χωρίον, ἀπαγάγωσί με πρὸς βίαν, γέροντα μὲν ὁρῶντές σε, ἐμὲ δὲ γυναῖκ' ἀσθενῆ, καὶ τὸν παῖδα τοῦτον νήπιον ὄντα· δεῖ γὰρ καὶ ταῦτα προσκοπεῖσθαι, μὴ νῦν διαφυγόντες, αὖθις ἐμπέσωμεν τοῖς θηρίοις..

ΠΗ. Γυναικῶν λόγοι ἀεὶ δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ὑπόνοιαι· ὅς γὰρ ἂν τολμήσῃ ἅψεσθαι ἡμῶν, οἰμώξεται· ἢ οὐκ οἶσθ' ὅσων μὲν ὅπλων, ὅσης δὲ καὶ ἵππου, θεῶν ἡμῖν

---

παρὰ πεζοῖς τὸ, Κηδεστής· οὕτω κἀν τῷ Ἱππολύτῳ· στίχ. 736. Σκιᾶ] ὡς ἀντιστοιχοῦσα τῷ σώματι κινουμένῳ· ἐν ἄλλοις δὲ Σκιᾷ, ὡς ἰσοδύναμος ἐν τῇ Σκιᾷ διὰ γῆρας βαθὺ, φωνὴν μόνον ἔχεις ὡς ἱερεῖον διαπεπραγμένον (κα-

Πολλῶν θ' ὁπλιτῶν ἄρχομεν Φθίαν κάτα.
Ἡμεῖς δ' ἔτ' ὀρθοὶ, κοὐ γέροντες, ὡς δοκεῖς,
Ἀλλ' ἔς γε τοιόνδ' ἄνδρ' ἀποβλέψας μόνον,
Τροπαῖον αὐτοῦ στήσομαι, πρέσβυς περ ὤν.
Πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ,
Κρείσσων· τί γὰρ δεῖ δειλὸν ὄντ' εὐσωματεῖν;

ΧΟ. Ἢ μὴ γενοίμαν, ἢ πατέρων ἀγαθῶν (Στρ.)
Εἴην πολυκτήτων τε δόμων μέτοχος·
Εἴ τι γὰρ ἂν πάσχοι τις ἀμήχανον,
Ἀλκᾶς οὐ σπάνις εὐγενέταις·
Κηρυσσομένων δ' ἀπ' ἐσθλῶν δωμάτων
Τιμὰ καὶ κλέος.
Οὔτοι λείψανα τῶν ἀγαθῶν
Ἀνδρῶν ἀφαιρεῖται χρόνος· ἁ δ' ἀρετὰ
Καὶ θανοῦσι λάμπει.

Κρεῖσσον δὲ νίκαν μὴ κακόδοξον ἔχειν, (Ἀντ.)
Ἢ ξὺν φθόνῳ σφάλλειν δυνάμει τε δίκαν.
Ἡδὺ μὲν αὐτίκα τοῦτο βροτοῖσιν,
Ἐν δὲ χρόνῳ τελέθει ξηρὸν,
Καὶ μὴν καὶ ὄνειδος ἔγκειται δόμων.
Ταύταν ᾔνεσα,
Ταύταν καὶ φέρομαι βιοτὰν,
Μηδὲν δίκας ἔξω κράτος ἐν θαλάμοις
Καὶ πόλει δύνασθαι.

Ὦ γέρον Αἰακίδα, (Ἐπῳδ.)
Πείθομαι καὶ σὺν Λαπίθαισί σε Κενταύ-
Ρων ὁμιλῆσαι δορὶ κλεινοτάτῳ,
Καὶ ἐπ' Ἀργῴου δορὸς Ἄξεινον ὑγρὰν

διδόντων, ἄρχομεν ἐν Φθιώτιδι; κἀγὼ ἔτ' αἰσθάνομαι τὸν βραχίονα τουτονὶ οὐπάνυτοι, ὡς ἂν οἰηθείη τις, παρειμένον τῷ γήρᾳ· ἀλλὰ καὶ γέρων ὤν, μόνῳ βλέμματι καταπλήξας, τοιούτου ἀνδρὸς πολλῷ κρείσσων ἔσομαι. ἢ οὐχὶ καὶ γέρων τις, ἡνίκ' ἂν τύχῃ πολλὺ τὸ εὔψυχον φέρων, οὐ πολλῶν νέων κρείττων γίγνεται; ἰσχὺς γὰρ ἀνδρείας ἄνευ μάταιον ὅλως.

**ΧΟ.** Ἔγωγε μὲν βουλοίμην ἂν ἤτοι μηδόλως, ἢ ἐξ ἀγαθῶν γονέων καὶ πλουσίων οἴκων γενέσθαι· οὕτω γὰρ κἂν ταῖς ἀτυχίαις, πάρεστι δύναμις ἀνδράσιν εὐγενέσι· κἂν ταῖς ἀτυχίαις, πολυκτήμοσιν ἔσται τιμὴ καὶ κλέος. τὴν γὰρ ἀρετὴν τῶν ἀγαθῶν ἀνδρῶν οὐδ' ἐν γήρᾳ ἀφέλοιτ' ἂν ὁ χρόνος, ἀλλὰ καὶ ἀποθανοῦσιν αὐτοῖς διαπρέπει.

Κρεῖσσον δὲ τὸ ἡττᾶσθαι δικαίως, ἢ σὺν φθόνῳ καὶ βίᾳ παραβαίνειν τὸ ἴσον. ἡδὺ μὲν γὰρ τὸ νικᾶν τοῖς ἀνθρώποις ἐν τῷ παραυτίκα. χρόνῳ δ' ὕστερον οὐ μόνον μεταβαλεῖ εἰς πικρίαν, ἀλλὰ καὶ δύσκλειαν καταλείψει τῷ οἴκῳ ἐν τοῖς ἐπιγιγνομένοις. τοιοῦτον ἐγὼ βίον ἐπαινῶ, τοιοῦτον αἱροῦμαι, μηδὲν δύνασθαι, μήτε οἴκοις ἰδίᾳ, μήτ' ἐν πόλει κοινῇ τὴν ἰσχὺν δικαιοσύνης ἄνευ.

Γέρον Αἰακίδα, νῦν πείθομαι ἀριστεῦσαί σε ἐν τῷ τῶν Λαπιθῶν κατὰ τῶν Κενταύρων πολέμῳ, κἀπὶ τῆς Ἀργοῦς τὴν κλεινὴν ἐκστρατεύσας στρατείαν, τὰς συμπληγάδας ἐπὶ τὸν Ἄξενον διαπλεύσαντα πόντον καὶ

---

τὰ τὸν εἰπόντα) μόνον κοιλίαν καὶ γλῶσσαν ἔχεις. 766. Κακόδοξον] κρεῖσσον μὴ νικᾶν, ἢ νικᾶν ἐκ φθόνου καὶ δυνάμεως ὑπερβαίνοντα τὰ δίκαια· ὅ ἐστι κρεῖσσον μετὰ τοῦ δικαίου ἡττᾶσθαι, ἢ ἀδίκως νικᾶν. 778. Ἀργῴου δορὸς]

Ἐκπεράσαι ποντίαν Ξυμπληγάδα,
Κλεινὰν ἐπὶ ναυστολίαν,
Ἰλιάδα τε πόλιν, ὅτε πάρος
Εὐδόκιμος [ὁ] Διὸς ἶνις
Ἀμφέβαλεν φόνῳ,
Κοινὰν τὰν εὔκλειαν ἔχοντ',
Εὐρώπαν ἀφικέσθαι.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΘΕΡΑΠΑΙΝΑ, ΧΟΡΟΣ, ΕΡΜΙΟΝΗ, ΟΡΕΣΤΗΣ.

ΘΡ. Ὦ φίλταται γυναῖκες, ὡς κακὸν κακῷ
Διάδοχον ἐν τῇδ' ἡμέρᾳ πορσύνεται!
Δέσποινα γὰρ κατ' οἶκον, Ἑρμιόνην λέγω,
Πατρός τ' ἐρημωθεῖσα, συννοίᾳ θ' ἅμα,
Οἷον δέδρακεν ἔργον, Ἀνδρομάχην κτανεῖν
Καὶ παῖδα βουλεύσασα, κατθανεῖν θέλει.
Πόσιν τρέμουσα, μὴ 'ντὶ τῶν δεδραμένων
Ἐκ τῶνδ' ἀτίμως δωμάτων ἀποσταλῇ,
Ἢ κατθάνῃ, κτείνασα, τοὺς οὐ χρὴ θανεῖν.
Μόλις δέ νιν, θέλουσα ἀρτῆσαι δέρην,
Εἴργουσι φύλακες δμῶες, ἔκ τε δεξιᾶς
Ξίφη καθαρπάζουσιν ἐξαιρούμενοι.
Οὕτω μέγ' ἀλγεῖ, καὶ τὰ πρὶν δεδραμένα
Ἔγνωκε πράξας' οὐ καλῶς. ἐγὼ μὲν οὖν
Δέσποιναν εἴργουσ' ἀγχόνης κάμνω, φίλαι·

ὁπόθ' Ἡρακλῆς κρατήσας τῷ πολέμῳ, Τροίαν ἐξεῖλε, κοινὴν καὶ σὲ πρὸς ἐκεῖνον τὴν δόξαν ἔχοντα, οὕτως ἐπανελθεῖν σὺν εὐκλείᾳ εἰς τὴν Εὐρώπην.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΘΕΡΑΠΑΙΝΑ, ΧΟΡΟΣ, ΕΡΜΙΟΝΗ, ΟΡΕΣΤΗΣ.

ΘΕ. Ὦ φίλταται γυναῖκες, ἄλλο ἄλλου κακὸν τῶν πρόσθεν νῦν ἡμῖν διάδοχον ἐπεφάνη· ἡ γὰρ δέσποινα Ἑρμιόνη, ἀπόντος τοῦ πατρὸς, καὶ συνειδυῖα ἑαυτῇ, οἷα ἔπραξεν, Ἀνδρομάχην καὶ τὸν παῖδα διὰ σπουδῆς βουλευσαμένη ἀποκτεῖναι, νῦν ὥρμηται διαχειρίσασθαι αὐτὴ ἑαυτὴν, δεδοικυῖα τὸν ἄνδρα, μὴ ἐλθὼν ἀτίμως αὐτὴν, ἀνθ' ὧν ἔπραξεν, ἀποπέμψηται ἢ ἀποκτείνῃ ὅλως, ἐφ' οἷς ἠβουλήθη ἀνελεῖν, οὓς οὐκ ἔδει· μόλις δ' εἴργουσιν αὐτὴν οἱ πρόσπολοι ἔνδον, ἀπάγξασθαι θέλουσαν, καὶ τὰ ξίφη ἄλλος ἄλλο ἀπὸ τῆς χειρὸς αὐτῆς ἐξαιροῦσι· τοιοῦτον πάθος ἐνῆκεν αὐτῇ ἡ συνήδεισις, ὧν ἔφθη πράξασα μὴ καλῶς. Ἐγὼ μὲν οὖν ἔκαμον, ὦ φίλαι, κωλύουσα αὐτὴν τῆς ἀγχόνης. εἰσιοῦσαι δὲ νῦν καὶ ὑμεῖς, ῥύε-

---

τοῦ ξύλου τῆς Ἀργοῦς. 781. Πάρος] ἀναφορικῶς πρὸς τὴν δευτέραν τὴν ἐπ' Ἀγαμέμνονος ἅλωσιν τῆς Τροίας ἀποδίδοται τοῦτο· Ἡρακλῆς γὰρ πρότερον εἷλε Τροίαν, Λαομέδοντος αὐτῆς βασιλεύοντος· ἔνθ' ἦν καὶ Τελαμὼν ὁ ἀδελφὸς τοῦ Πηλέως. ἴσως δὲ καὶ οὗτος αὐτὸς 785. Εὐρώπαν] ἐν ἄλλοις κεῖται, Εὐ

Ὑμεῖς δὲ βᾶσαι τῶνδε δωμάτων ἔσω,
Θανάτου νιν ἐκλύσασθε· τῶν γὰρ ἠθάδων
Φίλων νέοι μολόντες εὐπειθέστεροι.

ΧΟ. Καὶ μὴν ἐν οἴκοις προσπόλων ἀκούομεν
Βοὴν, ἐφ' οἷσιν ἦλθες ἀγέλλουσα σύ.
Δείξειν δ' ἔοικεν ἡ τάλαιν', ὅσον στένει,
Πράξασα δεινά· δωμάτων γὰρ ἐκπερᾷ,
Φεύγουσα χεῖρας προσπόλων, πόθῳ θανεῖν.

ΕΡ. Ἰώ μοί μοι!
Σπάραγμα κόμας ὀνύχων τε δάϊ' ἀ-
Μύγματα θήσομαι.

ΤΡ. Ὦ παῖ, τί δράσεις; σῶμα σὸν καταικιῇ;

ΕΡ. Αἶ αἶ αἶ αἶ!
Ἔῤῥ' αἰθέριον πλοκάμων ἐμῶν ἄπο,
Λεπτόμιτον φάρος.

ΤΡ. Τέκνον, κάλυπτε στέρνα, σύνδησαι πέπλοις.

ΕΡ. Τί δέ με δεῖ καλύπτειν πέπλοις στέρνα;
Δῆλα καὶ ἀμφιφανῆ καὶ ἄκρυπτα δε-
Δράκαμεν πόσιν.

ΤΡ. Ἀλγεῖς, φόνον ῥάψασα συγγάμῳ σεθεν;

ΕΡ. Κατὰ μὲν οὖν στένω δαΐας τόλμας,
Ἃν ἔρεξ', ὢ κατάρατος ἐγὼ, κατά-
Ρατος ἀνδράσιν.

ΤΡ. Συγγνώσεταί σοι τήνδ' ἁμαρτίαν πόσις.

ΕΡ. Τί μοι ξίφος ἐκ χειρὸς ἠγρεύσω;
Ἀπόδος, ὦ φίλη, ἀπόδος, ἵν' ἀνταίαν
Ἐρείσω πλαγάν· τί με βρόχων εἴργεις;

σθε αὐτὴν τοῦ θανάτου· τῶν γὰρ νεωςὶ προσελθόντων φίλων οἱ λόγοι τῶν οἰκιακῶν μᾶλλον δύνανται πείθειν.

ΧΟ. Καὶ μὴν ἤδη βοὴ ἔνδοθεν ἐξήκει προσπόλων πολλή, ἐφ' οἷς ἡμῖν, ὡς εἰκάσαι, τυγχάνεις ἀγγελοῦσα· καὶ δείξειγ' οἶμαι, ἡ δύστηνος, ὅσον τῇ τῶν πεπραγμένων δάκνεται μετανοίᾳ. Ἴδε γὰρ τὰς τῶν οἰκετῶν ἤδη ἐκφεύγουσα χεῖρας, ἐκπηδᾷ τῆς οἰκίας, τὴν ἐπὶ τὸν θάνατον σπεύδουσα.

ΕΡ. Ἰώ μοι μοι· πῶς μὴ ἀποτίλωμαι τοὺς βοστρύχους μοι τούτους, καὶ τὰς παρειὰς καθαιμάξω τοῖς ὄνυξιν.

ΤΡ. Τί τοῦτο δρᾷς, ὦ τέκνον, αὐτὴ οὕτω τὸ σαυτῆς ἀπρεπῶς καταικίζουσα σῶμα.

ΕΡ. Αἶ, αἶ, αἶ, αἶ· ἔῤῥ' ἀπ' ἐμοῦ λεπτόμιτον κρήδεμνον, ἔῤῥ' ἀπὸ τῶν ἐμῶν πλοκάμων εἰς τὸν αἰθέρα.

ΤΡ. Τέκνον κάλυψον τὸ στῆθος, συναρμόσασα τὸν πέπλον τῇ πόρπῃ.

ΕΡ. Πρὸς τί καλύπτω στέρνα, ἀκάλυπτά τε καὶ ἄκρυπτα κακὰ πεποιηκυῖα τὸν ἄνδρα;

ΤΡ. Ἀλγεῖς, ἐφ' οἷς ἐτύρευσας φόνον τῇ συγγάμῳ;

ΕΡ. Καὶ καταρῶμαί γε τῷ καιρῷ, καθ' ὃν τοῦτ' ἀπετόλμησα δράσαι· ὦ κατάρατος ἐγὼ, κατάρατος καὶ στυγερὰ ἀνδράσι.

ΤΡ. Καὶ μὴν ὁ σὸς ἀνὴρ συγγνώσεταί σοι τὴν ἁμαρτίαν.

ΕΡ. Ποῦ μοι τὸ ξίφος; τί ποτέ μοι ἐκ τῆς χειρὸς τοῦτ' ἐξεῖλες; δὸς, ὦ φίλη, δός μοι, ἐφ' ᾧ διελάσαι αὐτὸ διαμπὰξ εἰς τὸ στῆθος, τί με κωλύεις μὴ χρήσασθαι βρόχῳ;

---

ρῶταν. 818. δῆλα] οὐ τὰ ςέρνα δῆλα, φησί, πεποίηκεν, ἀλλὰ τί κρύψω,

ΤΡ. Ἀλλ' εἴ σ' ἀφείην μὴ φρονοῦσαν, ὡς θάνοις . . .
ΕΡ. Οἴμοι πότμου! ποῦ μοι πυρὸς φίλα φλόξ;
Ποῦ δ' εἰς πέτρας ἀερ-
θῶ κατὰ πόντον, ἢ καθ' ὕλαν ὀρέων,
Ἵνα θανοῦσα νερτέροισιν μέλω;
ΤΡ. Τί ταῦτα μοχθεῖς; συμφοραὶ θεήλατοι
Πᾶσιν βροτοῖσιν, ἢ τότ' ἦλθον, ἢ τότε.
ΕΡ. Ἔλιπες, ἔλιπες ὦ πάτερ, μ' ἐπακτίαν
Ὡσεὶ μονάδ' ἔρημον οὖσαν
Ἐναλίου κώπας.
Ὀλεῖ μ', ὀλεῖ με [δηλαδὴ πόσις]
Οὐκέτι τᾷδ' ἐνοικήσω
Νυμφιδίῳ στέγᾳ.
Τίνος ἀγαλμάτων ἱκέτις ὁρμάθω;
Ἢ δούλα δούλας γούνασι προσπέσω
Φθιάδος ἐκ γᾶς;
Κυανόπτερος ὄρνις· εἴθ' εἴην,
Ἢ πευκᾶεν σκάφος, ἃ
Διὰ Κυανέας ἐπέρασεν ἀκτὰς
Πρωτόπλοος πλάτα.
ΤΡ. Ὦ παῖ, τὸ λίαν οὔτ' ἐκεῖν' ἐπήνεσα,
Ὅτ' ἐς γυναῖκα Τρῳάδ' ἐξημάρτανες,
Οὔτ' αὖ τὸ νῦν σου δεῖμ', ὃ δειμαίνεις ἄγαν.
Οὐχ ὧδε κῆδος σὸν διώσεται πόσις,
Φαύλοις γυναικὸς βαρβάρου πεισθεὶς λόγοις.
Οὐ γάρ τί σ' αἰχμάλωτον ἐκ Τροίας ἔχει,

---

φησὶ, τὰ ςέρνα, δῆλα καὶ ἄκρυπτα κακὰ δράσασα τὸν ἐμαυτῆς ἄνδρα. 836.

ΤΡ. Τί δέ; ἐβούλου με ἐᾶν σε ἐν τῷ μὴ φρονεῖν καταςρέψαι;

ΕΡ. Οἴμοι τῆς δυςυχίας· ποῦ μοι φλὸξ πυρὸς, ἐν ᾧ ῥιφθήσομαι ἐπὶ κεφαλήν; ποῦ ἂν εἴη μοι μεταρθῆναι εἰς πέτρας ἠλιβάτους παρ' αὐτῇ τῇ θαλάττῃ, ἢ ἐν ὄρεσι πη κατασκίοις, ἀφ' ὧν ἐκτραχηλισθεῖσα, φροντὶς τοῦ λοιποῦ τοῖς ἐν Ἅδου γενοίμην;

ΤΡ. Οὐ δεῖ σε τοσοῦτον ἀλγεῖν, ὦ τέκνον· συμφοραὶ γὰρ θεόθεν ἀνθρώποις ἄφευκτοι, ἄλλοτ' ἄλλῳ παντοίως προσπίπτουσαι.

ΕΡ. Ὦ πάτερ, ἔλιπές με, κατέλιπες μόνην, ὥσπερ ναῦν ἐν ἀκτῇ μὴ ἔχουσαν κώπην· ἀπολεῖ με ἐλθὼν οὑμὸς ἀνὴρ· ἀπολεῖ με· ὁ οἶκος οὐκέτ' ἐμὸς οὗτος· ἀλλὰ τίνος τῶν πολιούχων τῆς Φθίας θεῶν τοῖς ἀγάλμασιν ἱκέτις γένωμαι; μῶν με δεῖ ὡς δούλην τοῖς τῆς ἐμῆς δούλης γόνασι προσπεσεῖν; πῶς ἂν γενοίμην μᾶλλον μελανόπτερος ὄρνις, ἢ ναῦς ἡ ἐκ πεύκης ἐκείνη, ἣ πρώτη τὰς κατὰ τὸν Βόσπορον διέπλευσε συμπληγάδας;

ΤΡ. Ὦ παῖ, οὔτ' ἀρτίως τὸ προπετὲς ἐκεῖνο πρὸς τὴν δύστηνον Τρῳάδα ἐπήνεσα ὅρμημα, οὔτε νῦν αὖ τὸν παράλογόν σου τοῦτον φόβον ὁρῶ λόγον ἔχοντα· οὐ γὰρ ἂν ἐκβληθείης ὑπὸ τοῦ ἀνδρός· οὐδ' ἂν καταμέμψεσι τῆς βαρβάρου πεισθείη ἐκεῖνος· οὐ γὰρ αἰχμάλωτόν σε ἐκ Τροίας δεῦρ' ἤγαγεν, ἀλλὰ παρὰ πατρὸς ἀγαθοῦ,

Μονάδα] μόνην ὡς πλοῖον ἀνερμάτιςον ἐν ἀκτῇ. 845. Πευκᾶεν] ἀντὶ πευκῶεν ἢ ἐκ πεύκης· ἐννοεῖ δὲ τὴν Ἀργώ· τὸ δὲ ἑπόμενον ἃ, σύνταξον πρὸς τὸ πλάτα

Ἀλλ' ἀνδρὸς ἐσθλοῦ παῖδα, σὺν πολλοῖς λαβὼν
Ἕδνοισι πόλεώς τ' οὐ μέσως εὐδαίμονος.
Πατὴρ δέ σ' οὐχ ὧδ', ὡς σὺ δειμαίνεις, τέκνον,
Προδοὺς ἐάσει δωμάτων τῶνδ' ἐκπεσεῖν.
Ἀλλ' εἴσιθ' εἴσω, μηδὲ φαντάζου δόμων
Πάροιθε τῶνδε, μή τιν' αἰσχύνην λάβῃς,
Πρόσθεν μελάθρων τῶνδ' ὁρωμένη, τέκνον.

ΧΟ. Καὶ μὴν ὅδ' ἀλλόχρως τὶς ἔκδημος ξένος
Σπουδῇ πρὸς ἡμᾶς βημάτων πορεύεται.

ΟΡ. Ξέναι γυναῖκες, ἦ τάδ' ἔστ' Ἀχιλλέως
Παιδὸς μέλαθρα καὶ τυραννικαὶ στέγαι;

ΧΟ. Ἔγνως· ἀτὰρ τίς ὢν γε πυνθάνῃ τάδε;

ΟΡ. Ἀγαμέμνονός τε καὶ Κλυταιμνήστρας τόκος,
Ὄνομα δ' Ὀρέστης· ἔρχομαι δὲ πρὸς Διὸς
Μαντεῖα Δωδωναῖ'. ἐπεὶ δ' ἀφικόμην
Φθίαν, δοκεῖ μοι ξυγγενοῦς μαθεῖν πέρι
Γυναικὸς, εἰ ζῇ κεὐτυχοῦσα τυγχάνει,
Ἡ Σπαρτιᾶτις Ἑρμιόνη· τηλουρὰ γὰρ
Ναίουσ' ἀφ' ἡμῶν πεδί', ὅμως ἐστὶν φίλη.

ΕΡ. Ὦ ναυτίλοισι χείματος λιμὴν φανεὶς,
Ἀγαμέμνονος παῖ, πρός σε τῶνδε γουνάτων,
Οἴκτειρον ἡμᾶς, ὧν ἐπισκοπεῖς τύχας,
Πράσσοντας οὐκ εὖ. στεμμάτων δ' οὐχ ἥσσονας
Σοῖς προστίθημι γόνασιν ὠλένας ἐμάς.

ΟΡ. (Ἔα) τί χρῆμα; μῶν ἐσφάλμεθ', ἢ σαφῶς ὁρῶ
Δόμων ἄνασσαν τήνδε Μενέλεω κόρην;

---

εἰ μὴ δεῖ τὸ πλάτα γράφειν, πλάτα εἰς δοτικήν. 858. Μηδὲ φαντάζου] μὴ

καὶ πόλεως εὐδαιμονεστάτης ἔχει λαβὼν σὺν πολυτίμοις ἕδνοις· οὐδ' ὁ πατὴρ ὁ σὸς, ὡς ἂν οἰηθείης αὐτὴ ἐάσει σε ἐκπεσεῖν τῆς οἰκίας· ἀλλ' εἰσιοῦσα, κρύπτε σεαυτὴν ἔνδον, ἵνα μή τινα ὄφλῃς αἰσχύνην, ὧδ' ὁρωμένη πρὸ τῶν δωμάτων.

**ΧΟ.** Καὶ μὴν ἴδε ξένος ἐκεῖνος, ὅσον ἀπὸ τῆς ἐσθῆτος εἰκάσαι, σπουδῇ ποδὸς τείνει δεῦρο.

**ΟΡ.** Ὦ ξέναι γυναῖκες, οὗτος ἔσθ' ὁ οἶκος Νεοπτολέμου;

**ΧΟ.** Οὗτος δή· ἀλλὰ τίς ὢν, πυνθάνῃ ταῦτα;

**ΟΡ.** Ὀρέστης ὁ Ἀγαμέμνονος καὶ Κλυταιμνήστρας πορεύομαι δὲ εἰς Δωδώνην πρὸς τοῦ Διὸς ἱερόν· κἄπειδὴ ἀφικόμην εἰς τὴν Φθιῶτιδα ὧδε, ἔδοξέ μοι μαθεῖν περὶ γυναικὸς συγγενοῦς, εἰ ζῇ καὶ εὐτυχοῦσα τυγχάνει, τὴν ἐκ τῆς Σπάρτης φημὶ Ἑρμιόνην· φιλῶ γὰρ αὐτὴν, καίπερ πόῤῥω πολλῷ ἀφ' ἡμῶν κατοικεῖ διαστήματι.

**ΕΡ.** Ὦ καθάπερ χειμαζομένοις λιμὴν ἐπιφανεὶς ἡμῖν Ἀγαμέμνονος παῖ, δέομαί σου πρὸς τῶν γονάτων καὶ ἱκετεύω, οἴκτειρον, οἴκτειρον ἡμᾶς, κακῶς, ὡς ὁρᾷς, πεπραγότας· δέξαι δέ μου τὰς χεῖρας ταύτας οὐχ ἧττον, ἢ ἱκετηρίαν, τῶν σῶν ἁπτομένας γονάτων.

**ΟΡ.** Ἔα· τί χρῆμα τοῦτο; ἆρ' οὐχ ὁρῶμεν, ἢ σαφῶς ὧδ' ὁρῶμεν τὴν Μενελάου κόρην;

---

φαίνου ἐκτὸς τοῦ οἴκου οὕτως ἀθλίως ἔχουσα· αἰσχρὸν γὰρ τοῦτο βασιλίδι σοι οὔσῃ. 862. Βημάτων] ἐν ἄλλοις Δωμάτων ἀσύντακτον ὅλως τοῦτο. 868. Μαντεῖα] ἐντεῦθεν γὰρ ἦν ἡ ὁδὸς πρὸς Δωδώνην· ἥτις ἦν παρὰ τῇ Λαρίσσῃ δύο ὥρας ἀπέχουσα ἐν τῇ νῦν καλουμένῃ . . . ὑστέρῳ δὲ χρόνῳ μετετέθη τὸ μαντεῖον εἰς Θεσπρωτούς. 876. Στεμη

ΕΡ. Ἥνπερ μόνην γε Τυνδαρὶς τίκτει κόρη
Ἑλένη κατ' οἴκους πατρί· μηδὲν ἀγνόει.
ΟΡ. Ὦ Φοῖβ' ἀκέστωρ, πημάτων δοίης λύσιν!
Τί χρῆμα; πρὸς θεῶν, ἢ βροτῶν πάσχεις κακά;
ΕΡ. Τὰ μὲν πρὸς ἡμῶν, τὰ δὲ πρὸς ἀνδρὸς, ὅς μ' ἔχει,
Τὰ δ' ἐκ θεῶν του· πανταχῆ δ' ὀλώλαμεν.
ΟΡ. Τίς οὖν ἂν εἴη, μὴ πεφυκότων γέ πω
Παίδων, γυναικὶ συμφορὰ, πλὴν ἐς λέχος;
ΕΡ. Τοῦτ' αὐτὸ καὶ νοσοῦμεν· εὖ μ' ὑπηγάγου.
ΟΡ. Ἄλλην τιν' εὐνὴν ἀντὶ σοῦ στέργει πόσις;
ΕΡ. Τὴν αἰχμάλωτον, Ἕκτορος ξυνευνέτιν.
ΟΡ. Κακόν γ' ἔλεξας, [ἕν'] ἄνδρα δίσσ' ἔχειν λέχη.
ΕΡ. Τοιαῦτα ταῦτα· κᾆτ' ἔγωγ' ἠμυνάμην.
ΟΡ. Μῶν ἐς γυναῖκ' ἔῤῥαψας, οἷα δὴ γυνή;
ΕΡ. Φόνον γ' ἐκείνῃ καὶ τέκνῳ νοθαγενεῖ.
ΟΡ. Κἄκτεινας, ἤ τις ξυμφορά σ' ἀφείλετο;
ΕΡ. Γέρων γε Πηλεὺς, τοὺς κακίονας σέβων.
ΟΡ. Σοὶ δ' ἦν τις, ὅστις τοῦδ' ἐκοινώνει φόνου;
ΕΡ. Πατήρ γ', ἐπ' αὐτὸ τοῦτ' ἀπὸ Σπάρτης μολών.
ΟΡ. Κἄπειτα τοῦ γέροντος ἡσσήθη χερί;
ΕΡ. Αἰδοῖ γε· καί μ' ἔρημον οἴχεται λιπών.
ΟΡ. Ξυνῆκα· ταρβεῖς τοῖς δεδραμένοις πόσιν.
ΕΡ. Ἔγνως· ὀλεῖ γάρ μ' ἐνδίκως. τί δεῖ λέγειν;
Ἀλλ' ἄντομαί σε, Δία καλοῦσ' Ὁμόγνιον,
Πέμψον με χώρας τῆσδ' ὅποι προσωτάτω,

...μάτων] τὴν ἱκετηρίαν λέγει στέμματα 893. Ἔῤῥαψας] φόνον· ὃ πρὶν προσθεῖμα

ΕΡ. Αὐτὴν ὁρᾷς ταύτην, ἣν ἡ Τινδαρὶς μόνην ἔτεκε Μενελάῳ.

ΟΡ. Ὦ Φοῖβ' Ἄπολλον, ἀκέστωρ τῶν κακῶν γενοῦ τῇδε· τί χρῆμ' ὁρῶ τοῦτο; ἆράγε πρὸς θεῶν, ἢ ἀνθρώπων τυγχάνεις πάσχουσ' οὕτως;

ΕΡ. Ἔστι μὲν ἃ πρὸς ἐμοῦ, ἃ δὲ πρὸς τἀνδρὸς, ἃ δὲ καὶ πρὸς θεῶν αὐτῶν· ἐξ ἁπάντων δὲ ἐσμὲν ἀπολωλότες.

ΟΡ. Ἐπειδή σοι τέκνα οὔπω γεγένηται, οὐκ ἂν ἔχοιμι ἄλλ' ὑπονοῆσαι, ἢ ὅτι περὶ τὴν εὐνὴν τυγχάνεις ἀδικουμένη.

ΕΡ. Τοῦτο γὰρ νοσοῦμεν· ὀρθῶς αὐτὸς συνῆκας.

ΟΡ. Ἑτέραν ἀντὶ σοῦ ὁ σὸς ἀνὴρ εἰσάγει ἔνδον;

ΕΡ. Τὴν δούλην γε, τὴν τοῦ Ἕκτορος γυναῖκα.

ΟΡ. Κακὸν, τὸν αὐτὸν δύο ἔχειν γυναῖκας.

ΕΡ. Ταῦτα μὲν οὕτω· διὸ καὶ ἠμυνόμην.

ΟΡ. Μῶν κακόν τι ἐτολύπευσας ἐκείνῃ;

ΕΡ. Αὐτήν τ' ἐκείνην, καὶ τὸν παῖδ' ἀποκτεῖναι.

ΟΡ. Καὶ κατέπραξας; ἢ τίς ἐκώλυσέ σε;

ΕΡ. Γέρων ὁ Πηλεὺς, ἀμύνων τοῖς κακίςοις.

ΟΡ. Σοὶ δὲ τίς ποτε πρὸς ταῦτα ἐβοήθει;

ΕΡ. Πατήρ γ' οὑμὸς, ἐλθὼν ἀπὸ τῆς Σπάρτης.

ΟΡ. Ἔπειτα ἥττων τοῦ γέροντος εὑρέθη;

ΕΡ. Δι' αἰδῶ ἀπῄει, καταλιπών με μόνην.

ΟΡ. Οὐκοῦν φοβῇ τὸν ἄνδρα ἐπὶ τοῖς πεπραγμένοις.

ΕΡ. Ἀπολεῖ με γὰρ, εἰ δεῖ μὴ λόγους πλέκειν· ἀλλὰ πρὸς Διὸς ὁμογνίου ἔξελέ με τῆς χώρας ταύτης ὡς πορρωτάτω· ἢ ὡς αὐτὸν τὸν πατρῷόν μοι οἶκον· καὶ γὰρ δο-

---

ἐν τῷ λόγῳ, προὔλαβεν εἰποῦσα ἡ Ἑρμιόνη ἑπομένως· τὸ δὲ Ῥάπτειν φό-

Ἢ πρὸς πατρῷον μέλαθρον· ὡς δοκοῦσί μοι
Δόμοι γ' ἐλαύνειν, φθέγμ' ἔχοντες, οἵδε με,
Μισεῖ τε γαῖα Φθιάς· εἰ δ' ἥξει πάρος,
Φοίβου λιπὼν μαντεῖον, ἐς δόμους πόσις,
Κτενεῖ μ' ἐπ' αἰσχίστοισιν, ἢ δουλεύσομεν
Νόθοισι λέκτροις, ὧν ἐδέσποζον πρὸτοῦ.

ΟΡ. Πῶς οὖν τάδ', ὡς εἴποι τις, ἐξημάρτανες;

ΕΡ. Κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν,
Αἵ μοι λέγουσαι, τούσδ' ἐχαύνωσαν λόγους·
Σὺ τὴν κακίστην αἰχμάλωτον ἐν δόμοις
Δούλην ἀνέξῃ σοὶ λέχους κοινουμένην;
Μὰ τὴν Ἄνασσαν, οὐκ ἂν ἐν γ' ἐμοῖς δόμοις,
Βλέπουσ' ἂν αὐγὰς, τἄμ' ἐκαρποῦτ' ἂν λέχη.
Κἀγὼ κλύουσα τούσδε Σειρήνων λόγους,
Σοφῶν, πανούργων, ποικίλων λαλημάτων,
Ἐξηνεμώθην μωρίᾳ. τί γάρ μ' ἐχρῆν
Πόσιν φυλάσσειν, ᾗ παρῆν, ὅσων ἔδει,
Πολὺς μὲν ὄλβος, δωμάτων δ' ἠνάσσομεν;
Παῖδας δ' ἐγὼ μὲν γνησίους ἔτικτον ἂν,
Ἡ δ' ἡμιδούλους τοῖς ἐμοῖς, νοθαγενεῖς.
Ἀλλ' οὔποτ', οὔποτ' (οὐ γὰρ εἰσάπαξ ἐρῶ),
Χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἐστὶν γυνὴ,
Πρὸς τὴν ἐν οἴκοις ἄλοχον ἐσφοιτᾷν ἐᾷν
Γυναῖκας· αὗται γὰρ διδάσκαλοι κακῶν·
Ἡ μέν τι κερδαίνουσα, συμφθείρει λέχος,
Ἡ δ' ἀμπλακοῦσα, συννοσεῖν αὐτῇ θέλει,

νον ἴσον τῷ ἐπιβουλεύειν φόνον ἐστί. 913. Ἐχαύνωσαν] χαύνους καὶ κολα-

κῶ μοι ἤδη, ὥσπερ φθεγγομένων τῶν οἴκων τούτων, ἐξελαύνεσθαι, ὑπὸ πάσης τῆς Φθιώτιδος μισουμένη· εἰ δὲ φθαίη ἐλθὼν ὁ ἀνὴρ ἐκ τοῦ μαντείου, δυοῖν θάτερον δεήσει μὲ παθεῖν, ἢ ἀποθανεῖν αἰσχρῶς ὑπ' αὐτοῦ, ἢ δουλεύειν τῇ αἰχμαλώτῳ· ἧς πρώην ἦν δεσπότης.

ΟΡ. Πῶς οὖν (δὸς γάρ μοι χρήσασθαι παῤῥησίᾳ) ἀπετόλμησας τοιαῦτα, μηδένα λόγον τῶν ἐς τοὔπιὸν ποιουμένη

ΕΡ. Γυναικῶν φαύλων εἴσοδος ἀπώλεσέ με· ἐκεῖναι γὰρ προσιοῦσαί μοι, παντοίως ἔπειθον, λόγους ἐκείνους προσφέρουσαι μαλθακούς· Πῶς σύγε, φασὶν, ἀνέξῃ, ὁρῶσ' αἰχμάλωτον τὴν σὴν μεριζομένην εὐνήν; μὰ τὴν Ἄνασσαν οὐκ ἄν ποτε ζῶσα τοὐμὸν κατέσχε λέχος· Τούτους οὖν τοὺς λόγους τῶν μηχανοῤῥάφων καὶ πανούργων ἐκείνων Σειρήνων ἀκούουσα καθ' ἑκάστην, ἐπήρθην μωρίᾳ· τὶ γὰρ ἔδει με ζυλοτυπίᾳ κρατεῖσθαι, μηδενὸς δεομένην; πλοῦτος γάρ μοι ῥεῖ πανταχόθεν, καὶ παντὸς τοῦ οἴκου τὸ κράτος ἐμόν· παῖδες δ' ἐγίγνοντ' ἂν ἐμοὶ μὲν γνήσιοι· ἐκείνῃ δὲ νόθοι, ἡμίδουλοι τοῖς ἐμοῖς πεφυκότες· διὸ λέγω, πολλάκις καὶ πεπεισμένως λέγω, μὴ δεῖν μηδένα τῶν νοῦν ἐχόντων εἴσοδον εἰς τὸν ἑαυτοῦ θάλαμον δοῦναι γυναιξί· αὗται γὰρ διδάσκαλοι εἰσὶ τῶν κακῶν· ἡ μὲν, κέρμα τί ποθεν ἔχουσα ἐπὶ τούτῳ· ἡ δὲ, τὰ ἑαυτῆς ὀνείδη τῷ κοινῷ πάθει σπεύ-

---

κευτικοὺς λόγους εἶπον. 917. Μὰ τὴν Ἄνασσαν] τὴν Ἥραν, ὡς γαμήλιον· ἢ τὴν Ἄρτεμιν, ὡς Εἰλείθειαν. 920. Ἐξηνεμώθην] ἀνεπτερώθην, ἐπήρθην.

Πολλαὶ δὲ μαργότητι. κἀντεῦθεν δόμοι
Νοσοῦσιν ἀνδρῶν. πρὸς τάδ' εὖ φυλάσσετε
Κλῄθροισι καὶ μοχλοῖσι δωμάτων πύλας·
Ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι
Δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.

ΧΟ. Ἄγαν ἐφῆκας γλῶσσαν ἐς τὸ σύμφυτον.
Ξυγγνωστὰ μέν νυν σοὶ τάδ', ἀλλ' ὅμως χρεὼν
Κοσμεῖν γυναῖκας τὰς γυναικείους νόσους.

ΟΡ. Σοφόν τι χρῆμα τοῦ διδάξαντος βροτοὺς,
Λόγους ἀκούειν τῶν ἐναντίων πάρα·
Ἐγὼ γὰρ εἰδὼς τῶνδε σύγχυσιν δόμων,
Ἔριν τε τὴν σὴν καὶ γυναικὸς Ἕκτορος,
Φυλακὰς ἔχων ἔμιμνον, εἴτ' αὐτοῦ μενεῖς,
Εἴτ' ἐκφοβηθεῖσ' αἰχμαλωτίδος φόβῳ
Γυναικὸς οἴκων τῶνδ' ἀπηλλάχθαι θέλεις.
Ἦλθον δὲ, τὰς σὰς οὐ μένων ἐπιστολὰς,
Εἰ δ' ἐνδιδοίης, ὥςπερ ἐνδίδως λόγους,
Πέμψω σ' ἀπ' οἴκων τῶνδ'· ἐμὴ γὰρ οὖσα πρὶν,
Σὺν τῷδε ναίεις ἀνδρὶ σοῦ πατρὸς κάκῃ,
Ὃς, πρὶν τὰ Τροίας ἐσβαλεῖν ὁρίσματα,
Γυναῖκ' ἐμοὶ δούς σ', εἶθ' ὑπέσχεθ' ὕςερον
Τῷ νῦν σ' ἔχοντι, Τρῳάδ' εἰ πέρσοι πόλιν.
Ἐπεὶ δ' Ἀχιλλέως δεῦρ' ἐνόστησεν γόνος,
Σῷ μὲν συνέγνων πατρὶ, τὸν δ' ἐλισσόμην

---

943. Φυλακὰς ἔχων] οὐ στρατιωτῶν φησὶ φυλακὰς, ἀλλ' ἁπλῶς αὐτὸς φυλάττων καὶ παρατηρῶν. εἰ μενεῖ αὐτοῦ ἐκείνη. 946. Ἐπιστολὰς] γράμματα, ἢ ἁπλῶς ἀγγέλους. 955. Ἐμὰς λέγων τύχας] τὴν μητροκτονίαν, καὶ τὴν ἀπὸ τῆς πα-

δουσα συγκαλύψαι· ἄλλη δ' αὖ οἴστρῳ ἔρωτος κεντουμένη· καὶ ἄλλη ἄλλοτι ἔχουσα κινοῦν, οὕτω συμφθείρουσι καὶ διαςρέφουσι τὴν ψυχήν· ὅθεν κακῶν ἀρχὴ, καὶ μῖσος καὶ γάμων διαζεύξεις, καὶ ἀνατροπὴ ὅλου οἴκου· διὸ δεῖ φυλάττειν τὰς γυναικωνίτιδας παντοίοις μοχλοῖς καὶ κλείθροις. αἱ γὰρ ἔξωθεν εἰσφοιτῶσαι οὐδὲν οὐδέποθ' ὑγιὲς πεφύκασιν εἰσκομίζειν· φαῦλα δ' ὅσα οὐδ' ἔξεστι καταλέγειν ἐνταῦθα.

ΧΟ. Ὡς ῥαγδαίαν ἐπαφῆκας γλῶσσαν ἐπὶ τὸ ὁμόφυλον· καὶ συγνωςὸν μὲν ἂν εἴη σοι ἐπὶ τοῖς παροῦσιν· ἐχρῆν μέν τοιγε γυναῖκ' οὖσαν, ὑποκορίζεσθαι τὰ τῶν γυναικῶν ἐλαττώματα, εὐπρεπέστερον ἐξηγησαμένην.

ΟΡ. Σοφὸς ἄρ' ἦν, ὅςτις ἂν ᾖ ὁ τοῦ λόγου τούτου πατὴρ, μὴ κρίνειν, πρὶν ἀμφοῖν μῦθον ἀκοῦσαι· ἐγὼ γὰρ, εἰδὼς τὴν τοῦ οἴκου τούτου ταραχὴν, καὶ τὴν σὴν πρὸς τὴν τοῦ Ἕκτορος χήραν ἔριν, ὥρμημαι μὲν καὶ ἄκλητος βοηθῆσαι· περιέμενον δὲ, βουλόμενος πρῶτον μαθεῖν, πότερον μενεῖς οἴκοι, ἢ διὰ φόβον τῆς ἀντιζήλου αἱρῇ μᾶλλον ἀπαλλαγῆναι ἐντεῦθεν· νῦν δ' ἐπειδὴ εὑρόν σε τοῦτο δὴ βουλομένην, ἥνγε συμφώνους τοὺς λόγους τοῖς φρονήμασιν ἔχῃς, ἕτοιμός εἰμι ἀπαγαγεῖν σε, ὅποι ἂν βούλῃ· ἐμοὶ γὰρ καὶ πρότερον, ἢ Νεοπτολέμῳ συναρμοσθῆναι γάμῳ προσῆκες· νῦν δ' ἐκείνῳ ὁμιλεῖς, τοῦ σοῦ πατρὸς ἁμαρτίᾳ· ὃς πρὶν ἢ ἐπὶ Τροίαν στρατεῦσαι, ἐμοὶ ἐμνήστευσέ σε· ἔπειτα δὲ ὑπέσχετο ἐκδώσειν σε ἐκείνῳ, εἰ Τροίαν ἐξέλοι· κἀπειδὴ Νεοπτόλεμος ἐπανῆλθεν ἐκεῖθεν, τῷ μὲν σῷ πατρὶ συνέγνων·

Γάμους ἀφεῖναι σοὺς, ἐμὰς λέγων τύχας,
Καὶ τὸν παρόντα δαίμον', ὡς φίλων μὲν ἂν
Γήμαιμ' ἀπ' ἀνδρῶν, ἔκτοθεν δ' οὐ ῥᾴδιον,
Φεύγων ἀπ' οἴκων, ἃς ἐγὼ φεύγω φυγάς.
Ὁ δ' ἦν ὑβριστὴς ἔς τ' ἐμῆς μητρὸς φόνον,
Τάς θ' αἱματωποὺς θεὰς ὀνειδίζων ἐμοί.
Κἀγὼ ταπεινὸς ὢν τύχαις ταῖς οἴκοθεν,
Ἤλγουν μὲν, ἤλγουν, ξυμφοραῖς δ' ἠνειχόμην,
Σῶν δὲ στερηθεὶς ᾠχόμην ἄκων γάμων.
Νῦν οὖν, ἐπειδὴ περιπετεῖς ἔχεις τύχας,
Καὶ ξυμφορὰν τήνδ' ἐσπεσοῦσ' ἀμηχανεῖς,
Ἄξω σ' ἀπ' οἴκων καὶ πατρὸς δώσω χερί.
Τὸ συγγενὲς γὰρ δεινὸν, ἔν τε τοῖς κακοῖς
Οὐκ ἔστιν οὐδὲν κρεῖσσον οἰκείου φίλου.

ΕΡ. Νυμφευμάτων μὲν τῶν ἐμῶν πατὴρ ἐμὸς
Μέριμναν ἕξει, κοὐκ ἐμὸν κρίνειν τάδε.
Ἀλλ' ὡς τάχιστα τῶνδέ μ' ἔκπεμψον δόμων,
Μὴ φθῇ με προσβὰς δῶμα καὶ μολὼν πόσις,
Ἢ παιδὸς οἴκους μ' ἐξερημοῦσαν μαθὼν
Πηλεὺς, μετέλθῃ πωλικοῖς διώγμασιν.

ΟΡ. Θάρσει γέροντος χεῖρα· τὸν τ' Ἀχιλλέως
Μηδὲν φοβηθῇς παῖδ', ὅς εἰς ἔμ' ὕβρισεν.
Τοία γὰρ αὐτῷ μηχανὴ πεπλεγμένη
Βρόχοις ἀκινήτοισιν ἕστηκεν φόνου
Πρὸς τῆσδε χειρὸς, ἣν πάρος μὲν οὐκ ἐρῶ,
Τελουμένων δὲ, Δελφὶς εἴσεται πέτρα.
Ὁ μητροφόντης δ', ἢν δορυξένων ἐμῶν
Μείνωσιν ὅρκοι Πυθικὴν ἀνὰ χθόνα,

ἐλθὼν δὲ παρ' ἐκεῖνον, ἐδεόμην ἀποσχέσθαι σου ὅλως, τὴν ἐμὴν συμφορὰν, εἰς ἣν περιέστην, αὐτῷ ἐξηγησάμενος, ὡς μὴ ἐξόν μοι φυγαδευθέντι τῆς πατρῴας οἰκίας ἄλλοθεν γῆμαι, εἰ μὴ ἐκ τῶν οἰκείων· ὁ δὲ ἐξύβριζε τάς τ' Εὐμενίδας, καὶ τὴν μητροκτονίαν μοι ἐπονειδίζων· ἐφ' οἷς ἐγὼ ἐδακόμην μὲν τὴν ψυχήν· συνειδὼς δ' ἐμαυτῷ κακῶς πεπραγότι, ἠνειχόμην σιωπῶν· τί γὰρ ἂν καὶ πάθοιμι; οὕτω δ' ἀποτυχών σου, ᾗ δι' ἐφέσεως εἶχον συνοικῆσαι, ἀπηλλαττόμην· νῦν δὲ, ἐπειδὴ ἀντιπεριέστη σοι τὰ τῆς τύχης, κἀν τοῖς παροῦσιν ἀμηχανεῖς ὅ,τι πράξῃς, ἀπαγαγὼν ἐντεῦθεν ἑκοῦσαν, παραδώσω σε τῷ φίλῳ πατρί· δεινὸν γὰρ τὸ συγγενὲς, κἀν τοῖς τοιούτοις κακοῖς οὐδὲν οἰκείου φίλου κρεῖσσον.

ΕΡ. Περὶ μὲν γάμου οὐκ ἐμόν ἐστι κρίνειν· πατρὶ γὰρ τῷ ἐμῷ προσήκει τούτου πρόνοιαν ἔχειν· σὺ δ' ὡς τάχιστα ἐξάγαγέ με τῆς χώρας ταύτης· δέος γὰρ, μὴ φθὰς ὁ ἀνὴρ, καταλάβῃ με ἔνδον· ἢ Πηλεὺς, μαθών με ἀποδρᾶσαν, μεταδιώξῃ σὺν ἵππῳ πολλῇ.

ΟΡ. Τόν τε γέροντα θάρρει· καὶ τὸν εἰς ἐμέ ποτε ἐξυβρίσαντα Νεοπτόλεμον μὴ φοβοῦ· πολύπλοκον γὰρ αὐτῷ μηχανὴν τυγχάνω στήσας ἐν Δελφοῖς, εἰς ἣν ἐμπεσὼν, ἀπολεῖται· ἀλλὰ νῦν μὲν οὐκ ἔμοιγε καιρὸς ἐξηγήσασθαι· τέλος δὲ σχόντων τῶν πραγμάτων, αὐτὸς ὁ ναὸς ἐκεῖ μαρτυρήσει· ἣν γὰρ οἱ ἐμοὶ αὐτοῦ ξένοι ἐμμείνωσι τοῖς

---

τρίδος φυγήν. 980. Τελουμένων δὲ] τῶν μηχανημάτων καὶ ἐπιβολῶν· τὸ δὲ

Δείξει γαμεῖν σφε μηδέν'; ὧν ἐχρῆν ἐμέ.
Πικρῶς δὲ πατρὸς φόνιον αἰτήσει δίκην
Ἄνακτα Φοῖβον· οὐδέ νιν μετάστασις
Γνώμης ὀνήσει, θεῷ διδόντα νῦν δίκας.
Ἀλλ' ἔκ τ' ἐκείνου, διαβολαῖς τε ταῖς ἐμαῖς
Κακῶς ὀλεῖται· γνώσεται δ' ἔχθραν ἐμήν.
Ἐχθρῶν γὰρ ἀνδρῶν μοῖραν εἰς ἀναστροφὴν
Δαίμων δίδωσι, κοὐκ ἐᾷ φρονεῖν μέγα.
ΧΟ. Ὦ Φοῖβ' ὁ πυργώσας τὸν ἐν Ἰλίῳ (Στρ. ά.)
Εὐτείχη πάγον, καὶ Πόντιε,
Κυανέοις ἵπποις διφρεύων
Ἅλιον πέλαγος, τίνος οὔνεκ' ἄτιμον ὀργά-
Ναν χέρα τεκτοσύνας
Ἐνυαλίῳ δοριμήστορι προσθέντες,
Τάλαιναν, τάλαιναν μεθεῖτε Τροίαν;
Πλείστους δ' ἐπ' ἀκταῖσιν Σιμοεντίσιν (Ἀντ. ά.)
Εὐΐππους ὄχους ἐζεύξατε,
Καὶ φονίους ἀνδρῶν ἁμίλλας
Ἔθετ' ἀστεφάνους· ἀπὸ δὲ φθίμενοι βεβᾶσιν
Ἰλιάδαι βασιλῆς·
Οὐδ' ἔτι πῦρ ἐπιβώμιον ἐν Τροίᾳ
Θεοῖσιν λέλαμπεν καπνῷ θυώδει.
Βέβακε δ' Ἀτρείδας ἀλόχου παλάμαις· (Στρ. β'.)
Αὐτά τ' ἐναλλάξασα φόνον θανάτῳ
Πρὸς τέκνων ἀπηύρα·

---

Μητροφάντης ἀναφέρεται ἀνωτέρω στίχ. 959. 983. Μηδέν', ὧν ἐχρῆν ἐμέ]

ὅρκοις πιστοὶ, δείξω αὐτῷ, οἷος ἔσθ' ὁ μητραλοίας ἐγὼ, ὡς μηκέτι γάμον ζητεῖν τῶν ἐμοὶ προσηκόντων. πικρὰν δὲ καὶ τὴν δίκην τοῦ πατρῴου φόνου αἰτήσει τὸν Φοῖβον, κᾀκ τῆς νῦν μεταμελείας οὐδὲν αὐτῷ ἐκείνῳ διδόντι δίκην ὄφελος ἔσται· τότε δ' εἴσεται, οἷον ἐχθρὸν ἐμὲ ἔσχε· πέφυκε γὰρ τὸ θεῖον ἀναςρέφειν τοῖς φαύλοις τὴν τύχην, καὶ μὴ ἐᾷν ἐπαίρεσθαι μέχρι τελευτῆς.

ΧΟ. Ὦ Φοῖβε, ὁ τὰ τῆς Τροίας οἰκοδομήσας τείχη· καὶ σὺ, ὦ Πόσειδον, ὁ μελαγχρώοις ἵπποις τὴν ὑγρὰν φύσιν διφρεύων, τί δήποτε κατελίπατε τὴν τάλαιναν ταύτην πόλιν τῇ τοῦ Ἄρεως λύσσῃ, τὸ ἑαυτῶν ὧδ' ἀτιμάσαντες ἔργον;

Πλεῖστα μὲν ὀχήματα ἐπὶ τῶν τοῦ Σιμόεντος ἐζεύξατε ὄχθων· καὶ πολλῶν ἡρώων ἀγῶνας κατελίπατε ἀστεφάνους· οἱ δὲ βασιλεῖς τοῦ Ἰλίου ἔπεσον ἐν ταῖς μάχαις· ἐν δὲ τῇ πόλει πῦρ οὐκέθ' ὁρᾶται, καπνὸν ἐκ βωμῶν θυώδη πρὸς θεοὺς ἀναπέμπον.

Πολλαί τε Τρῳάδες γυναῖκες, ἀνὰ τὰς τῶν Ἑλλήνων πλανώμεναι ἀγορὰς, ἐπωδύροντο τὰ ἑαυτῶν τέκνα

ἀντὶ τοῦ μηδὲν, ἔγραψα, μηδέν' 991. Ὁ πυργώσας] Ποσειδῶν καὶ Ἀπόλλων ἔκτισαν τὴν Τροίαν· τὸ δ' ἀληθὲς, Λαομέδων χρησάμενος τῷ ἀργυρίῳ τῶν ἱερῶν αὐτῶν, ἔκτισε· κᾀκτούτου ὁ μῦθος ἐγένετο. 994. Ὀργάναν χέρα] τὴν ἐργατικὴν ὑμῶν χεῖρα, δι' ἧς ἐτεκτήνατε τὴν πόλιν, τίνος ἕνεκα ἀφίετε ταύτην ἄτιμον, παραχωρήσαντες τὴν πόλιν ὑμῶν τῷ ἰσχυρῷ πολέμῳ, ἢ τῷ Ἄρει. 1001. Ἔθετ' ἀστεφάνους] μὴ λαβόντας τῆς νίκης τὸν στέφανον, ἀποθανόντας καὶ μὴ νικήσαντας. δεῖ δὲ περὶ τῶν Τρώων μόνων ταῦτα λαμβάνειν. 1005. Βέβακε] τέθνηκεν Ἀγαμέμνων μὲν ὑπὸ Κλυταιμνήστρας· Κλη-

Θεοῦ, θεοῦνιν κέλευσμ' ἐπεστράφη
Μαντόσυνον ὅ,τε νῦν
Ἀργόθεν πορευθεὶς
Ἀγαμεμνόνιος κέλωρ
Ἀδύτων ἐπιβὰς κτεάνων, ματρὸς φονεύς.
Ὦ δαῖμον, ὦ Φοῖβε, πῶς πείθομαι;
Πολλαὶ δ' ἂν Ἑλλάνων ἀγόρους στοναχὰς (Ἀντ. β'.)
Μέλποντο δυστάνων τεκέων ἄλοχοι·
Ἐκ δ' ἔλειπον οἴκους
Πρὸς ἄλλον εὐνάτορ'· οὐχὶ σοὶ μόνᾳ
Δύσφρονες ἐπέπεσον,
Οὐ φίλοισι, λύπαι·
Νόσον Ἑλλὰς ἔτλα, νόσον.
Διέβα δὲ Φρυγῶν καὶ πρὸς εὐκάρπους γύας
Σκηπτὸς θαλάσσων τὸν ἀΐδα φόνον.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΠΗΛΕΥΣ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ, ΘΕΤΙΣ

ΠΗ. Φθιώτιδος γυναῖκες, ἱστοροῦντί μοι
Σημήναντ'· ᾐσθόμην γὰρ οὐ σαφῆ λόγον,
Ὡς δώματ' ἐκλιποῦσα Μενέλεω κόρη
Φρούδη τάδ'· ἥκω δ' ἐκμαθεῖν σπουδὴν ἔχων,

---

ταιμνήστρα δ' αὖ ὑπὸ τοῦ Ὀρέστου τοῦ παιδὸς αὐτῆς ἐναλλάξ. 1008. Ἐπεστράφη] ἐπέμφθη πάλιν ὑπὸ τοῦ μαντείου δια τοῦ Ὀρέστου· οὗτος γαρ χρησάμενος τῷ χρησμῷ, ἐκελεύσθη φονεῦσαι τὴν μητέρα. 1013. Πῶς πείθομαι]

καὶ καταλιποῦσαι τὰς ἑαυτῶν οἰκίας, πρὸς ἄλλους ἐτράπησαν συνευνέτας· οὐ γὰρ σοὶ μόνῃ, οὐδὲ τοῖς σοῖς φίλοις μόνοις πικρὰ συνέβη πάθη· ἀλλὰ πάσης τῆς Ἑλλάδος τὸ δεινὸν καθήψατο τοῦτο· διέβη δ' ὁ σκηπτὸς καὶ πρὸς τὰς εὐκάρπους τῶν Φρυγῶν πεδιάδας, πολὺν φόνον καταπέμψας τῷ Ἅδῃ.

Ἀτρείδης δ' Ἀγαμέμνων ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς ὕστερον ἀνῃρέθη· κἀκείνη αὖ αὐτὸ τοῦτο πέπονθεν ἐναλλὰξ ὑπὸ τοῦ παιδὸς, θεοῦ κελεύσαντος, ὁπόθ' ὁ παῖς Ἀγαμέμνονος Ἀργόθεν εἰσῆλθεν εἰς τὸ τοῦ Φοίβου ἀνάκτορον· ὦ δαίμων, ὦ Φοῖβε, πῶς ἂν εἴη μοι ταῦτα πιστά;

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

## ΠΗΛΕΥΣ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ, ΘΕΤΙΣ.

ΠΗ. Φθιώτιδες γυναῖκες, εἴπατέ μοι ὑμεῖς σαφῶς, εἰ ἀληθῶς ἡ τοῦ Μενελάου θυγάτηρ ἀπέδρα ἐντεῦθεν· λέγεται

---

ἀντὶ πείθωμαι διὰ τὸ μέτρον· πῶς πιστεύσω, ὅτι σὺ παρεχώρησας Ὀρέστῃ φονεῦσαι τὴν μητέρα; 1014. Πολλαὶ] πολλαὶ Τρῳάδες ἀνὰ τὰς ἀγορὰς τῶν Ἑλλήνων ἐμέλποντο (ἐθρήνουν) στοναχὰς τῶν δυστήνων τεκέων. Ταῦτα δ' ὡς Τρῳϊκὰ ὄντα, συνέχονται τῇ πρώτῃ Ἀντιστροφῇ· διὸ ἡ δευτέρα Ἀντιστροφὴ ὤφειλεν Στροφὴ δευτέρα εἶναι, κἀκείνη δ' ἐπέχειν τὸν τόπον αὐτῆς, ὡς καὶ ἄλλος τις ἔκρινε τοῦτο· ὡς καὶ μετήλλακταί μοι ταῦτα ἐν τῇ παραφράσει. 1017. Σοὶ μόνᾳ] πότερον πρὸς ἄλλην τινὰ τοῦ Χοροῦ ὁ Χορὸς λέγει, ἢ πρὸς Ἑρμιόνην, ἢ καὶ τρίτον πρὸς Ἀνδρομάχην; οὐκ ἔχω εἰπεῖν· δοκεῖ μὲν οἰκείως ἔχειν ὁ λόγος μᾶλλον πρὸς Ἀνδρομάχην, ἀλλ' οὐ πάρεστι. 1026. Φρούδη]

Εἰ ταῦτ' ἀληθῆ· τῶν γὰρ ἐκδήμων φίλων
Δεῖ τοὺς κατ' οἶκον ὄντας ἐκπονεῖν τύχας.
ΧΟ. Πηλεῦ, σαφῶς ἤκουσας· οὐδ' ἐμοὶ καλὸν
Κρύπτειν, ἐν οἷσπερ οὖσα τυγχάνω κακοῖς·
Βασίλεια γὰρ τῶνδ' οἴχεται φυγὰς δόμων.
ΠΗ. Τίνος φόβου τυχοῦσα; διαπέραινέ μοι.
ΧΟ. Πόσιν τρέμουσα, μὴ δόμων νιν ἐκβάλῃ.
ΠΗ. Μῶν ἀντὶ παιδὸς θανασίμων βουλευμάτων;
ΧΟ. Ναὶ, καὶ γυναικὸς αἰχμαλωτίδος φόβῳ.
ΠΗ. Ξὺν πατρὶ δ' οἴκους, ἢ τίνος λείπει μετα;
ΧΟ. Ἀγαμέμνονός νιν παῖς βέβηκ' ἄγων χθονός.
ΠΗ. Ποίαν παιραίνων ἐλπίδ'; ἢ γῆμαι θέλων;
ΧΟ. Καὶ σοῦ γε παιδὸς παιδὶ πορσύνων μόρον.
ΠΗ. Κρυπτὸς καταστὰς, ἢ κατ' ὄμμ' ἐλθὼν μάχῃ;
ΧΟ. Ἁγνοῖς ἐν ἱεροῖς Λοξίου Δελφῶν μέτα.
ΠΗ. Οἴ μοι· τόδ' ἤδη δεινόν. οὐχ ὅσον τάχος
Χωρήσεταί τις Πυθικὴν πρὸς ἑςίαν.
Καὶ τἀνθάδ' ὄντα τοῖς ἐκεῖ λέξει φίλοις,
Πρὶν παῖδ' Ἀχιλέως κατθανεῖν ἐχθρῶν ὕπο;
ΑΓ. Ἰώ μοί μοι.
Οἵας ὁ τλήμων ἀγγελῶν ἥκω τύχας
Σοί τ', ὦ γεραιὲ, καὶ φίλοισι δεσπότου.
ΠΗ. Αἶ, αἶ· πρόμαντις θυμὸς, ὥς τι προσδοκῶν.
ΑΓ. Οὐκ ἔςι σοι παῖς παιδὸς, ὡς μάθῃς, γέρον

---

ἄφαντος ἐγένετο 1039. Καὶ σοῦγε] οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τῷ τοῦ Ἀχιλλέως υἱῷ ἐπιβουλεύει. 1040. Κρυπτος καταστας] ὡς εἰ ἔλεγεν, ἐκ τοῦ ἐμ-

γὰρ τοῦτ' οὐ πιστὸν ἔμοιγε· δεῖ γὰρ δὴ ἀποδημούντων τῶν φίλων, τοὺς ἐπιδημοῦντας τὴν τῶν οἴκοι συμβαινόντων φροντίδα ἔχειν.

ΧΟ. Ἀληθῆ ταῦτα λέγεται, γέρον· ᾤχετο γὰρ ἡ βασιλὶς ἀποδρᾶσα ἐντεῦθεν· οὐ γὰρ ἂν δυναίμην ὡς ἐν τοιούτοις κακοῖς μὴ οὐχὶ εἰπεῖν σοι ἁπλῶς τἀληθές.

ΠΗ. Τί δήποτε φοβηθεῖσα; εἰπέ μοι πρῶτον.

ΧΟ. Τὸν ἑαυτῆς ἄνδρα, μὴ αὐτὴν ἐκβάλῃ.

ΠΗ. Ἀνθ' ὧν ἐσκευώρησε ποιεῖται τὸν παῖδα;

ΧΟ. Ναὶ μὴν πρὸς τούτῳ καὶ αὐτὴν τὴν μητέρα.

ΠΗ. Μετὰ τοῦ πατρὸς, ἢ πῶς ποτε ἀπέδρα;

ΧΟ. Ὀρέστης ἐλθὼν, ἐξήγαγεν ἐκείνην.

ΠΗ. Πρὸς τί δὲ τοῦτο, ἢ θέλων αὐτὴν γῆμαι;

ΧΟ. Οὐ μόνον ἀλλὰ καὶ τῷ σῷ οἰωνῷ ἐπιβουλεύων φόνον.

ΠΗ. Ἐξ ἐνέδρας πῃ, ἢ φανερᾶς ἐκ μάχης;

ΧΟ. Σὺν Δελφοῖς αὐτοῖς ἐν τῷ ναῷ λοχήσας.

ΠΗ. Οἴμοι· ἄλλο τοῦτ' αὖθις ἐπ' ἄλλῳ κακόν· οὐ σπεύσεις τι παντὶ τάχει πρὸς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν, τὰ παρόνθ' ὅπως ἔχει, Νεοπτολέμῳ ἐρῶν, πρὶν ἂν πάθη τι ὑπὸ τῶν ἐχθρῶν;

ΑΓ. Ἰώμοι μοι· οἷα, οἷα κακὰ ὁ τλήμων σοι, ὦ δέσποτα, καὶ τοῖς φίλοις ἥκω μηνύσων.

ΠΗ. Αἶ, αἶ· ἑτέρων κακῶν ἀρχὴν προμαντεύομαι.

ΑΓ. Ἴσθι σὺ, ὦ ταλαίπωρε γέρων μηκέτι Νεοπτόλεμον

---

φανοῦ; οὐ φοβοῦμαι· οὐ γὰρ νικήσει. 1049. Πρόμαντις] αἶ, αἶ, ἡ ψυχή μου, φησὶ, προμαντεύει τί κακὸν, ἐξ ὧν ὁ ἄγγελος λέγει, ὅτι τέθνηκε Νεοπτόλεμος.

Πηλεῦ· τοιάςδε φασγάνων πληγὰς ἔχει
Δελφῶν ὑπ' ἀνδρῶν καὶ Μηκηναίου ξένου.

ΧΟ. Ἆ, ἆ· τί δράσεις, ὦ γεραιέ; μὴ πέσῃς·
Ἔπαιρε σαυτόν.

ΠΗ. Οὐδέν εἰμ'· ἀπωλόμην.
Φρούδη μὲν αὐδὴ, φροῦδα δ' ἄρθρα μου κάτω.

ΑΓ. Ἄκουσον, εἰ καὶ σοῖς φίλοις ἀμυνάθειν
Χρήζεις; τὸ πραχθὲν σὸν κατορθώσας δέμας.

ΠΗ. Ὦ μοῖρα, γήρως ἐσχάτοις πρὸς τέρμασιν
Οἵα με τὸν δύστηνον ἀμφιβᾶσ' ἔχεις!
Πῶς οἴχεταί μοι παῖς μόνου παιδὸς μόνος;
Σήμαιν'· ἀκοῦσαι δ' οὐκ ἀκούσθ' ὅμως θέλω.

ΑΓ. Ἐπεὶ τὸ κλεινὸν ἤλθομεν Φοίβου πέδον,
Τρεῖς μὲν φαεινὰς ἡλίου διεξόδους
Θέᾳ διδόντες ὄμματ' ἐξεπίμπλαμεν.
Καὶ τοῦθ' ὕποπτον ἦν ἄρ'· ἐς δὲ συστάσεις
Κύκλους τ' ἐχώρει λαὸς οἰκήτωρ θεοῦ.
Ἀγαμέμνονος δὲ παῖς, διαστείχων πόλιν,
Ἐς οὖς ἑκάστῳ δυσμενεῖς ηὔδα λόγους·
Ὁρᾶτε τοῦτον, ὃς διαστείχει θεοῦ
Χρυσοῦ γέμοντα γύαλα, θησαυροὺς βροτῶν,
Τὸ δεύτερον παρόντ', ἐφ' οἷσι καὶ πάρος
Δεῦρ' ἦλθε, Φοίβου ναὸν ἐκπέρσαι θέλων;
Κἀκ τοῦδ' ἐχώρει ῥόθιον ἐν πόλει κακὸν,
Ἀρχαί τ' ἐπληροῦντ' ἔς τε βουλευτήρια,
Ἰδίᾳ θ', ὅσοι θεοῦ χρημάτων ἐφέστασαν,
Φρουρὰν ἐτάξαντ' ἐν περιστύλοις δόμοις·
Ἡμεῖς δὲ μῆλα, φυλλάδος Παρνησίας

ὄντα. Ὀρέστης γὰρ καὶ ἄνδρες Δελφῶν συςάντες πολλοὶ ἐπ' αὐτὸν, καὶ τραύμασι συχνοῖς κακῶς διαθέντες, ἀνεῖλον.

ΧΟ. Ἆ, ἆ· τί δρᾷς αὐτός; ῥῶσον, ὦ γέρον, σεαυτὸν, ἵνα μὴ καταπέσῃς.

ΠΗ. Οὐκέτ' εἰμι, ἀπωλόμην ὁ τάλας· λείπει με ἡ πνοή· κάτωθεν δὲ παραλέλυνται τἄρθρα.

ΑΓ. Ἀλλ' ἀνορθωσάμενος ἄκουσον, ὅπως συνέβη ταῦτα· ἵνα μάθῃς ὅπως δεῖ ἀμύνειν τοῖς σαυτοῦ φίλοις.

ΠΗ. Ὦ τύχη, οἷά με ταῦτα δρᾷς, εἰς ἔσχατον ἤδη ἐληλακότα γῆρας· ἀλλὰ λέγε ἤδη μοι σὺ, ὅπως ποθ' ὁ ἐκ μόνου μόνος ἀπώλετό μοι παῖς, καίτοι οὐκ ἀκουστὰ ταῦτα ἀκοῦσαι, ἀλλ' ὅμως λέγε.

ΑΓ. Ἅμ' ἐλθόντες εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν, τρεῖς μὲν ἡμέρας ἑξῆς ἐτερπόμεθα θέᾳ· καὶ τοῦτο Δελφοῖς τὸ πρῶτον παρέσχεν ὑπόνοιαν, ὥς' ἄλλῃ ἄλλως συςρέφεσθαι ἐν ἀλλήλοις· εἶθ' οὕτως ὁ τοῦ Ἀγαμέμνονος, καιρὸν εὑρὼν, διέθει πανταχοῦ τῆς πόλεως, λόγους ἐπιβούλους πρὸς τὸ οὖς ἐνσπείρων ἑκάςῳ· φυλάξασθε, ἔφη, τοῦτον, ὦ ἄνδρες Δελφοὶ, ὃς δεύτερον ἤδη δοκεῖ ἐπιβουλεύειν τοῖς τοῦ θεοῦ ταμείοις, ἐν οἷς οἱ θησαυροὶ καὶ ὁ χρυσὸς κεῖται τῶν ἀνθρώπων· ἐφ' ἃ καὶ πρὶν ἧκε δεῦρο, τὸν τοῦ θεοῦ ναὸν συλῆσαι σκοπούμενος· ἐκ δὲ τούτου μέγας θόρυβος διὰ πάσης ἧκει τῆς πόλεως, ἄρχοντές τε καὶ βουλευταὶ συναγοράζοντες, ἐβουλεύοντο, καὶ οἷς τῶν χρημάτων ἐπιμέλεια ἦν, ἔταξαν φρουροὺς ἐν τοῖς τοῦ ναοῦ περιςύλοις· ἡμεῖς δ' ἐν ἀγνοίᾳ ὅλως τῶν πραττομένων, λαβόντες ἱερεῖα τῶν ἐκ Παρνασοῦ, ἐπέςημεν

Παιδεύματ', οὐδὲν τῶνδέ πω πεπυσμένοι,
Λαβόντες ἦμεν, ἐσχάραις τ' ἐφέσταμεν,
Ξὺν προξένοισι μάντεσίν τε Πυθικοῖς.
Καί τις τόδ' εἶπεν· ὦ νεανία, τί σοι
Θεῷ κατευξόμεσθα; τίνος ἥκεις χάριν;
Ὁ δ' εἶπε· Φοίβῳ τῆς πάροιθ' ἁμαρτίας
Δίκας παρασχεῖν βουλόμεσθ'· ᾔτησα γὰρ
πατρός ποτ' αὐτὸν αἵματος δοῦναι δίκην.
Κἀνταῦθ' Ὀρέστου μῦθος ἰσχύων μέγα
Ἐφαίνεθ', ὡς ψεύδοιτο δεσπότης ἐμὸς,
Ἥκων ἐπ' αἰσχροῖς· ἔρχεται δ' ἀνακτόρων
Κρηπῖδος ἐντὸς, ὡς πάρος χρηστηρίων
Εὔξαιτο Φοίβῳ, τυγχάνει δ' ἐν ἐμπύροις·
Τῷ δὲ ξιφήρης ἄρ' ὑφειστήκει λόχος
Δάφνη πυκασθείς· ὧν Κλυταιμνήστρας τόκος
Εἷς ἦν ἁπάντων τῶνδε μηχανοῤῥάφος.
Χὠ μὲν κατ' ὄμμα στὰς προσεύχεται θεῷ·
Οἱ δ' ὀξυθήκτοις φασγάνοις ὡπλισμένοι
Κεντοῦσ' ἀτευχῆ παῖδ' Ἀχιλλέως λάθρα.
Χωρεῖ δὲ πρύμναν· οὐ γὰρ ἐς καιρὸν τυπεὶς
Ἐτύγχαν', ἐξέλκει δὲ, καὶ παραστάδος
Κρεμαστὰ τεύχη πασσάλων καθαρπάσας,
Ἔστη 'πὶ βωμοῦ, γοργὸς ὁπλίτης ἰδεῖν,
Βοᾷ δὲ Δελφῶν παῖδας, ἱστορῶν τάδε.
Τίνος μ' ἕκατι κτείνετ', εὐσεβεῖς ὁδοὺς

1095. Τυγχάνει δ' ἐν ἐμπύροις] ἐντυγχάνει δὲ τοῖς ἐμπύροις, προσιὼν τοῖς θύμασιν, ἐξήταζε· παρατηρῶν τὴν ἀκμὴν καὶ κίνησιν τῆς φλογός· ἴδε

παρὰ τοῖς βωμοῖς μετὰ τῶν προξένων καὶ τῶν μάντεων τῶν ἐκ τοῦ ναοῦ· ὥντις προσιὼν τῷ δεσπότῃ, τίνος ἕνεκα, φησὶν, ἐλήλυθας ὧδε, ἵν' εἰδότες, εὐξώμεθά σοι τοῦτο παρὰ τοῦ θεοῦ· ὁ δὲ, δίκας, φησὶ, βουλόμενος δοῦναι, ὧν ἕνεκα πρώην ἐξήμαρτον τῷ θεῷ· ἔφθην γὰρ αἰτήσας αὐτὸν δίκην φόνου τοῦ ἐμαυτοῦ πατρὸς, ἐν Τροίᾳ τεθνηκότος· τοῦτο δ' οὕτω ἁπλῶς ῥηθὲν, ἐποίησε πιςότερα τοῖς πολλοῖς τὰ παρὰ τοῦ Ὀρέςου ἐπιβεβουλευμένα· καὶ ὅλως ὕποπτον τὸν δεσπότην, ὡς δῆθεν εὐπρεπείᾳ λόγων κακὰ μηχανώμενον· εἰσελθὼν δὲ εἰς τὸ ἱερὸν, ὡς εὐξόμενος τῷ θεῷ, ἐνετύγχανε τοῖς ἐμπύροις· ἔνθα ἕνεδρα ἦν καθημένη ἀνδρῶν ἐνόπλων εἰς τὴν Δάφνην ὑποδυομένων· ἣν ὁ τῆς Κλυταιμνήστρας ὁ δολοπλόκος ἐκεῖνος προὐπαρασκευάκει· Ἐνταῦθα τοίνυν προσευχομένῳ αὐτῷ ἐξ ἀπροσδοκήτου ἐπιθέμενοι ξίφεσι κεντοῦσιν αὐτὸν, ἔνοπλοι ἀνόπλῳ ἐπιπηδήσαντες· ὁ δὲ μήπω καιρίως πληγεὶς, ἀνεκρούετο πρύμναν· καὶ διαφυγὼν τὴν πρώτην ἐπίθεσιν, ἀναρπάσας τὰ ὅπλα ἀπὸ τοῦ πασσάλου, ἔςη ἐπὶ τοῦ βωμοῦ γοργὸν ἐμβλέπων ἀπὸ τῶν ὀμμάτων· καί φησι πρὸς τοὺς πολεμίους· Ἄνδρες Δελφοὶ, τίνος ἕνεχ' ὥρμησθ' οὕτως ἐπ' ἐμὲ, εὐσε-

---

περὶ τούτων Φοινίσ. ςίχ. 1255. 1094. Κατ' ὄμμα] κατὰ πρόσωπον, βλέπων πρὸς τὸν θεόν. 1097. Χωρεῖ δὲ πρύμναν] ἀναχωρεῖ· ἀπὸ μεταφορᾶς τῶν ὀπισθοδρομούντων πλοίων, ὁπότε ἐναντίῳ ῥοθίῳ τῶν κωπῶν ἐπὶ πρύμναν ἀναποδίζοντα πλέουσι· τὸ δὲ Ἐξέλκει τὸ αὐτὸ ἂν δηλοίη, οἷον ἐξέλκει ἑαυτὸν παρὰ μέρος· καίτοι διορθοῦσι τοῦτό τινες ἄλλοι ἄλλως· ἐξέθει, ἐξέρπει, ἐξελᾷ. Παραστὰς δὲ, τὰ περὶ τὴν θύραν εἰσὶ τοῦ ναοῦ. 1102. Εὐσεβεῖς ὁδοὺς ἥκοντα] θύοντα, ἱερὸν χρέος ἐκπληροῦντα. 1109. Οὐδὲν ἧνεν] κατὰ συγκοπὴν

Ἥκοντα; ποίας ὄλλυμαι πρὸς αἰτίας;
Τῶν δ᾽ οὐδὲν οὐδεὶς, μυρίων ὄντων πέλας,
Ἐφθέγξατ᾽, ἀλλ᾽ ἔβαλλον ἐκ χειρῶν πέτροις.
Πυκνῇ δὲ νυμφάδι πάντοθεν σποδούμενος,
Προὔτεινε τεύχη κἀφυλάσσετ᾽ ἐμβολὰς,
Ἐκεῖσε κἀκεῖσ᾽ ἀσπίδ᾽ ἐκτείνων χερί.
Ἀλλ᾽ οὐδὲν ἦνεν· ἀλλὰ πόλλ᾽ ὁμοῦ βέλη,
Οἰστοὶ, μεσάγκυλ᾽ ἔκλυτοί τ᾽ ἀμφώβολοι,
Σφαγεῖς τ᾽ ἐχώρουν βουπόροι ποδῶν πάρος.
Δεινὰς δ᾽ ἂν εἶδες πυῤῥίχας φρουρουμένου
Βέλεμνα παιδός· ὡς δέ νιν περισταδὸν
Κύκλῳ κατεῖχον, οὐ διδόντες ἀμπνοὰς,
Βωμοῦ κενώσας δεξίμηλον ἐσχάραν,
Το Τρωϊκὸν πήδημα πηδήσας ποδοῖν,
Χωρεῖ πρὸς αὐτούς· οἱ δ᾽, ὅπως πελειάδες
Ἱέραχ᾽ ἰδοῦσαι, πρὸς φυγὴν ἐνώτισαν.
Πολλοὶ δ᾽ ἔπιπτον μιγάδες ἔκ τε τραυμάτων,
Αὐτοὶ θ᾽ ὑπ᾽ αὐτῶν στενοπόρους κατ᾽ ἐξόδους,
Κραυγὴ δ᾽ ἐν εὐφήμοισι δύσφημος δόμοις
Πέτραισιν ἀντέκλαγξεν· εὐδίᾳ δ᾽ ὅπως,
Ἔστη φαεινοῖς δεσπότης στίλβων ὅπλοις,
Πρὶν δή τις ἀδύτων ἐκ μέσων ἐφθέγξατο
Δεινόν τε καὶ φρικῶδες, ὦρσε δὲ στρατὸν

---

τοῦ οὐδὲν ἤνυεν, καίτοι καὶ ἀσύγκοπτον κεῖται ἐν ἄλλοις. 1110. Μεσάγκυλα] ἀκοντίων εἶδος. ἴδε Φοινίσ. στίχ. 1141. τὸ δὲ Ἔκλυτοι ἐπίθετον ἐστι τοῦ Ἀμφώβολοι· οἱ ἀκόντια καὶ οὗτοι εἰσὶν, ἑκατέρωθεν βάλλοντες· τὸ δὲ Βουπόροι εἶεν ἂν τὰ παρ᾽ Ὁμήρῳ πεμπώβελα, πέντε ὀβελοὺς ἔμπροσθεν ἔχοντα

ϐὲς ἔργον πράττοντα; λέγετε τὴν αἰτίαν· οἱ δὲ κωφοῖς ἐοικότες, ἔϐαλον λίθοις ἀθρόοι μυρίοι ὅσοι· ὁ δὲ τῇ τῶν λίθων πικνότητι πανταχόθεν κοπτόμενος, προὔτεινε τὴν ἀσπίδα, καὶ τὰς ἐμϐολὰς ἀπεκρούετο, ἄλλο τ' ἄλλο σε μεταφέρων ἐκείνην· ἀλλ' οὐδεμία μηχανὴ ἦν τοσαῦθ' ἅμα ἀποκρούσασθαι βέλη, οϊςοὺς, μεσάγκυλα, ἐκλύτους ἀμφωϐόλους, πεμπόϐολα, οἷς ἐχρῶντο ἐν τοῖς ἱερείοις, ἀθρόα πάντ' αὐτῷ ἐμπίπτοντα πρὸ ποδῶν· ἐνταῦθα δὲ εἶδες ἂν αὐτὸν ὥσπερ πυῤῥίχην ὀρχούμενον ἐν τῷ προφυλάττεσθαι πρὸς τὰ βέλη· ὡς δὲ οὐδενὶ τρόπῳ παρεῖχον αὐτῷ ἀναπνεῦσαι, περιςοιχισάμενοι κύκλῳ, ἐκπηδήσας αὐτὸς ἀπὸ τοῦ βωμοῦ Τρωϊκὸν ὅλως πήδημα, ἵησιν ἐπ' αὐτοὺς ὁμόσε τῷ ξίφει· οἱ δὲ, οἷον αἱ περιςεραὶ, ἐπιφανέντος ἱέρακος, ἐτράπησαν εἰς φυγὴν ἄλλος ἄλλῃ· πολλοὶ δὲ καὶ ἔπεσον ἀναμὶξ, οἱ μὲν ὑπὸ τῶν τραυμάτων· οἱ δὲ ὡς ἐν ςενῇ τῇ ἐξόδῳ, ὑπ' ἀλλήλων καταπατηθέντες· κραυγὴ δέ τις κακόφημος ἀπὸ τοῦ ναοῦ ἀντήχησε πρὸς τὰς πέτρας· κἀνταῦθ ὁ δεσπότης ἔςη ἥσυχος ἀποςίλϐων τοῖς ὅπλοις, μέχρις οὗ, ἐμϐοήσαντός τινος ἐκ τοῦ ναοῦ δεινὸν καὶ φρικῶδες, ἐτράπη

---

κατὰ τρίαιναν. 1112. Πυῤῥίχας] εἶδος χοροῦ ἐν ὅπλοις ἐστὶν ἡ πυῤῥίχη· τὸ δὲ πολύτροπον τοῦ σώματος πρὸς τὸ ἀποφεύγειν τὰ βέλη βούλεται δεῖξαι ἐνταῦθα. 1116. Τρωϊκὸν πήδημα] ὃ ἡρωϊκῶς ἐπήδησε, φασὶν, Ἀχιλλεὺς, ἀποϐὰς τὸ πρῶτον ἀπὸ τῆς νεὼς εἰς τὴν Τροίαν· τοιοῦτον γὰρ ἦν ὡς καὶ ὕδωρ ἐξελθεῖν ἐκ τῆς γῆς· εἰ μὴ ἐννοεῖ τὸ Πρωτεσιλάου. 1118. Ἐνώτισαν] στρέψαντες τὰ νῶτα, ἐτράπησαν εἰς φυγήν. 1122. Εὐδία δὲ ὅπως] ὥσπερ



ΔΗΜΟ... ΚΗ ...ΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

Στρέψας πρὸς ἀλκήν. ἔνθ' Ἀχιλλέως πιτνεῖ
Παῖς ὀξυθήκτῳ πλευρὰ φασγάνῳ τυπεὶς
Δελφοῦ πρὸς ἀνδρὸς, ὅςπερ αὐτὸν ὤλεσεν
Πολλῶν μετ' ἄλλων· ὡς δὲ πρὸς γαῖαν πιτνεῖ,
Τίς οὐ σίδηρον προσφέρει; τίς οὐ πέτρον,
Βάλλων, ἀράσσων; πᾶν δ' ἀνάλωται δέμας
Τὸ καλλίμορφον τραυμάτων ὑπ' ἀγρίων.
Νεκρὸν δὲ δή νιν, κείμενον βωμοῦ πέλας,
Ἐξέβαλον ἐκτὸς θυοδόκων ἀνακτόρων.
Ἡμεῖς δ', ἀναρπάσαντες ὡς τάχος χεροῖν,
Κομίζομέν νίν σοι κατοιμῶξαι γόοις
Κλαῦσαί τε, πρέσβυ, γῆς τε κοσμῆσαι τάφῳ.
Τοιαῦθ' ὁ τοῖς ἄλλοισι θεσπίζων ἄναξ,
Ὁ τῶν δικαίων πᾶσιν ἀνθρώποις κριτὴς,
Δίκας διδόντα παῖδ' ἔδρασ' Ἀχιλλέως,
Ἐμνημόνευσε δ', ὥςπερ ἄνθρωπος κακὸς,
Παλαιὰ νείκη. πῶς ἂν οὖν εἴη σοφός;

ΧΟ. Καὶ μὴν ὅδ' ἄναξ ἤδη φοράδην (Στρ. α'.)
Δελφίδος ἐκ γῆς δῶμα πελάζει.
Τλήμων ὁ παθὼν, τλήμων δὲ, γέρον,
Καὶ σὺ δέχῃ γὰρ τὸν Ἀχίλλειον
Σκύμνον ἐς οἴκους, αὐχ ὡς σὺ θέλεις·
Αὐτός τε κακοῖς πήμασι κύρσας
Εἰς ἓν μοίρας συνέκυρσας.

ΠΗ. Ὤ μοι ἐγώ! κακὸν οἷον ὁρῶ τόδε,
Καὶ δέχομαι χερὶ δώμασιν ἀμοῖς!
Ἰώ μοί μοι, αἶ αἶ! ὦ πόλι
Θεσσαλία, διολώλαμεν, ᾠχόμεθ'·
Οὐκέτι μοι γένος, οὐκέτι μοι τέκνα

αὖθις ὁ ϛρατὸς πρὸς ἀλκήν· κἀνταῦθα Νεοπτόλεμος, διαπαρεὶς τὴν πλευρὰν πρὸς ἀνδρὸς Δελφοῦ, πολλοὺς ἔχοντος παραϛάτας, ἔπεσε· κἀκ τούτου πᾶς τις ἦν ἐνεργὸς, ἄλλος ἄλλῳ τῳ ἐμπεσὼν, ὁ μὲν σιδήρῳ, ὁ δὲ λίθῳ, ὁ δὲ ὅτῳ τύχοι, βάλλοντες, ἀράσσοντες, αἰκίζοντες αὐτὸν πεπτωκότα, μέχρις οὗ πᾶν τὸ καλὸν αὐτῷ κατεκρεούργησαν σῶμα· κἆτ' ἐκβαλόντες, κατεῤῥίπτησαν τὸν νεκρόν· ὃν ἡμεῖς ἐξαρπάσαντες παραχρῆμα, κομίζομέν σοι, ὅπως θρηνήσῃς αὐτὸν τὰ εἰκότα· καὶ ἀπολοφυράμενον, κρύψαι τάφῳ. Τοιαῦτα, ὦ γέρον, ὁ Φοῖβος, ὃς λέγεται τοῖς ἄλλοις θεσπίζειν, καὶ πᾶσιν ἀνθρώποις δικάζειν τὰ δίκαια, τὸν τοῦ Ἀχιλλέως δέδρακε παῖδα, συγγνώμην, ὧν ἐξήμαρτε πρώην παρ' αὐτοῦ ἐξαιτούμενον, ὥσπερ τις τῶν κακῶν ἀνθρώπων ἐπ' ἀρχαίοις μνησικακήσας ἁμαρτήμασι· πῶς οὖν ἂν εἴποιμι σοφὸν αὐτὸν εἶναι;

ΧΟ. Καὶ μὴν ἰδοὺ ὁ ἀνὴρ φοράδην ἐκ Δελφῶν κομιζόμενος, πάρεισι δεῦρο· Ὦ τλῆμον, οἷα πέπονθας· τλήμων δὲ καὶ σὺ, γέρον, ὃς ὑποδέχῃ αὐτὸν οὐχ ὡς θέλεις· ὃ γὰρ ὁρᾷς παθῶν ἐστιν ἁπάντων οἰκτρότατον πάθος, καί σου τὴν καρδίαν ἐν ἴσῳ λόγῳ συνέτρωσε.

ΠΗ. Ἰώ μοι μοι, οἷον ὁρῶ τόδε κακὸν, καὶ δέχομαι ἔνδον χερσὶ τοῖς ἐμαυτοῦ! ἰώ μοι μοι, αἶ, αἶ· ὦ πόλις Θεσσαλία, ἀπωλόμεθα, διωλόμεθ' ὅλως ἡμεῖς, καὶ οὐκέτ' ἔμοιγε γένος, οὐδὲ τέκνον οἴκοι λοιπόν· οἷα, οἷα ὁ

---

εὐδίᾳ, ἐν ἡσυχίᾳ, ὡς νικητής· ἢ καὶ λαμπρός· λαμπρὰ γὰρ ἡ εὐδία. 1140.

ΧΟ. Θεοῦ γὰρ αἶσα, θεὸς ἔκρανε συμφοράν. (Στ. γ'.)
ΠΗ. Ὦ φίλος, δόμον ἔλιπες ἔρημον,
Ἰώ μοί μοι!
Ταλαίπωρον ἐμὲ γέροντ' ἄπαιδα νοσφίσας.
ΧΟ. Θανεῖν, θανεῖν σε, πρέσβυ, χρῆν πάρος τέκνων.
ΠΗ. Οὐ σπαράξομαι κόμαν, (Στρ. δ'.)
Οὐ 'πιθήσομαι ἐμῷ κάρᾳ
Κτύπημα χειρὸς ὀλοόν; ὦ πόλις, πόλις,
Διπλῶν τέκνων μ' ἐστέρησε Φοῖβος.
ΧΟ. Ὦ κακὰ παθὼν ἰδών τε, δυστυχὴς γέρον. (Στρ. έ.)
Τίν' αἰῶν' εἰς τὸ λοιπὸν ἕξεις;
ΠΗ. Ἄτεκνος, ἔρημος, οὐκ ἔχων πέρας κακῶν (Ἀντ. έ.)
Διαντλήσω πόνους ἐς ᾅδαν.
ΧΟ. Μάτην δέ σ' ἐν γάμοισιν ὤλβισαν θεοί. (Ἀντ. γ'.)
ΠΗ. Ἀμπτάμενα πάντα φροῦδα κεῖται
Κόμπων μεταρσίων πρόσω.
ΧΟ. Μόνος μόνοισιν ἐν δόμοις ἀναστρέφῃ.
ΠΗ. Οὔτε μοι πόλις, πόλις, (Ἀντ. δ')
Σκῆπτρά τ' ἐρρέτω τάδε 'πὶ γᾶν.
Σύ τ', ὦ κατ' ἄντρα νύχια Νηρέως κόρη,
Πανώλεθρόν μ' ὄψεαι πιτνοῦντα πρὸς γᾶν.
ΧΟ. Ἰὼ ἰώ.
Τί κεκίνηται; τίνος αἰσθάνομαι
Θείου; κοῦραι, λεύσσετ', ἀθρήσατε·
Δαίμων ὅδε τις, λευκὴν αἰθέρα

---

προσφέρων ὀδυροῦμαι, ὡς νομίζεται τοῖς νεκροῖς. 1183. Νοσφίσας] ἀποστερήσας ἐμοῦ σεαυτόν. 1188. Διπλῶν τέκνων] Ἀχιλλέα νόει καὶ Νεοπτόλεμον

ΧΟ. Ἀλλὰ φέρειν δεῖ τὰ παρὰ τῶν θεῶν ἀναγκαίως.

ΠΗ. Ὦ φίλτατε, οἴχῃ, ἔρημον καταλιπὼν τὸν οἶκον· ἰώ μοι μοι, γέροντ' ἄτεκνον τὸν ταλαίπωρον ἐμὲ παιδὸς ἀποστερήσας.

ΧΟ. Ἐχρῆν σε, γέρον, ἀποθανεῖν πρὸ τῶν τέκνων.

ΠΗ. Πῶς οὖν μὴ σπαράξω τὴν κόμην; πῶς μὴ καταράξω τὴν κεφαλὴν ταῖς χερσίν; ὦ πόλις, δύο τέκνων ὀρφανῶν ἔθηκέ με Ἀπόλλων.

ΧΟ. Ὦ τάλας σύγε, οἷα, οἷα ἰδών τε, παθών τε τυγχάνεις, γέρον· ὡς πικρὸς ὁ βίος ἐς τοὐπιόν σοι ἔσται.

ΠΗ. Ἄπαις, ἔρημος, πέρας κακῶν οὐκ ἔχων, πόνους ἐκ πόνων μέχρι θανάτου οἴσω.

ΧΟ. Μάτην ἄρ' ἦν σοι ἡ τῶν θεῶν τιμὴ ἐν γάμοις.

ΠΗ. Ἀπέπτη πάντα, καὶ κόμπῳ ᾤχετο μετεώρῳ.

ΧΟ. Μόνος γὰρ νῦν ἐγκατελείφθης οἴκοι.

ΠΗ. Οὐκέτι μοι πόλις· ἐῤῥέτω καὶ πόλις καὶ σκῆπτρα ταυτὶ κατὰ γῆς. Σὺ δ', ὦ κόρη Νηρέως ἐν ἄντροις διαιτωμένη ζοφώδεσιν, αὐτίκα ὄψει με ἄπαιδα κείμενον ἐν τῇ κόνει.

ΧΟ. Ἰὼ, ἰώ· τίς ἡ κίνησις αὕτη; θεοῦ γὰρ παρουσίαν παρέχεται αἴσθησιν· ὁρᾶτ', ὦ φίλαι· ἴδετε, θεὸς ὅδε τὸν

---

1192. Διαντλήσω] διὰ βίου μετὰ πόνων διάξω· ἀπὸ μεταφορᾶς τῶν ἀντλούντων· γράφεται δὲ καὶ διατλήσω ἀπὸ τοῦ τλῆμι· τὸ δὲ, εἰς ἀΐδαν, μέχρι θανάτου βούλεται λέγειν. 1200. Πιτνοῦντα πρὸς γᾶν] ἀποθνήσκοντα μηδένα κληρονόμον καταλιπόντα. 1202. Τί κεκήνηται] ἡ μὲν γὰρ κίνησις τῆς θεοῦ ἀκούεται ἄνωθεν, ὡς διὰ τοῦ ἀέρος θεοπρεπῶς φερομένης· αὐτὴ δὲ οὐχ

Πορθμευόμενος, τῶν ἱπποβότων
Φθίας πεδίων ἐπιβαίνει.

ΘΕ. Πηλεῦ, χάριν τῶν σῶν πάρος νυμφευμάτων,
Ἥκω Θέτις, λιποῦσα Νηρέως δόμους.
Καὶ πρῶτα μέν σοι τοῖς παρεστῶσιν κακοῖς
Μηδέν τι λίαν δυσφορεῖν παρῄνεσα·
Κἀγὼ γὰρ, ἣν ἄκλαυστ' ἐχρῆν τίκτειν τέκνα,
Ἀπώλεσ' ἐκ σοῦ παῖδα τὸν ταχὺν πόδας
Ἀχιλλέα τεκοῦσα, πρῶτον Ἑλλάδος.
Ὧν δ' οὕνεκ' ἦλθον, σημανῶ, σὺ δ' ἐνδέχου.
Τὸν μὲν θανόντα τόνδ' Ἀχιλλέως γόνον
Θάψον, πορεύσας Πυθικὴν πρὸς ἐσχάραν,
Δελφοῖς ὄνειδος, ὡς ἀπαγγέλλῃ τάφος
Φόνον βίαιον τῆς Ὀρεστείας χερός·
Γυναῖκα δ' αἰχμάλωτον, Ἀνδρομάχην λέγω,
Μολοσσίαν γῆν χρὴ κατοικῆσαι, γέρον,
Ἑλένῳ ξυναλλαχθεῖσαν εὐναίοις γάμοις,
Καὶ παῖδα τόνδε, τῶν ἀπ' Αἰακοῦ μόνον
Λελειμμένον δή· βασιλέας δ' ἐκ τοῦδε χρὴ
Ἄλλον δι' ἄλλου διαπερᾶν Μολοσσίαν
Εὐδαιμονοῦντας· οὐ γὰρ ὧδ' ἀνάστατον
Γένος γενέσθαι δεῖ τὸ σὸν κἀμὸν, γέρον,
Τροίας τε· καὶ γὰρ θεοῖσι κἀκείνης μέλει,
Καίπερ πεσούσης Παλλάδος προθυμίᾳ.
Σὲ δ', ὡς ἂν εἰδῇς τῆς ἐμῆς εὐνῆς χάριν,

---

ἐρᾶται. 1221. Ἑλένῳ] τῷ ἀδελφῷ τοῦ Ἕκτορος, ὃν Νεοπτόλεμος ἀγαγὼν

λαμπρὸν διαθέων αἰθέρα, ἐπὶ τὰ ἱππότροφα τῆς Φθίας καταβαίνει πεδία.

ΘΕ. Πηλεῦ, Θέτις ἐγώ σοι, τὴν τοῦ Νηρέως καταλιποῦσα οἰκίαν, ἐπειδήποτε συνεζεύχθην σοι γάμῳ, ἥκω σοι πρῶτον μὲν παραινέσουσα ῥαδίως τὰς παρεςώσας συμφορὰς φέρειν· κἀγὼ γὰρ, ἣν ἀδάκρυτά τε καὶ ἀπήμονα ἐχρῆν τίκτειν τέκνα, ἀπεστέρημαι, ὃν ἐκ σοῦ ἔτεκον παῖδα, τὸν ἄριστον πάντων τῶν Ἑλλήνων, τὸν μέγαν φημὶ Ἀχιλλέα. Ἔπειτα κελεύσουσα, Νεοπτόλεμον μὲν, ἐκκομίσαντα εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν, θάψαι αὐτοῦ, ὄνειδος Δελφοῖς, καὶ τῆς βιαίας καὶ φονίου χειρὸς τοῦ Ὀρέςου ἐσόμενον μάρτυρα· τὴν δὲ Ἀνδρομάχην πέμψαι εἰς Μολοσσοὺς Ἑλένῳ αὐτῷ συνοικήσουσαν, συνεπαγομένην καὶ τὸν παῖδ' ἑαυτῆς, ὃς μόνος ἔσθ' ὑπόλοιπος Αἰακίδης· τούτου γὰρ τοὺς ἀπογόγους ἀεὶ χρὴ κρατεῖν Μολοσσῶν ἐν εὐδαιμονίᾳ· δεῖ γὰρ δὴ τό,τ' ἐμὸν καὶ τὸ σὸν γένος, ὥσπερ αὖ καὶ τὸ Πριάμου μὴ παντάπασιν ἐκλιπεῖν· μέλει γὰρ καὶ Τροίας θεοῖς, καίπερ πεσούσης Ἀθηνᾶς συναγωνισαμένης τοῖς Ἕλλησι· σὲ δ' αὐτὸν ὡς συνευνέτην μου γεγονότα, θεὸς ἐκ θεοῦ γενομένη, ποιή-

---

Τροίηθεν, αὐτοῦ κατέςησε. Παράδοξον ὅπως Ἕλενος ἐλθὼν ἀπὸ ἁλούσης τῆς Τροίας, ἔσχε δύναμιν ἐν Ἠπείρῳ· μήτι πιθανὰ τὰ περὶ τούτου παρὰ Δίωνος τοῦ Χρυσοςόμου εἰρημένα; Ἴδε ἐν τῷ περὶ τοῦ μὴ τὸ Ἴλιον ἁλῶναι σελ. 255. ἐμῇ ἐκδόσει καὶ γὰρ ἄξιον 1223. Βασιλέας] οὕτως ἀντὶ βασιλέα. ἐκ τούτου γὰρ πολλαῖς γενεαῖς ὕστερον ἐβασίλευσαν οἱ ἀπόγονοι ἐν τῇ Μολοσσίᾳ καὶ Πύῤῥος ὁ πάνυ ἐξ Ἀχιλλέως ἐσεμνύνετο ἕλκειν τὸ γένος· ὡς καὶ Πλούταρχος γράψας αὐτοῦ τὸν βίον, ἀπὸ Νεοπτολέμου φησὶ κατάγεσθαι· ὃς ἐλθὼν πολλῇ δυνάμει εἰς τὴν Ἤπειρον, καὶ κρατήσας τοῖς ὅπλοις, κατέλιπε τοὺς

Θεὰ γεγῶσα καὶ θεοῦ πατρὸς τέκος,
Κακῶν ἀπαλλάξασα τῶν βροτησίων,
Ἀθάνατον, ἄφθιτόν τε ποιήσω θεόν.
Κἄπειτα Νηρέως ἐν δόμοις ἐμοῦ μέτα
Τὸ λοιπὸν ἤδη θεὸς συνοικήσεις θεᾷ·
Ἔνθεν κομίζων ξηρὸν ἐκ πόντου πόδα,
Τὸν φίλτατόν σοι παῖδ' ἐμοί τ' Ἀχιλλέα
Ὄψει δόμους ναίοντα νησιωτικοὺς
Λευκὴν κατ' ἀκτὴν ἐντὸς Εὐξείνου πόρου.
Ἀλλ' ἕρπε δελφῶν ἐς θεόδμητον πόλιν,
Νεκρὸν κομίζων τόνδε, καὶ κρύψας χθονὶ,
Ἐλθὼν παλαιᾶς χοιράδος κοῖλον μυχὸν
Σηπιάδος ἵζου· μίμνε δ', ἐς τ' ἂν ἐξ ἁλὸς,
Λαβοῦσα πεντήκοντα Νηρήδων χορὸν,
Ἔλθω κομιστής σου· τὸ γὰρ πεπρωμένον
Δεῖ σ' ἐκκομίζειν· Ζηνὶ γὰρ δοκεῖ τάδε·
Παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ·
Πᾶσιν γὰρ ἀνθρώποισιν, ἥδε πρὸς θεῶν
Ψῆφος κέκρανται, κατθανεῖν ὀφείλεται.
ΠΗ. Ὦ πότνι', ὦ γενναῖα συγκοιμήματα,
Νηρέως γένεθλον, χαῖρε· ταῦτα δ' ἀξίως
Σαυτῆς τε ποιεῖς καὶ τέκνων τῶν ἐκ σέθεν·
Παύω δὲ λύπην, σοῦ κελευούσης, θεά·
Καὶ τόνδε θάψας εἶμι Πηλίου πτύχας,
Οὗπερ σὸν εἷλον χερσὶ κάλλιστον δέμας.

---

τῶν πραγμάτων διαδόχους ἀφ' ἑαυτοῦ. 1235. Ξηρὸν πόδα] ἐξερχόμενος τῆς

σω θεὸν ἀθάνατον εἰσαεὶ, τῶν ἀνθρωπίνων ἀπαλλάξασα μόχθων· οὕτω δὴ θεὸς θεῷ ἐμοὶ ἐν τοῖς τοῦ Νηρέως τοῦ λοιποῦ συνοικήσεις· ὅθεν ἀναθρώσκων μικρὸν εἰς τὴν χέρσον, ἔσῃ ὁρῶν, ὅταν βούλῃ, τὸν ἐμόν τε καὶ σὸν φίλτατον Ἀχιλλέα, ἐν τῇ λευκῇ νήσῳ τῇ ἐν τῷ Εὐξείνῳ διαιτώμενον πόντῳ· ἀλλ' ἴθι νῦν θάψων τὸν νεκρὸν ἐν Δελφοῖς· ἐκ δὲ τούτου ἐπανελθὼν εἰς τὴν Σηπιάδα, περίμενε αὐτοῦ ἐν τῷ ἄντρῳ, μέχρις ἂν ἐξελθοῦσα ἐγὼ τῆς θαλάσσης σὺν πεντήκοντα Νηρεΐσιν, ἀγάγω σε εἰς τὰ τοῦ Νηρέως ἀνάκτορα· δεῖ γάρ σε ἐκτελέσαι τὸ τῆς εἱμαρμένης· τοῦτο δὴ καὶ Διός ἐστι βουλὴ, ᾧ σε πείθεσθαι χρή· παῦσαι δὲ λυπούμενος ἐπὶ τοῖς τεθνεῶσι· τοῦτο γὰρ ἡ ψῆφός ἐστι τῶν θεῶν, πάντας ἀνθρώπους τέλος τοῦ βίου ἔχειν.

ΠΗ. Ὦ πότνια καὶ γενναία κόρη Νηρέως, ὦ φιλτάτη μοι νύμφη, χαῖρε· ἄξια ταῦτα σεαυτῆς καὶ τῶν σῶν ποιεῖς τέκνων· ὡς πείθομαί σοι, καὶ παύσομαι τοῦ λοιποῦ ἀνιώμενος· τούτῳ δὲ ποιήσας τὰ νομιζόμενα, ὡς ἐκέλευσας, ἥξω εἰς τὴν ἐν τῷ Πηλίῳ χοιράδα πέτραν, ἔνθ'

---

ἀβύσσου εἰς τὴν ξηρὰν, ἔσῃ ὁρῶν Ἀχιλλέα ἐν Λευκῇ διαιτώμενον τῇ νήσῳ. Λευκὴ δὲ λέγεται, ὅτι λευκαὶ Ὄρνιθες ἦσαν ἐν αὐτῇ· κεῖται δὲ παρὰ τὰς ἐκβολὰς τοῦ Οἴστρου ἐν τῷ Εὐξείνῳ· Ἴδε Ἰφιγ. Ταυρ. 436. καὶ Ἀῤῥιανόν. Ἀλεξ. Α. 1242. Σηπιάδος] Θέτιν μὴ δεχομένην συνευνασθῆναι τῷ Διῒ, κατεδίκασεν αὐτὴν θνητῷ τῷ Πηλεῖ συναρμοσθῆναι· ἡ δὲ μὴ καταδεχομένη καὶ τοῦτο, μετέβαλεν εἰς σηπίαν· ἀλλ' ὁ Πηλεὺς ἀγρεύσας αὐτὴν ἐν ἄντρῳ, ἔσχε λαβών· κἀκ τούτου ἐκλήθη τὸ χωρίον τοῦτο Σηπιάς. 1245. Ἐκκομίζειν

Κἆτ' οὐ γαμεῖν δῆτ' ἔκ τε γενναίων χρεὼν,
Δοῦναί τ' ἐς ἐσθλοὺς, ὅστις εὖ βουλεύεται;
Κακῶν δὲ λέκτρων μὴ 'πιθυμίαν ἔχειν,
Μηδ' εἰ ζαπλούτους οἴσεται φρενὰς δόμοις;
Οὐ γὰρ ποτ' ἂν πράξειαν ἐκ θεῶν κακῶς.
ΧΟ. Πολλαὶ μορφαὶ τῶν δαιμονίων·
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

---

ὑποφέρειν· 1260. Πολλαὶ μορφαὶ] ταῦτα εὑρήσεις κἀν Μηδείᾳ, Ἀλκήστιδι, Βάκχαις, καὶ Ἑλένῃ κατὰ τὸ τέλος.

ἀνείληφάσε τὸ πρῶτον· Εἶτα πῶς οὐ χρὴ γαμεῖν ἐκ γενναίων τούς γ' εὖ φρονοῦντας, καὶ γενναίοις ἐκδιδόναι τὰς θυγατέρας, πονηροὺς γάμους, καὶ πλουσίας φερνὰς ἀποφεύγοντας; οἱ γὰρ τοιοῦτοι οὐκ ἄν ποτε κακῶς πράξειαν παρὰ τῶν θεῶν.

ΧΟ. Πολύμορφα τὰ τῶν θεῶν εἰσιν ἔργα· πολλὰ γὰρ, ὧν οὐδεμία ἐλπὶς ὑπῆν τοῖς ἀνθρώποις, ἐτελέσθησαν παρ' ἐκείνων· οὐκ ἐλάττω δὲ καὶ ἐντὸς τῶν ἐλπίδων γεγενημένα, ἐσφάλησαν τοῦ γενέσθαι· ὅμοιον δὲ ἀπέβη καὶ τόδε τὸ πρᾶγμα.

» Ῥεῖα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει.
» Ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει.
» Ῥεῖα δέ τ' ἰθύνει σκολιὸν, καὶ ἀγήνορα κάρφει.
» Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει

# ΙΚΕΤΙΔΕΣ.

# ΥΠΟΘΕΣΙΣ

* * Η μὲν σκηνὴ ἐν Ἐλευσῖνι· ὁ δὲ χορὸς ἐξ Ἀργείων γυναικῶν, αἳ μητέρες ἦσαν τῶν ἐν Θήβαις πεπτωκότων ἀριστέων· τὸ δὲ δρᾶμα ἐγκώμιον Ἀθηνῶν.

ΤΑ

## ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΙΘΡΑ·

ΧΟΡΟΣ.

ΘΗΣΕΥΣ.

ΑΔΡΑΣΤΟΣ.

ΚΗΡΥΞ.

ΕΥΑΝΔΗ.

ΙΦΙΣ.

ΠΑΙΣ.

ΑΘΗΝΑ.

Προλογίζει δὲ ἡ Αἴθρα.

# ΙΚΕΤΙΔΕΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΑΙΘΡΑ, ΧΟΡΟΣ, ΘΗΣΕΥΣ, ΑΔΡΑΣΤΟΣ.

ΑΙ. ΔΗΜΗΤΕΡ ἑστιοῦχ' Ἐλευσῖνος χθονὸς
Τῆσδ', οἵ τε ναοὺς ἔχετε πρόσπολοι θεᾶς,
Εὐδαιμονεῖν με, Θησέα τε παῖδ' ἐμὸν,
Πόλιν τ' Ἀθηνῶν, τήν τε Πιτθέως χθόνα,
Ἐν ᾗ με θρέψας ὀλβίοις ἐν δώμασιν
Αἴθραν πατὴρ δίδωσι τῷ Πανδίονος
Αἰγεῖ δάμαρτα Λοξίου μαντεύμασιν.
Ἐς τάσδε γὰρ βλέψασ' ἐπευξάμην τάδε
Γραῦς, αἳ, λιποῦσαι δώματ' Ἀργείας χθονὸς,
Ἱκτῆρι θαλλῷ προσπιτνοῦσ' ἐμὸν γόνυ,
Πάθος παθοῦσαι δεινόν· ἀμφὶ γὰρ πύλας
Κάδμου θανόντων ἑπτὰ γενναίων τέκνων,

3. Εὐδαιμονεῖν] εὔχομαι εὐδαιμονεῖν. 7. Λοξίου] Αἰγεῖ παίδων δεομένῳ τὴν Πυθίαν λέγουσιν ἀνελεῖν τὸν θρυλλούμενον χρησμὸν, διακελευομένην μηδεμιᾷ γυναικὶ συγγενέσθαι πρὶν ἐλθεῖν εἰς Ἀθήνας· ἦν δ' ὁ χρησμὸς οὗτος.

# ΙΚΕΤΙΔΕΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

ΑΙΘΡΑ, ΧΟΡΟΣ, ΘΗΣΕΥΣ, ΑΔΡΑΣΤΟΣ.

ΑΙ. ΔΗΜΗΤΕΡ, πολιοῦχε τῆς Ἐλευσῖνος τῆσδε θεὰ, καὶ ὑμεῖς οἱ ἱερεῖς οἱ τοῦδε τοῦ ναοῦ ἐπιτετραμμένοι τὴν ἐπιμέλειαν, εὔχομαι αὐτή τε εὐδαιμονεῖν καὶ Θησέα τὸν ἐμὸν παῖδα, τάς τ' Ἀθήνας αὐτὰς, καὶ Τροιζῆνα ὁμοίως τὴν Πιτθέως τοῦ ἐμοῦ πατρὸς πόλιν· ἔνθα ἐκεῖνος, ἐν ὀλβιωτάτοις με ἀναθρέψας ἀρχείοις, ἐξέδωκεν ὕστερον Αἰγεῖ τῷ Πανδίωνος, τοῖς τοῦ Φοίβου λογίοις πειθόμενος· τοιαῦτα δ' ὡρμήθην προσεύξασθαι, ὁρῶσα τὸ μέγα πάθος τῶν οἰκτρῶν καὶ ταλαιπώρων τούτων μητέρων· αἳ ἐν γήρως ἤδη οὐδῷ καταλιποῦσαι τὸ Ἄργος, προσέπεσον τοῖς ἐμοῖς γόνασι μεθ' ἱκετηρίας· αὗται γάρ εἰσιν αἱ τοὺς ἑπτὰ ἐν Καδμείᾳ πεσόντας τεκοῦσαι· οὓς

---

Ἀσκοῦ τὸν προὔχοντα πόδα, μέγα φέρτατε λαῶν, μὴ λύσῃς, πρὶν δῆμον Ἀθηνῶν εἰσαφικέσθαι. Πλούτ. Θησ. ὁ δὲ ἐλθὼν εἰς Τροιζῆνα ὡς Πιτθέα, ἵνα ἐξηγήσηται αὐτῷ τὸν χρησμὸν (ἦν γὰρ σοφὸς ἀνὴρ ὁ Πιτθεὺς) λαμβάνει

Ἄπαιδές εἰσιν, οὕς ποτ' Ἀργείων ἄναξ
Ἄδραστος ἤγαγ', Οἰδίπου παγκληρίας
Μέρος κατασχεῖν φυγάδι Πολυνείκει θέλων
Γαμβρῷ· νεκροὺς δὲ τοὺς ὀλωλότας δορὶ
Θάψαι θέλουσι τῶνδε μητέρες χθονί·
Εἴργουσι δ' οἱ κρατοῦντες, οὐδ' ἀναίρεσιν
Δοῦναι θέλουσι, νόμιμ' ἀτίζοντες θεῶν.
Κοινὸν δὲ φόρτον ταῖσδ' ἔχων χρείας ἐμῆς
Ἄδραστος, ὄμμα δάκρυσιν τέγγων, ὅδε
Κεῖται, τό τ' ἔγχος·τήν τε δυςυχεστάτην
Στένων στρατείαν, ἣν ἔπεμψεν ἐκ δόμων·
Ὅς μ' ἐξοτρύνει παῖδ' ἐμὸν πεῖσαι λιταῖς,
Νεκρῶν κομιστὴν ἢ λόγοισιν, ἢ δορὸς
Ῥώμῃ γενέσθαι καὶ τάφου μεταίτιον,
Μόνον τόδ' ἔργον προστιθεὶς ἐμῷ τέκνῳ,
Πόλει τ' Ἀθηνῶν· τυγχάνω δ' ὑπὲρ χθονὸς
Ἀρότου προθύουσ', ἐκ δόμων ἐλθοῦσ' ἐμῶν,
Πρὸς τόνδε σηκὸν, ἔνθα πρῶτα φαίνεται
Φρίξας ὑπὲρ γῆς τῆσδε κάρπιμος στάχυς.
Δεσμὸν δ' ἄδεσμον τόνδ' ἔχουσα φυλλάδος
Μένω πρὸς ἁγναῖς ἐσχάραις δυοῖν θεαῖν,
Κόρης τε καὶ Δήμητρος, οἰκτείρουσα μὲν
Πολιὰς ἄπαιδας τάσδε μητέρας τέκνων,
Σέβουσα δ' ἱερὰ στέμματ'· οἴχεται δέ μοι
Κῆρυξ πρὸς ἄστυ δεῦρο Θησέα καλῶν,
Ὡς ἢ τὸ τούτων λυπρὸν ἐξέλῃ χθονὸς,

Αἴθραν τὴν ἐκείνου θυγατέρα. 15. Φυγάδι Πολυνείκει] ἡ ἔννοια ταύτης τῆς τραγῳδίας ἐξαρτᾶται πᾶσα ἀπὸ τῶν Φοινισσῶν· ἐκεῖ οὖν πέμπομεν πρῶτον τοὺς φιλολόγους. 20. Κοινὸν δὲ φόρτον] κοινὴν χρείαν· ταὐτὰ ταῖσδε ἐμοῦ καὶ Ἄδραστος ὅδε δεῖται. 29. Ἀρότου] προηρόσια ἱερά, καὶ προηροσία θυ-

Ἄδραστος οὑτοσὶ ὁ τῶν Ἀργείων βασιλεὺς, Πολυνείκει τῷ γαμβρῷ βοηθῶν πρὸς τὸ ἀπολαβεῖν τὸ ἐπιβάλλον αὐτῷ τῆς πατρῴας οὐσίας, ἐπήγαγεν ἐπὶ Θήβας. Τούτων οὖν τοὺς νεκροὺς αἱ δύστυνοι αὗται μητέρες ἐθέλουσι κρύψαι τάφῳ· ἀλλ' οἱ κρατοῦντες, τὰ τῶν θεῶν ὅσια καταργοῦντες, οὐκ ἐπιτρέπουσιν. αὐταῖς τὴν ἐκείνων ἀναίρεσιν. Τῶν αὐτῶν δ' αὐταῖς καὶ Ἄδραστος οὗτος δεόμενος παρ' ἐμοῦ, κεῖται ὧδε πολλοῖς καταῤῥεόμενος δάκρυσι, τόν τε πόλεμον, καὶ τὴν δυστυχῆ ἐκςρατείαν ἐκείνην θρηνῶν· καὶ νῦν δεῖταί μου τὸν ἐμαυτοῦ πεῖσαι παῖδα, ὅπως τοὺς νεκροὺς ἤτοι λόγῳ, ἢ δυνάμει βραχίονος ἀνελόμενος, παραδῷ αὐτῷ πρὸς ταφὴν, μόνον αὐτὸν καὶ τὴν πόλιν τῶν Ἀθηναίων πρὸς τοῦθ' ἡγούμενος ἀξιόχρεων. Ἐγὼ δ' ἔτυχον ἐν τῷ ναῷ τούτῳ θύουσα προηρόσια· καὶ νῦν τῷ ἀπαραβιάστῳ τούτῳ τῆς ἱκετηρίας ἐμπλακεῖσα δεσμῷ, μενῶ ἀναγκαίως παρὰ ταῖν θεαῖν, τάθ' ἱερὰ στέμματα σεβομένη, καὶ τὰς πολιὰς ταύτας μητέρας, ἀποστερηθείσας τῶν παίδων, οἰκτείρουσα· καὶ ἤδη μοι κήρυξ ἀπήει πρὸς τὸ ἄστυ μετελευσόμενος Θησέα δεῦρο, ἵνα δυοῖν θάτερον, ἢ τὰς ταλαιπώρους ταύτας τῆς Ἀττικῆς ἀποπέμψηται, ἢ τὴν

---

σία, ἡ ἑορτή. ἐν ᾗ ἔθυον Ἀθηναῖοι πρὸ τοῦ ἀροτριᾷν· ἢ ἐν τῇ συγκομιδῇ τῶν καρπῶν. 31. Φρίξας] βλαστήσας. Δήμητραν γὰρ λόγος ἐστι παρασχεῖν πρῶτον τὸν σῖτον ἐν τῇ Ἀττικῇ. 32. Ἄδεσμον] τρόπον τοῦ ποιητοῦ πολλάκις συνάπτειν ἀλλήλοις τἀντίθετα ὡς, παρθένον ἀπάρθενον, γάμον ἄγαμον, νύμφην ἄνυμφον, δῶρα ἄδωρα, οὕτω δεσμὸν ἄδεσμον. καίπερ δύναιτ' ἂν ἐκληφθῆναι καὶ κατ' ἐπίτασιν τὸ στερητικόν· οἷον, δεσμὸν πολύδεσμον, ἄλυτον, ἢ ἁπλῶς ἀδύνατον. 38. Τὸ τούτων λυπρὸν] ἵνα ἢ τὰς λυπουμένας ταύτας τῆς Ἀττικῆς ἐκβάλῃ, ἢ τὴν ἱκετηρίαν αὐταῖς λύσῃ, ἀποδιδοὺς αὐταῖς τοὺς νε-

Ἢ τάσδ' ἀνάγκας ἱκεσίους λύσῃ, θεοὺς
Ὅσιόν τι δράσας· πάντα γὰρ δι' ἀρσένων
Γυναιξὶ πράσσειν εἰκὸς, αἵτινες σοφαί.

ΧΟ. Ἱκετεύω σε, γεραιὰ, γεραρῶν ἐκ στομάτων πρὸς (Στρ. ά.)
Γόνυ πίπτουσα τὸ σὸν,
Ἀνά μοι τέκνα λῦσαι φθιμένων
Νεκύων, οἳ καταλείπουσι μέλη
Θανάτῳ λυσιμελεῖ, θηρσὶν ὀρείοισι βορὰν,
Ἐσιδοῦσ' οἰκτρὰ μὲν ὄσσων δάκρυ' ἀμφὶ βλεφά-
ροις, ῥυσσὰ (Ἀντ. ά.)
Δὲ σαρκῶν πολιῶν
Καταδρύμματα χειρῶν· τί γάρ; ἃ
Φθιμένους παῖδας ἐμοὺς οὔτε δόμοις
Προθέμαν, οὔτε τάφων χώματα γαίας ἐσορῶ.
Ἔτεκες καὶ σύ ποτ', ὦ πότνια, κοῦρον, (Στρ. β'.)
Φίλα ποιησαμένα λέκτρα πόσει σῷ·
Μέτα νῦν δὸς ἐμοὶ σᾶς διανοίας,
Μετάδος δ', ὅσσον ἐπαλγῶ μελέα τῶν
Φθιμένων, οὓς ἔτεκον·
Παράπεισον δὲ σὸν, ὃν λισσόμεθ', ἐλθεῖν
Τέκνον Ἰσμηνὸν, ἐμὰν τ' εἰς χέρα θεῖναι
Νεκύων θαλερῶν
Σώματα λάϊνον τάφον·

---

ἱεροὺς· τοῦτο γὰρ ἂν εἴη, τοὺς θεοὺς ὅσιόν τι δράσας. 42. Γεραρῶν] σεβασμίων· διαφέρει γὰρ τοῦτο τῶν γεραιῶν. 44. Ἀνά μοι τέκνα λῦσαι] ἐστι τμῆσις τὸ σχῆμα τοῦτο ἀντὶ τοῦ, ἀναλῦσαι, ῥύσασθαι· ἔστι δ', οἶμαι, καὶ ἀντίπτωσις ἀντὶ τοῦ, τοὺς φθιμένους τῶν τέκνων νέκυας. Ἀπορεῖται δ' οὖν, μήτι τὸ μὲν

ἱκεσίαν ὁτῳδήποτε τρόπῳ ὁσίῳ πρὸς θεοὺς αὐταῖς λύσῃ· δεῖ γὰρ δὴ τὰς γυναῖκας, αἵτινες εἶεν φρονοῦσαι, πάντ' ἐπιτρέπειν ἀνδράσι πράττειν.

ΧΟ. Ὦ γεραιὰ, δέξαι ἐκ στομάτων γεραιῶν ἱκεσίαν, τοῖς σοῖς γόνασιν ἐμοῦ προσπιπτούσης· δός μοι ἀνελέσθαι τοὺς νεκροὺς τῶν ἐμῶν φίλων τέκνων, οἳ πεσόντες ἐν μάχῃ πρόκεινται βορὰ τοῖς κυσί.

Ναὶ, ὦ σεβασμία, οἴκτειρον τάτε ἐκ τῶν ὀφθαλμῶν ἡμῶν ὁρῶσα καταῤῥέοντα δάκρυα, καὶ τῶν ῥυσῶν καὶ πολιῶν τουτωνὶ σαρκῶν τὰ ἐλεεινὰ καταδρύμματα· τί γὰρ ἂν καὶ πάθοιμι, ἥτις μήτε οἴκοι τοὺς ἐμοὺς παῖδας ἀξίως προὐθέμην, μήτ' ἔξωγε ὁρῶ αὐτοὺς ταφῆς πῃ τυχόντας;

Μνήσθητι, ὦ πότνια πρέσβι, ὡς καὶ σύ ποτε τῷ σαυτῆς ἀνδρὶ μιγεῖσα φιλότητι, ἀγλαὸν παῖδα ἔτεκες· δὸς χεῖρα βοηθείας, συμμεριζομένη τὸ πάθος, καί μοι συναλγοῦσα ἀλγούσῃ, ἐφ' οἷς δάκνομαι τὴν καρδίαν, τῶν ἐμαυτῆς ἀποστερηθεῖσα ὠδίνων· πεῖσον τὸν σαυτῆς υἱὸν, τῶν ἐμῶν ἐπακοῦσαι δεήσεων, ὅπως ἐλθὼν παρὰ τὸν Ἰσμηνὸν, καὶ τὰ οἰκτρὰ τῶν ἐμῶν παίδων κομίσας σώματα, παραδῷ μοι κηδεῦσαι.

---

Ἀνὰ ἢ Ἄνα ἀντὶ τοῦ Ἀνάστα· τὸ δὲ Λύσαι προστακτικὸν, πρὸς ὃ ἀποδοθήσεται καὶ ἡ εὐθεῖα κατωτέρω ἡ, Ἐσιδοῦσα· εἰ μήτις εἴποι, ὅτι καὶ τοῦτο ἀπὸ αἰτιατικῆς ἔλαβε τὴν ἔκθλιψιν τῆς αἰσχάτης κατά τινα πρόληψιν. 49. Σαρκῶν χειρῶν] ἄμφω αἱ γενικαί εἰσι κτητικαὶ ἀναφερόμεναι εἰς τὸ καταδρύμματα· ἀλλ' ἡ μὲν, παθητικῶς· ἡ δὲ χειρῶν, ἐνεργητικῶς. 54. Διανοίας] μετάδος μοι τῆς σῆς εὐνοίας, καὶ χάριτος 60. Λάϊνον τάφον] ἐν ἄλλοις δὲ κεῖται, Λάϊνον εἰς τάφον ὁσίως· ἄμεινον ἴσως, ἀλλὰ παρέλκει ἡ Εἰς ἐν τῷ μέτρῳ· ἔστι δὲ τὸ λάϊνον, ἀπὸ τοῦ λήινον, γήϊνον, οὐχ,

Ὁσίως οὐχ, ὑπ' ἀνάγκας δὲ προπίπτουσα, (Ἀντ. β΄.)
Προσαιτοῦσ', ἔμολον δεξιπύρους θεῶν
Θυμέλας· ἔχομεν δ' ἔνδικα· καὶ σοί
Τι πάρεςι σθένος, ὥςτ' εὐτεκνίᾳ δυσ-
Τυχίαν τὰν παρ' ἐμοὶ
Καθελεῖν· οἰκτρὰ δὲ πάσχουσ', ἱκετεύω
Τὸν ἐμὸν παῖδα τάλαιν' ἐν χερὶ θεῖναι,
Νέκυν ἀμφιβαλεῖν
Λυγρὰ μέλη παιδὸς ἐμοῦ.
Ἀγὼν ὅδ' ἄλλος ἔρχεται γόων γόοις (Στρ. γ΄.)
Διάδοχος· ἀχοῦσι προσπόλων χέρες.
Ἴτ', ὦ ξυνῳδοὶ κακοῖς,
Ἴτ', ὦ ξυναλγηδόνες,
Χορὸν, τὸν Ἀΐδας σέβει.
Διὰ παρῇδος ὄνυχα λευκὸν
Αἱματοῦτε, χρῶτά τε φόνιον·
Τὰ γὰρ φθιτῶν τοῖς ὁρῶσι κόσμος.
Ἄπληςος ἅδε μ' ἐξάγει χάρις γόων (Ἀντ. γ΄.
Πολύπονος, ὡς ἐξ ἀλιβάτου πέτρας
Ὑγρὰ ῥέουσα σταγὼν,
Ἄπαυστος αἰεὶ γόων·
Τὸ γὰρ θανόντων τέκνων
Ἐπίπονόν τι κατὰ γυναῖκας
Εἰς γόους πέφυκε πάθος. ἓ ἕ!
Θανοῦσα, τῶνδ' ἀλγέων λαθοίμαν!

---

ἀπὸ τοῦ λάας, λίθος. 61. Ὁσίως οὐχ, ὑπ' ἀνάγκης δὲ] οὐχ ὡς θεωρὸς ἀφικόμην κεκοσμημένη, ὡς πρὸς ἑορτήν· ἀλλ' ὑπ' ἀνάγκης. ἴδε παρακατιὼν στί/.

Ἀφικόμην δὲ παρὰ τοὺς δεξιπύρους τούτους βωμοὺς οὐχ ὡς πρὸς τὴν ἑορτὴν παρασκευασθεῖσα, ἀλλ' ἀναγκαίως ὡς ἐν συμφοραῖς προσπεσουμένη, εἴτινα παρὰ σοῦ εὑροίμην βοήθειαν· ἡμεῖς τε γὰρ πολλὰ παρεχόμεθα δίκαια, καί σοι πάρεστι δύναμις τὴν ἡμῶν ἀφελεῖν δυστυχίαν. Ἐπειδὴ τοίνυν τυγχάνω οἰκτρότατα πάσχουσα, δέομαί σου καὶ ἱκετεύω ἀποδοῦναί μοι τὸν παῖδα, ὅπως περιστείλασα τὰ εἰκότα, καλύψω τάφῳ.

Ἀλλὰ τί τοῦτο; θρῆνον ἐντεῦθεν ἄλλων θρηνούντων ἀκούω τῶν ἐμῶν θρήνων διάδοχον· οἱ πρόσπολοι τὰ ἑαυτῶν τύπτουσι ςέρνα. Ἀλλ' ἴτε, ὦ σύνθρηνοι τῶν ἐμῶν συμφορῶν, ἄγετ', ὦ συναλγοῦντες τὰς ἐμὰς δυςυχίας, ςήσατε χωρὸν καὶ μολπὴν, οἷα χαίρει μάλισθ' ὁ Ἅδης, τάς τε παρειὰς αἱματοῦντες τοῖς ὄνυξι, καὶ τὰς σάρκας καταδρυπτόμενοι· τοῦτο γὰρ τιμὴ μάλιστά ἐςι τοῖς ἀποθανοῦσι παρὰ τῶν ζώντων.

Ἔμαγε γὰρ κόρος θρήνων ἐκ τῆς χάριτος οὐκ ἔςι ταύτης. ἀπαύστοις δὲ, ὡς πηγὴ ἐκ πέτρας ἠλιβάτου, καταῤῥέομαι δάκρυσι· θάνατος γὰρ τῶν τέκνων ἀνεξάντλητον ἐνίησι τοῖς μητράσι τὸ πάθος πρὸς θρήνους καὶ δάκρυα· φεῦ, φεῦ, πῶς ἂν εἴη μοι θανεῖν, ἵν' ἔχοιμι ἐς λήθην ποτὲ ἐλθεῖν συμφορῶν;

---

96. καὶ 172. καὶ ἑξῆς. 70. Ἀγὼν ὅδ' ἄλλος] ἀκούσας ὁ Χορὸς τοὺς οἰκέτας καὶ τὸ πλῆθος ἔξω θρηνοῦντας (ἰδόντας, ὡς ἔοικεν εἰσιόντα Θησέα) λέγει ταῦτα· καὶ παρακελεύεται πρὸς παράμουσον μουσικὴν, ὅ ἐστι θρήνους· 73. Ἄπληστος χάρις] διὰ τὸ ἀνακουφίζεσθαι καὶ παραμυθεῖσθαι τοὺς κλαίοντας

ΘΗ. Τίνων γόων ἤκουσα καὶ στέρνων κτύπον  
Νεκρῶν τε θρήνους, τῶνδ' ἀνακτόρων ἄπο  
Ἠχοῦς ἰούσης; ὡς φόβος μ' ἀναπτεροῖ,  
Μή μοί τι μήτηρ, ἣν μεταστείχω ποδὶ  
Χρονίαν ἀποῦσαν ἐκ δόμων, ἔχῃ νέον.  
(Ἔα.) τί χρῆμα; καινὰς ἐσβολὰς ὁρῶ λόγων,  
Μητέρα γεραιὰν βωμίαν ἐφημένην,  
Ξένους θ' ὁμοῦ γυναῖκας, οὐχ ἕνα ῥυθμὸν  
Κακῶν ἐχούσας· ἔκ τε γὰρ γερασμίων  
Ὄσσων ἐλαύνουσ' οἰκτρὸν ἐς γαῖαν δάκρυ,  
Κουραὶ δὲ καὶ πεπλώματ' οὐ θεωρικά.  
Τί ταῦτα, μῆτερ; σὸν τὸ μηνύειν ἐμοὶ,  
Ἡμῶν δ' ἀκούειν· προσδοκῶ τι γὰρ νέον.

ΑΙ. Ὦ παῖ, γυναῖκες αἵδε μητέρες τέκνων,  
Τῶν κατθανόντων ἀμφὶ Καδμείας πύλας  
Ἑπτὰ στρατηγῶν· ἱκεσίοις δὲ σὺν κλάδοις  
Φρουροῦσί μ', ὡς δέδορκας, ἐν κύκλῳ, τέκνον.

ΘΗ. Τίς δ' ὁ στενάζων οἰκτρὸν ἐν πύλαις ὅδε;

ΑΙ. Ἄδραστος, ὡς λέγουσιν, Ἀργείων ἄναξ.

ΘΗ. Οἱ δ' ἀμφὶ τόνδε παῖδες ἢ τούτου τέκνα;

ΑΙ. Οὐκ, ἀλλὰ νεκρῶν τῶν ὀλωλότων κόροι.

ΘΗ. Τί γὰρ πρὸς ἡμᾶς ἦλθον ἱκεσίᾳ χερί;

ΑΙ. Οἶδ'. ἀλλὰ τῶνδε μῦθος οὐντεῦθεν, τέκνον.

ΘΗ. Σὲ, τὸν κατήρη χλανιδίοις ἀνιστορῶ.  
Λέγ', ἐκκαλύψας κρᾶτα καὶ παρεὶς γόον·  
Πέρας γὰρ οὐδὲν, μὴ διὰ γλώσσης ἰόν.

ΑΔ. Ὦ καλλίνικε γῆς Ἀθηναίων ἄναξ,  
Θησεῦ, σὸς ἱκέτης καὶ πόλεως ἥκω σέθεν.

**ΘΗ.** Τίνες οἱ θρῆνοι οὗτοι, κτύποιτε στέρνων, οὓς ἀκούω, ὡς ἀπὸ τοῦ ναοῦ ἐξιόντες; τί δή ποτε βούλονται ταῦτα ὧδε; μή μοι ἡ μήτηρ πέπονθέ τι, πρὸς ἣν ἥκω, ὡς ἐκ πολλοῦ ἀποδημοῦσαν; Ἔα! τί χρῆμα τοῦθ' ὁρῶ; νέα μοι προοίμια ταῦτ' ἂν εἴη λόγων, ἡ μήτηρ ἐπὶ τοῦ βωμοῦ καθημένη, καὶ ὑπὸ ξένων γυναικῶν περιεστοιχισμένη, ἄλλων ἄλλοτι κακὸν ἔχειν δοκουσῶν· σημεῖον δέ· δάκρυά τε γὰρ ἀπ' ὀφθαλμῶν καταλείβουσι γηραλέων, καὶ ἡ ἐσθὴς σὺν κουρᾷ θεωροῖς οὐ προσήκουσα. τί ταῦτα μῆτερ; σὸν γὰρ τοῦτ' ἐξηγήσασθαι, ἐμοῦ δ' μαθεῖν· ἔχεις γάρ τι νέον εἰπεῖν.

**ΑΙ.** Μητέρες αὗταί σοι, ὦ τέκνον, μητέρες εἰσὶ τῶν ὑπὸ τῇ Καδμείᾳ ἀποθανόντων ἑπτὰ στρατηγῶν· αἳ νῦν ἱκετηρίαν μοι θέμεναι, φυλάττουσιν, ὡς ὁρᾷς.

**ΘΗ.** Οὗτος δ' ὁ μύχιον ὑποστένων παρὰ τῇ πύλῃ, τίς ποτε ὢν τυγχάνει;

**ΑΙ.** Ἄδραστος οὗτος, ὥς φασιν, ὁ βασιλεὺς τῶν Ἀργείων.

**ΘΗ.** Οἱ δ' ἀμφ' αὐτὸν τίνες, ἢ παῖδες τούτου;

**ΑΙ.** Οὔμενουν τούτου, ἀλλὰ τῶν τεθνηκότων.

**ΘΗ.** Τί δὲ βουλόμενοι, ἱκετεύουσιν ὧδε;

**ΑΙ.** Οἶδα μὲν τοῦτ', ἀλλ' αὐτοῖς προσήκει λέγειν.

**ΘΗ.** Οὐκοῦν ἄγε σὺ ὁ τοῖς χλανιδίοις ὑποκεκρυμμένος, τοὺς γόους ἀφείς, λέγε μοι τὴν τῆς ἱκεσίας αἰτίαν· ἄνευ γὰρ λόγων οὐδὲν ἂν λάβοι πέρας.

**ΑΔ.** Καλλίνικε Θησεῦ, βασιλεῦ Ἀθηνῶν, Ἄδραστος πάρειμι, σοῦ τε καὶ τῆς σῆς πόλεως ἱκέτης γιγνόμενος.

---

εἶπε χάριν τῶν γόων. 102. Φρουροῦσί με κύκλῳ] οὗτος ὁ ἄδεσμος δεσμὸς

ΘΗ. Τί χρῆμα θηρῶν, καὶ τίνος χρείαν ἔχων;
ΑΔ. Οἶσθ', ἣν στρατείαν ἐστράτευσ' ὀλεθρίαν;
ΘΗ. Οὐ γάρ τι σιγῇ διεπέρας Ἑλλάδα.
ΑΔ. Ἐνταῦθ' ἀπώλεσ' ἄνδρας Ἀργείων ἄκρους·
ΘΗ. Τοιαῦθ' ὁ τλήμων πόλεμος ἐξεργάζεται.
ΑΔ. Τούτους θανόντας ἦλθον ἐξαιτῶν πόλιν.
ΘΗ. Κήρυξιν Ἑρμοῦ πίσυνος, ὡς θάψῃς νεκρούς;
ΑΔ. Κᾆπειτά γ' οἱ κτανόντες οὐκ ἐῶσί με.
ΘΗ. Τί γὰρ λέγουσιν, ὅσια χρήζοντες σέθεν;
ΑΔ. Τί δ'; εὐτυχοῦντες, οὐκ ἐπίστανται φέρειν.
ΘΗ. Ξύμβουλον οὖν μ' ἐπῆλθες; ἢ τίνος χάριν;
ΑΔ. Κομίσαι σὲ, Θησεῦ, παῖδας Ἀργείων θέλων.
ΘΗ. Τὸ δ' Ἄργος ὑμῖν ποῦ 'στιν; ἢ κόμποι μάτην;
ΑΔ. Σφαλέντες οἰχόμεσθα, πρὸς σὲ δ' ἥκομεν.
ΘΗ. Ἰδίᾳ δοκῆσάν σοι τόδ', ἢ πάσῃ πόλει;
ΑΔ. Πάντες σ' ἱκνοῦνται Δαναΐδαι, θάψαι νεκρούς.
ΘΗ. Ἐκ τοῦδ' ἐλαύνεις ἑπτὰ πρὸς Θήβας ὄχους;
ΑΔ. Δισσοῖσι γαμβροῖς τήνδε πορσύνων χάριν.
ΘΗ. Τῷ δ' ἐξέδωκας παῖδας Ἀργείων σέθεν;
ΑΔ. Οὐκ ἐγγενῆ ξυνῆψα κηδείαν δόμοις.
ΘΗ. Ἀλλὰ ξένοις ἔδωκας Ἀργείας κόρας;
ΑΔ. Τυδεῖ τε Πολυνείκει τε τῷ Θηβαγενεῖ.
ΘΗ. Τίν' εἰς ἔρωτα τῆσδε κηδείας μολών;

---

ἀνωτέρω 32. 120. Κήρυξι] Ἑρμῆς μιγεὶς Πανδρόσῳ τοῦ Κέκροπος, ἐγέννησε τὸν Κήρυκα, ἀφ' οὗ τὸ τῶν Κηρύκων γένος ἐγένετο, ἢ ὅτι τὰς τῶν θεῶν

ΘΗ. Τί δήποτε βουλόμενος, πράττεις τοῦτο;
ΑΔ. Οἶσθα τὴν ἐμὴν δυςυχῆ ἐκςρατείαν;
ΘΠ. Πολλῇ γὰρ πομπῇ διῆλθες τὴν Ἑλλάδα.
ΑΔ. Ἐνταῦθ' ἀπώλεσα Ἀργείων τοὺς κρατίστους.
ΘΗ. Τοῦτο γὰρ ἔργον τοῦ τλήμονος πολέμου.
ΑΔ. Τούτους οὖν ἐλθὼν ἐξαιτοῦμαι τὴν πόλιν.
ΘΗ. Ἐπεκηρυκεύσω τοὺς νεκροὺς ἀνελέσθαι;
ΑΔ. Ἀλλ' οἱ κρατοῦντες οὐ συγχωροῦσι τοῦτο.
ΘΗ. Τί προτείνοντες, δίκαιά σου αἰτοῦντος;
ΑΔ. Οὐκ ἔχοντες μετρίως τῇ τύχῃ χρῆσθαι.
ΘΗ. Οὐκοῦν συμβουλῆς, ἢ τί ποτέ μου δέῃ;
ΑΔ. Ἀργείων τοὺς νεκροὺς κομίσαι σε ἐνταῦθα.
ΘΗ. Τὸ δ' Ἄργος ποῦ; ἢ κόμπος ἦν ἡ φήμη;
ΑΔ. Σφαλέντες αἰτούμεθα τὴν σὴν ἐπικουρίαν.
ΘΗ. Ἰδίᾳ δὲ μόνος, ἢ δόξαν καὶ τῇ πόλει τοῦτο;
ΑΔ. Πάντες δέονταί σου τοὺς νεκροὺς ἀνελέσθαι.
ΘΗ. Τί δήποθ' ὡρμήθης ςρατεῦσαι ἐπὶ Θήβας;
ΑΔ. Γαμβροῖς ταῖς ἐμοῖς τήνδε τὴν χάριν φέρων.
ΘΗ. Τίσι τῶν Ἀργείων ἐξέδωκας τὰς κόρας;
ΑΔ. Οὐκ ἐγχωρίοις συνήρμοσα τὸν γάμον.
ΘΗ. Τί δέ; ξένοις γε συνῆψας τὰς παρθένους;
ΑΔ. Τὴν μὲν τῷ Τυδεῖ, τὴν δὲ τῷ Πολυνείκει.
ΘΗ. Τί δὴ τούτους προείλου τῶν ἐγχωρίων;

---

ἀγγέλουσιν ἑορτάς, ἢ ὅτι ἀπὸ τοῦ Ἑρμοῦ εἰσίν, κήρυκος ὄντος τοῦ Διός.

ΑΔ. Φοίβου μ' ὑπῆλθε δυστόπαστ' αἰνίγματα.
ΘΗ. Τί δ' εἶπ' Ἀπόλλων, παρθένοις κραίνων γάμον;
ΑΔ. Κάπρῳ μὲ δοῦναι καὶ λέοντι παῖδ' ἐμώ.
ΘΗ. Σὺ δ' ἐξελίσσεις πῶς θεοῦ θεσπίσματα;
ΑΔ. Ἐλθόντε φυγάδε νυκτὸς εἰς ἐμὰς πύλας —
ΘΗ. Τίς καὶ τίς, εἰπέ· δύο γὰρ ἐξαυδᾷς ἅμα.
ΑΔ. Τυδεὺς μάχην ξυνῆψε Πολυνείκης θ' ἅμα.
ΘΗ. Ἦ τοῖσδ' ἔδωκας, θηρσὶν ὡς, κόρας σέθεν;
ΑΔ. Μάχην γε δισσοῖν κνωδάλοιν ἀπεικάσας.
ΘΗ. Ἦλθον δὲ δὴ πῶς, πατρίδος ἐκλιπόνθ' ὅρους;
ΑΔ Τυδεὺς μὲν, αἷμα συγγενὲς φεύγων χθονός.
ΘΗ. Ὁ δ' Οἰδίπου τίνι τρόπῳ Θήβας λιπών;
ΑΔ. Ἀραῖς πατρῴαις, μὴ κασίγνητον κτάνῃ·
ΘΗ· Σοφὴν γ' ἔλεξας τὴν γ' ἑκούσιον φυγήν.
ΑΔ. Ἀλλ' οἱ μένοντες τοὺς ἀπόντας ἠδίκουν.
ΘΗ. Ἤπου σφ' ἀδελφὸς χρημάτων νοσφίζεται;
ΑΔ' Ταῦτ' ἐκδικάζων ἦλθον, εἶτ' ἀπωλόμην.
ΘΗ. Μάντεις δ' ἐπῆλθες, ἐμπύρων τ' εἶδες φλόγα;
ΑΔ. Οἴ μοι! διώκεις μ', ᾗ μάλιστ' ἐγὼ 'σφάλην.
ΘΗ. Οὐκ ἦλθες, ὡς ἔοικεν εὐνοίᾳ θεῶν.
ΑΔ. Τί δὲ πλέον; ἦλθον Ἀμφιάρεώ γε πρὸς βίαν.
ΘΗ. Οὕτω τὸ θεῖον ῥᾳδίως σ' ἀπεστράφη.

---

137. Δυσόπαστα αἰνίγματα] ἔπελθε τὰ ἐν ταῖς Φοινίσσαις στίχ. 420. καὶ ἑξῆς. ὁ δὲ Τυδεὺς φόνον ἔφυγεν ἀδελφοῦ· ἰδὼν γὰρ τὸν ἑαυτοῦ πατέρα Οἰνέα ἐκβαλλόμεννον διὰ γῆρας τῆς ἀρχῆς ὑπὸ τῶν παίδων τοῦ Ἀγρίου, ἀναιρεῖ αὐτοὺς ἀνεψιοὺς ὄντας, καὶ σὺν αὐτοῖς ἄκων τον ἑαυτοῦ ἐδελφὸν Μενάλισσον φυγὼν δὲ παρ' Ἄδραστον εἰς τὸ Ἄργος καθαρσίων τυγχάνει, καὶ τὴν αὐτοῦ γαμεῖ θυγατέρα Διϊπύλην· ἦν δὲ ὁ μὲν Τυδεὺς ἐνδεδυμένος δορὰν συός· Πο-

ΑΔ. Λοξὸν Λοξίου αἴνιγμ' ὑπέκλεψέ με.
ΘΗ. Τί δ' εἰπὼν ἐκεῖνος, συνήνεσε τὸν γάμον;
ΑΔ. Λέοντι καὶ Κάπρῳ συζεῦξαι τὰς παρθένους.
ΘΗ. Πόθεν οὖν συνῆκας τὸ λόγιον τοῦ Φοίβου;
ΑΔ. Εἰσδύντες νύκτωρ εἰς τὴν ἐμὴν οἰκίαν.
ΘΗ. Τίνες οὗτοι, λέγε σαφῶς τοὺς ἄνδρας;
ΑΔ. Τυδεὺς καὶ Πολυνείκης, συνῆλθον ἅμ' εἰς χεῖρας.
ΘΗ. Ὡς θηρσὶν ἄρα τούτοις ἔζευξας τὰς παρθένους.
ΑΔ. Ἐκ τῆς τούτων μάχης, τὸ αἴνιγμ' ἀπεικάσας.
ΘΗ. Πῶς δ' ἦλθον ὧδε λιπόντες τὰς πατρίδας;
ΑΔ. Τυδεὺς μὲν, ὡς δοκεῖ, συγγενῆ φόνον φεύγων.
ΘΗ. Ὁ δὲ Πολυνείκης τίνα αἰτίαν ἔχων;
ΑΔ. Πατρὸς ἀρὰς, μὴ κτείνῃ Ἐτεοκλέα.
ΘΗ. Οὐκοῦν φρονίμως ἀπέστη τῆς πατρίδος.
ΑΔ. Ἀλλ' οἱ μένοντες ἠδίκουν τὸν ἀπόντα.
ΘΗ. Μῶν ὁ ἀδελφὸς αὐτὸν ἀποστερεῖ τοῦ κλήρου;
ΑΔ. Τούτου δικαστὴς ἐλθὼν, ἐγὼ ἐξαπωλόμην.
ΘΗ. Μαντείαις δ' οὐκ ἐχρήσω, οὐδὲ φλογὶ ἐμπύρων;
ΑΔ. Οἴμοι· σύ γε μοι προφέρεις, ᾧ μάλιστα ἐσφάλην.
ΘΗ. Ἄνευ δὲ θεῶν, ὡς ἔοικεν ἐμάχου.
ΑΔ. Ἀμφιάρεων δὲ καὶ βίᾳ ἐπηγόμην.
ΘΗ. Ἐκ δὴ τούτου δοκεῖ τὸ θεῖόν σε μισῆσαι.

---

λυνείκης δὲ, Λέοντος· κἀντεῦθεν συνέβαλεν Ἄδραστος τὸν χρησμόν· ὃς ἦν, κάπρῳ καὶ λέοντι συζεῦξαι τὰς θυγατέρας. 149. Ἀραῖς] ἴδε Φοιν. στίχ. 67. 154. Ἐμπύρων φλόλα] ἴδε Φοιν. 1261. 157. Πλέον] Ἀμφιάρεως μάντις ὢν, προεῖδεν ἧτταν αὐτοῖς ἐκστρατεύσασιν ἐσομένην· καὶ ἐπειρᾶτο κωλύειν· ὡς δὲ οὐκ ἔπειθεν, ἐκρύβη· ἀλλ' ἡ Ἐριφύλη λαβοῦσα ὅρμον παρὰ Πολυνείκους, προὔδωκεν αὐτόν· διὸ λέγει, οὐ μόνον οὐχ εὐνοίᾳ ἦλθον θεῶν· ἀλλ' Ἀμφιά-

ΑΔ. Νέων γὰρ ἀνδρῶν θόρυβος ἐξέπληξέ με.
ΘΗ. Εὐψυχίαν ἔσπευσας ἀντ' εὐβουλίας.
Ὃ δή γε πολλοὺς ὤλεσε στρατηλάτας.
ΑΔ. Ἀλλ' ὦ καθ' Ἑλλάδ' ἀλκιμώτατον κάρα,
Ἄναξ Ἀθηνῶν, ἐν μὲν αἰσχύναις ἔχω
Πιτνῶν πρὸς οὖδας γόνυ σὸν ἀμπίσχειν χερὶ,
Πολιὸς ἀνὴρ τύραννος εὐδαίμων πάρος·
Ὅμως δ' ἀνάγκη συμφοραῖς εἴκειν ἐμαῖς.
Σῶσον νεκρούς μοι, τἀμά τ' οἰκτείρας κακὰ,
Καὶ τῶν θανόντων τάσδε μητέρας τέκνων,
Αἷς γῆρας ἥκει πολιὸν εἰς ἀπαιδείαν,
Ἐλθεῖν δ' ἔτλησαν δεῦρο, καὶ ξένον πόδα
Θεῖναι, μόλις γεραιὰ κινοῦσαι μέλη,
Πρεσβεύματ' οὐ Δήμητρος ἐς μυστήρια,
Ἀλλ' ὡς νεκροὺς θάψωσιν, ὧν αὐτὰς ἐχρῆν
Κείνων ταφείσας χερσὶν ὡραίων τυχεῖν.
Σοφὸν δὲ, πενίαν τ' εἰσορᾷν τὸν ὄλβιον,
Πένητά τ' ἐς τοὺς πλουσίους ἀποβλέπειν,
Ζηλοῦνθ', ἵν' αὐτὸν χρημάτων ἔρως ἔχῃ,
Τά τ' οἰκτρὰ, τοὺς μὴ δυςυχεῖς δεδοικέναι·
Τὸν θ' ὑμνοποιὸν, αὐτὸς ἃ 'ν τίκτῃ μέλη,
Χαίροντα τίκτειν· ἢν δὲ μὴ πάσχῃ τόδε,
Οὔτοι δύναιτ' ἂν, οἴκοθέν γ' ἀτώμενος,
Τρέπειν ἂν ἄλλους· οὐδὲ γὰρ δίκην ἔχει.
Τάχ' οὖν ἂν εἴποις, Πελοπείαν παρεὶς χθόνα

ρεων κωλύοντα καὶ πρεσβιάσας συνεπηγαγόμην. 179. Τὸν θ' ὑμνοποιὸν] μέμφονταί τινες τὸν ποιητὴν ἐνταῦθα, παρὰ τὸ προσῆκον καὶ ὡς ἀκαίρως ταῦτα

ΑΔ. Νέοι γὰρ ἄνδρες ἐπῆράν με εἰς τοῦτο.

ΘΗ. Καὶ σὺ ἀντ' εὐβουλίας προείλου τὴν ἀνδρίαν.

ΑΔ. Τοῦτο γὰρ πολλοὺς ἔσφηλεν ἡγεμόνας· Σὺ δ' οὖν, ὦ κράτιστε ἁπάντων Ἑλλήνων, εὐκλεέστατε βασιλεῦ Ἀθηνῶν, ἴσθι με αἰσχυνόμενον μὲν προσπεσόντα, τῶν σῶν ἅψασθαι γονάτων, πολιὸν ἤδη γεγενημένον, καὶ πρώην οὐ μέσως εὐδαίμονα Τύραννον· ἀλλ' ὅμως πολλὴν ἐμαυτῷ ὁρῶ ἀνάγκην ἐνοῦσαν δεῖσθαί σου· δός μοι κομίσας τοὺς ταλαιπώρους τῷ ταλαιπώρῳ νεκρούς, τάς τ' ἐμὰς δυστυχίας οἰκτείρων, καὶ τὰς μητέρας ἐκείνων ἐλεῶν ταυτασί· αἷς ἤδη ἐπιβρίθον τὸ γῆρας, προσαφεῖλε καὶ τὰς ἐλπίδας· καὶ νῦν δεῦρο ἦλθον ξέναι ἐπὶ ξένης, μόλις κινῆσαι τὰ μέλη δυνάμεναι, οὐχ ὡς θεωροὶ πεμφθεῖσαι παρὰ τῆς πόλεως εἰς τὰ μυστήρια τῆς θεοῦ, ἀλλὰ τοὺς τῶν παίδων θάψουσαι νεκρούς, ὑφ' ὧν ὡς παρὰ νεωτέρων ὤφειλον αὐταὶ ἐν τῷ γήρᾳ ταφεῖσαι, τυχεῖν τῶν νομιζομένων· σοφὸν οὖν τούς τε πλουτοῦντας ἀφορᾷν ἐς τοὺς ἀπόρους, τὴν τῆς τύχης πολύτροπον ὑφορωμένους μεταβολήν, τούς τε πενομένους αὖ ἀποβλέπειν ἐς τοὺς πλουσίους, ὅπως ἂν ζήλῳ καὶ αὐτοὶ γένοιντό ποτε πλούσιοι· καὶ τὸν ὑμνοποιόν, ἃ ἂν ποιῇ μέλη, χαίροντα ποιεῖν· εἰ δὲ μή, οὐκ ἂν ἄλλους κηλήσειε τῷ μέλει, αὐτὸς οἴκοθεν ἀνιώμενος, οὐδέ γε δίκαιον τοῦτο· Ἀλλ' εἴποις ἂν αὐτός, πῶς ἀποστὰς τὴν τοῦ Πέ-

---

εἰσάγοντα πρὸς ἴδιον ὄφελος· ὡς καὶ Πλούταρχος ἐν τῷ περὶ ἑαυτὸν ἐπαινεῖν· Εὐριπίδης, φησί, φορτικωτάτῃ κέχρηται μεγαλαυχίᾳ, καὶ τῷ συμπλέκειν τοῖς τραγῳδουμένοις πάθεσι καὶ πράγμασι μηδὲν προσήκοντα τὸν περὶ ἑαυτοῦ

Πῶς ταῖς Ἀθήναις τόνδε προστάσσεις πόνον;
Ἐγὼ δίκαιός εἰμ' ἀφηγεῖσθαι τάδε.
Σπάρτη μὲν ὠμὴ καὶ πεποίκιλται τρόπους.
Τὰ δ' ἄλλα μικρὰ κἀσθενῆ· πόλις δὲ σὴ
Μόνη δύναιτ' ἂν τόνδ' ὑποστῆναι πόνον·
Τά τ' οἰκτρὰ γὰρ δέδορκε, καὶ νεανίαν
Ἔχει σὲ ποιμέν' ἐσθλόν· οὗ χρείᾳ πόλεις
Πολλαὶ διώλοντ' ἐνδεεῖς στρατηλάτου.

ΧΟ. Κἀγὼ τὸν αὐτὸν τῷδέ σοι λόγον λέγω,
Θησεῦ, δι' οἴκτου τὰς ἐμὰς λαβεῖν τύχας.

ΘΗ. Ἄλλοισι δὴ 'πόνησ' ἁμιλληθεὶς λόγῳ
Τοιῷδ'. ἔλεξε γάρ τις, ὡς τὰ χείρονα
Πλείω βροτοῖσίν ἐστι τῶν ἀμεινόνων.
Ἐγὼ δὲ τούτοις ἀντίαν γνώμην ἔχω,
Πλείω τὰ χρηστὰ τῶν κακῶν εἶναι βροτοῖς.
Εἰ μὴ γὰρ ἦν τόδ', οὐκ ἂν ἦμεν ἐν φάει.
Αἰνῶ δ', ὃς ἡμῖν βίοτον ἐκ πεφυρμένου
Καὶ θηριώδους θεῶν διεσταθμήσατο.
Πρῶτον μὲν ἐνθεὶς σύνεσιν, εἶτα δ' ἄγγελον
Γλῶσσαν λόγων δούς, ὥςε γιγνώσκειν ὄπα,
Τροφήν τε καρποῦ, τῇ τροφῇ τ' ἀπ' οὐρανοῦ
Σταγόνας ὑδρηλάς, ὡς τά τ' ἐκ γαίας τρέφῃ,
Ἄρδῃ τε νηδύν· πρὸς δὲ τοῖσι χείματος
Προβλήματ', αἶθόν τ' ἐξαμύνασθαι θεοῦ,
Πόντου τε ναυστολήμαθ', ὡς διαλλαγὰς
Ἔχοιμεν ἀλλήλοισιν, ὧν πένοιτο γῆ.
Ἃ δ' ἔς' ἄσημα, κοὺ σαφῶς γιγνώσκομεν,

ἔπαινον. 200 Ἐκ πεφυρμένου] τοῦτο ἐξηγεῖται ἑπομένως διὰ τοῦ θηριώδους. οἱ

λοπος, ταῦτ' Ἀθηναίων δέῃ; ἐγώ σοι τοῦτ' ἐξηγήσομαι· ἡ μὲν Σπάρτη, ἧς λόγος τίς ἐςιν ἐν ὅπλοις, ἄτεγκτος οὖσα, πανούργους τρόπους τρέφει· τὰ δ' ἄλλα τῆς Πελοποννήσου ἀσθενῆ καὶ φαῦλά ἐςι· μόνης δὲ τῆς σῆς πόλεως τόνδε τὸν ἀγῶνα ἔγωγ' ἄξιον οἶδα· τάτε γὰρ ἄλλα οἴκτῳ προςατεῖ τῶν γε κακῶς πασχόντων, καὶ δὴ καὶ ςρατηγῷ σοι ἀρίςῳ ἀγάλλεται· οἵου ἀποροῦσαι αἱ πόλεις, περιπίπτουσιν συμφοραῖς.

ΧΟ. Θησεῦ, ταὐτὰ κἀγὼ τούτῳ δέομαί σου· οἴκτειρον ἡμᾶς, ἐς τοῦτ' ἐλάσαντας δυςυχίας.

ΘΗ. Πολλοῖς πολλάκις λέγουσι τὰ χείρω πλείω εἶναι ἐν τῷ βίῳ τῶν βελτιόνων εἰς ἅμιλλαν ἦλθον λόγων· ἔμοιγε γὰρ τοὐναντίον δοκεῖ, τὰ χρηςὰ πολλῷ ὑπερβάλλειν τὴν χείρω μοῖραν· ἄλλως γὰρ οὐκ ἂν ἦν ἡμῖν βίος· σέβω δὲ μάλιστα θεῶν, ὃς ἡμῖν τὸν βίον θηριώδη τὴν ἀρχὴν ὄντα, διεκόσμησεν οὕτω, σύνεσιν ἡμῖν ἐνθεὶς, καὶ γλῶσσαν δοὺς, ὥστε τὸν εὐδιάθετον λόγον ἐξαγγέλλειν τοῖς ἄλλοις, καὶ ἀλλήλων ξυνιέναι· καρπούςτε εἰς τροφὴν, καὶ τούτοις ὑετὸν οὐρανόθεν καταπέμπων, τάτ' ἐκ γῆς φυόμενα τρέφοντα πάντα, καὶ ἡμῖν εἰς πόσιν γενόμενον χρήσιμον· πρὸς δὲ τούτοις ἱμάτια παρασχὼν πρός τε τὸ τὴν ἀπὸ τοῦ χειμῶνος ἐπήρειαν ἀποκλίνειν· καὶ τῆς τοῦ ἡλίου ἀλέας ἀπαλέξησιν ἔχειν· ἐμπορίαν τε κατὰ γῆν, κατά τε θάλασσαν ναυτιλίαν, ἵν' ὧν ἂν δεώμεθα, ἐκ συναλλαγμάτων ἡμῖν αὐτοῖς πληρῶμεν τὴν χρείαν· χωρὶς δὲ τούτων καὶ ὧν ἀσάφεια πολλὴ ἔσθ' ἡμῖν ἐν τῷ μέλλοντι, καὶ

Ἐς πῦρ βλέποντες καὶ κατὰ σπλάγχνων πτύχας,
Μάντεις προσημαίνουσιν, οἰωνῶν τ' ἄπο
Ἆρ' οὐ τρυφῶμεν, θεοῦ κατασκευὴν βίῳ
Δόντος τοιαύτην, οἷσιν οὐκ ἀρκεῖ τάδε;
Ἀλλ' ἡ φρόνησις τοῦ θεοῦ μεῖζον σθένειν
Ζητεῖ, τὸ γαῦρον δὲ ἐν φρεσὶν κεκτημένοι;
Δοκοῦμεν εἶναι δαιμόνων σοφώτεροι.
Ἧς καὶ σὺ φαίνῃ δεκάδος. οὐ σοφὸς γεγώς·
Ὅςτις κόρας μὲν, θεσφάτοις Φοίβου ζυγεὶς,
Ξένοισιν ὧδ' ἔδωκας, ὡς ζώντων θεῶν,
Λαμπρὸν δὲ θολερῷ δῶμα συμμίξας τὸ σὸν,
Ἥλκωσας οἴκους· χρῆν γὰρ οὔτε σώματα
Ἄδικα δικαίοις τὸν σοφὸν συμμιγνύναι,
Εὐδαιμονοῦντας δ' ἐς δόμους κτᾶσθαι φίλους.
Κοινὰς γὰρ ὁ θεὸς τὰς τύχας ἡγούμενος,
Τοῖς τοῦ νοσοῦντος πήμασιν διώλεσεν
Τὸν συννοσοῦντα, κοὐδὲν ἠδικηκότα.
Ἐς δὲ στρατείαν πάντας Ἀργείους ἄγων,
Μάντεων λεγόντων θέσφατ', εἶτ' ἀτιμάσας,
Βίᾳ παρελθὼν θεοὺς, ἀπώλεσας πόλιν,
Νέοις παραχθεὶς, οἵτινες τιμώμενοι
Χαίρουσι, πολέμους τ' αὐξάνουσ' ἄνευ δίκης,
Φθείροντες ἀστοὺς, ὁ μὲν, ὅπως στρατηλατῇ,

---

γὰρ ἄνθρωποι τὸ παλαίτατον, ἄνθρωποι ὄντες, θηρίων βίον ἔζων. 216. Ἐν φρεσὶ] ἐν ἄλλοις δὲ κεῖται ἐν χερσίν· 218· Δεκάδος] τάξις στρατιωτῶν ἡ δεκάς. ἐξ ἧς καὶ δεκαδάρχης. ἐνταῦθα τοίνυν εἴληπται ἀντὶ τοῦ τάξις 220. Ὡς ζώντων θεῶν] ὡς ὄντων, ὡς λώντων, ὡς δόντων, ἄλλως ἄλλοι τὸ χωρίον

ταῦτ' ἐν ἐμπύροις καὶ σπλάγχνοις καὶ οἰωνοῖς ἡ τέχνη μαντικὴ προσημαίνει. Οὕτω τοίνυν τοῦ θεοῦ ἡμῖν τὸν βίον προκατασκευάσαντος, πῶς οὐκ ἂν οἱ μὴ τούτοις γ' ἀρκούμενοι, ἐξυβρίζοιμεν; ἀλλ ἡμεῖς γε μάταιοι ὄντες, καὶ πολλῇ ἐπηρμένοι ἀλαζονείᾳ, σπεύδομεν καὶ αὐτοῦ τοῦ θεοῦ μεῖζον δύνασθαι, σοφώτεροι ἐκείνου οἰόμενοι εἶναι· οἷς καὶ αὐτὸς δοκεῖς ἐναρίθμιος εἶναι· ὃς τὰς σαυτοῦ θυγατέρας, τοῖς τοῦ Φοίβου θεοπροπίοις πεισθεὶς, ἐξέδωκας ξένοις· καὶ θεοβλαβὲς γένος εἰς οἶκον ἁγνὸν συνεισαγαγὼν οὐ καλῶς, τῆς ἐκείνου τύχης αὐτὸν ἀνέπλησας· οὐ γὰρ ἐχρῆν σώματα σώμασιν, ἄδικα δικαίοις τὸν φρόνιμον συνεμπλῆσαι, ἀλλ' εὐτυχοῦντας καὶ θεοφιλεῖς κτᾶσθαι πρὸς ἀσφάλειαν φίλους· ὁ γὰρ θεὸς κοινὴν τὴν τῶν οὕτω χρωμένων ἀλλήλοις τὴν τύχην ἡγούμενος, ταῖς τοῦ ἐναγοῦς συμφοραῖς συναπόλλυσι πολλάκις καὶ τὸν εὐαγῆ, καὶ μηδὲν ἠδικηκότα· αὐτίκα γὰρ αὐτὸς, ἀπαγαγὼν τοὺς Ἀργείους ἐπ' ἐκστρατείαν βίᾳ θεῶν, ὡς τὰ τῶν μάντεων θεσπίσματα παραβὰς, ἀπώλεσας τὴν πόλιν, ὑπαχθεὶς ὑπὸ νεωτέρων· οἳ τιμῶν ἐφιέμενοι, ἐπιῤῥώννωνται ἀεὶ πρὸς τὸν πόλεμον, κἂν ἄδικος οὗτος ᾖ, φθείροντες τοὺς πολίτας, ἴδια θηρώ-

---

ἐπειράθησαν διορθοῦν ἀπιθάνως· τὸ δὲ, ὡς δόντων τοῦτο τῶν θεῶν, ὁ ποσδήποτε ἐννοεῖ τι. 224. Δόμους] φόβους ἐν ἄλλοις κεῖται. 227. Τὸν οὐ νοσοῦντα] ἐν ἄλλοις, τὸν συννοσοῦντα καὶ τοῦτ' ἐδεξάμην μᾶλλον· δηλοῖ δὲ τὸν χρώμενον τῷ νοσοῦντι· 229· Μάντεων λεγόντων] συναπτέον ἂν εἴη πρὸς τοῦτο τὰ θέσφατα, ἵν' ᾖ καίτοι οἱ μάντεις ἀπηγόρευον, σὺ καταφρονήσας. ἴδε ἀνωτέρω ςίχ. 157

Ὁ δ', ὡς ὑβρίζῃ, δύναμιν ἐς χεῖρας λαβών,
Ἄλλος δὲ κέρδους οὕνεκ', οὐκ ἀποσκοπῶν
Τὸ πλῆθος, εἴ τι βλάπτεται πάσχον τάδε.
Τρεῖς γὰρ πολιτῶν μερίδες· οἱ μὲν ὄλβιοι
Ἀνωφελεῖς τε, πλειόνων τ' ἐρῶσ' ἀεί·
Οἱ δ' οὐκ ἔχοντες καὶ σπανίζοντες βίου,
Δεινοὶ, νέμοντες τῷ φθόνῳ πλεῖον μέρος,
Ἐς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσιν κακὰ,
Γλώσσαις πονηρῶν προστατῶν φηλούμενοι.
Τριῶν δὲ μοιρῶν ἡ 'ν μέσῳ σώζει πόλεις,
Κόσμον φυλάσσουσ', ὅντιν' ἂν τάξῃ πόλις.
Κᾄπειτ' ἐγώ σοι ξύμμαχος γενήσομαι;
Τί πρὸς πολίτας τοὺς ἐμοὺς λέγων καλόν;
Χαίρων ἴθι δή· μὴ γὰρ βεβούλευσαι καλῶς
Αὐτὸς, πιέζειν τὴν τύχην ἡμᾶς λίαν.
ΧΟ. Ἥμαρτεν· ἐν νέοισι δ' ἀνθρώπων τόδε
Ἔνεστι· συγγνώμην δὲ τῷδ' ἔχειν χρεών.
ΑΔ. Ἀλλ' ὡς ἰατρὸν τῶνδ', ἄναξ, ἀφίγμεθα.
Οὔτοι δικαστήν σ' εἱλόμην ἐμῶν κακῶν,
Οὐδ', εἴ τι πράξας μὴ καλῶς εὑρίσκομαι,
Τούτων κολαστὴν κᾀπιτιμητὴν, ἄναξ,
Ἀλλ' ὡς ὀναίμην· εἰ δὲ μὴ βούλει τάδε,
Στέργειν ἀνάγκη τοῖσι σοῖς· τί γὰρ πάθω;
Ἄγ', ὦ γεραιαὶ, στείχετε, γλαυκὴν χλόην

247. Μὴ γὰρ βεβούλευσαι] οὐ γὰρ καλῶς ἐβουλεύσω, ὥστε με ἐκβιάσασθαι τὴν σὴν τύχην. ἔστιν οὖν οὐ σαφῆ ταῦτα· διορθοῖ δέ τις οὕτως·
» Χαίρων ἴθ' οὐδ' ει μὴ βεβούλευσαι καλῶς
» Αὐτος, πιέζειν τὴν τύχην ἔμ' ἀξίου.

μετοι κέρδη, ὁ μὲν ἐπιθυμῶν γενέσθαι στρατηγός· ὁ δὲ, πρὸς ὕϐριν κατωφερὴς, ἐν δυνάμει γενόμενος· ἄλλος δ' αὖ ἄλλο τὶ κατανόημα ἔχων πρὸς κέρδος, μηδεμίαν φροντίδα ποιούμενος, εἴτις τῶν πολλῶν βλάπτοιτο· τρεῖς γὰρ τάξεις ἴσμεν ἐνούσας ταῖς πόλεσι, τῶν πλουσίων, τῶν πενήτων, καὶ τῶν μέσων ἀμφοῖν· τούτων δὴ οἱ μὲν πλούσιοι πρὸς τῷ ἀνωφελεῖς εἶναι, καὶ τῇ τοῦ πλείονος ἀεὶ ἐπιθυμίᾳ προσεπιφλέγονται· οἱ δ' ἄποροι αὖθις σκληροὶ ὄντες, καὶ φθόνῳ τηκόμενοι, ἐπιϐουλεύουσι τοῖς εὐπόροις, ὑπὸ πονηρῶν δημαγωγῶν παραγόμενοι· ἔστι τοίνυν μόνη ἡ μέση μοῖρα ἡ τὰς πόλεις τοῖς καθεστῶσι νόμοις σώζουσα καὶ κοσμοῦσα· Τούτων οὖν οὕτως ἐχόντων, πῶς ἂν ἔγωγε ξύμμαχός σου γενοίμην; ποίᾳ γὰρ λόγων εὐπρεπείᾳ χρήσομαι πρὸς ἐλευθέρους πολίτας, πρὸς ταῦθ' ὑπάγων; ἴθι χαίρων, ὦ ἄνθρωπε· κακῶς γὰρ αὐτὸς βουλευσάμενος, μὴ ἀξίου καὶ ἡμᾶς συνεξαμαρτάνειν, τὴν τύχην παραϐιαζομένους.

ΧΟ. Σύγγνωθι, Θησεῦ, αὐτῷ ἡμαρτηκότι· ἕπεται γὰρ τοῖς γε νέοις τῶν ἀνθρώπων τὸ σφάλλεσθαι.

ΑΔ. Οὔτε δικαστήν σε, ὦ βασιλεῦ, τῶν ἐμαυτοῦ ἑλόμενος συμφορῶν, ἀφικόμην, ἀλλ' ὅπως μοι ἰατρὸς τούτων εἴης· οὔτε μὴν, εἰ κακῶς πράξας ἔτυχον, κολαστήν σε γενέσθαι ἐπιτιμῶντα, ἀλλ' ὅπως ὄνησίς τις παρὰ σοῦ γένοιτό μοι· εἰ δὲ ἀποστρέφῃ τὴν ἐμὴν ἱκεσίαν, ἀνάγκη μένειν, ἐν οἷς ἄν σοι δόξῃ· τί γὰρ ἂν καὶ πάθοιμι; Ἄγεθ' ὑμεῖς, ὦ γεραιαὶ. ἀναχωρεῖτε ἐντεῦθεν, τοὺς

Αὐτοῦ λιποῦσαι φυλλάδος καταστεφῆ
Θεούς τε, καὶ γῆν, τήν τε πυρφόρον θεὰν
Δήμητρα θέμεναι μάρτυρ', ἡλίου τε φῶς,
Ὡς οὐδὲν ἡμῖν ἤρκεσαν λιταὶ θεῶν.

* * * *

Ὃς Πέλοπος ἦν παῖς, Πελοπίας δ' ἡμεῖς χθονὸς
Ταὐτὸν πατρῷον αἷμά σοι κεκτήμεθα.
Τί δρᾷς; προδώσεις ταῦτα, κἀκβαλεῖς χθονὸς
Γραῦς, οὐ τυχούσας οὐδὲν, ὧν αὐτὰς ἐχρῆν;
Μὴ δῆτ'· ἔχει γὰρ καταφυγὴν θὴρ μὲν πέτραν,
Δοῦλος δὲ βωμοὺς θεῶν, πόλις δὲ πρὸς πόλιν
Ἔπτηξε χειμασθεῖσα· τῶν γὰρ ἐν βροτοῖς
Οὐκ ἔστιν οὐδὲν διὰ τέλους εὐδαιμονοῦν.

ΧΟ. Βᾶθι, τάλαιν', ἱερῶν δαπέδων ἄπο Περσεφονείας
Βᾶθι, καὶ ἀντίασον, γονάτων ἔπι χεῖρα βαλοῦσα,
Τέκνων τεθνεώτων κομίσαι δέμας, (ὢ μελέα 'γώ!)
Οὓς ὑπὸ τείχεσι Καδμείοισιν ἀπώλεσα κούρους.
Ἰώ μοι! λάβετε, φέρετε, πέμπετ', ἀείρετε
Ταλαίνας χερὸς γεραιᾶς.
Πρός σε γενειάδος, ὦ φίλος, ὦ δοκιμώτατος Ἑλλάδι,
Ἄντομαι ἀμφιπιτνοῦσα τὸ σὸν γόνυ καὶ χέρα, δειλαία.
Οἴκτισαι ἀμφὶ τέκνων μ' ἱκέταν,
Ἤ τιν' ἀλάταν, οἰκτρὸν ἰήλεμον οἰκτρὸν ἱεῖσαν.

---

260. Καστοστροφῇ] ἀπορρίψει τῆς ἱκετηρίας· ἐν ἄλλοις δὲ κεῖται καταστεφῆ, ὅπερ κἀγὼ εἱλόμην· τόδε πυρφόρον πότερον σιτοφόρον, ἢ λαμπαδοῦχον; 262 Ὃς Πέλοπος] ἐνταῦθα σαφῶς χάσματι ἐστὶν ἐν τῷ λόγῳ· ὃ συναπτέον, εἰ δοκεῖ, τῷ στίχῳ ἐκείνῳ.

» Μνήσθητι δ' αὐτὸς ἐκφυεὶς τοῦ Πιτθέως.

274. Ἀείρετε] ἐν ἄλλοις δὲ κεῖται, κρίνετε ταλαίνας χέρας γεραιᾶς. γραπτέον

θαλλοὺς τούτους τῆς ἱκετηρίας, καὶ τὰ ςέμμαθ' ὧδε καραλιποῦσαι, θεούς τε αὐτοὺς, τήν τε λαμπαδοῦχον Δήμητραν, καὶ τὸ τοῦ ἡλίου φῶς ποιούμεναι μάρτυρας, ὡς αἱ τῶν θεῶν λιταὶ οὐδὲν ἡμῖν ἤρκεσαν [Μνήσθητι δ' αὐτὸς ἐκγεγὼς τοῦ Πιτθέως] ὅς Πέλοπος παῖς ὢν, τῷ αὐτῷ ἡμῖν ἐν τῇ τοῦ Πέλοπος κατοικοῦσι συνάπτεται συγγενείας δικαίῳ· τί οὖν; ἀνέξῃ σύγε προδοῦναι ταῦτα, γραῦς ταυτισὶ δυςυχεῖς ἀπράκτους οὕτω τῶν, ἐφ' ἃ ἀφίκοντο, παρωσάμενος; μὴ δῆτα σύγε, μὴ καταφρόνει οὕτω. καὶ γὰρ θηρία μὲν ἴσμεν κατεφεύγοντα ἐς τὰ ἄντρα, καὶ δούλους πρὸς τοὺς ναοὺς τῶν θεῶν. πόλις δὲ, ἐπειδὰν ποτέ τις κακῶς πράξῃ, πόθεν, ἢ παρ' ἑτέρας ἐλθοῦσα σωτηρίαν εὑρήσεται; οὐ γὰρ ἐς' οὐκ ἔσθ' ὅστις τῶν ἀνθρώπων ἐς τέλος εὐδαίμων ἔςαι.

ΧΟ. Ἴθι, ἴθι, τάλαινα, χώρει ἀπὸ τοῦ βωμοῦ τούτου τῆς Περσεφόνης· καὶ προσπεσοῦσα, ἅπτου τουτουὶ τῶν γονάτων, ταφῆς τυχεῖν τοὺς νεκροὺς δεομένη· οὓς ἡ δυςυχὴς ἐγὼ ἀπώλεσα ὑπὸ τῇ Καδμίᾳ· ἰώμοι μοι· λάβετε, φέρετε, πέμπετε ἀνατείνατέ μου τὰς χεῖρας πρὸς τοῦτον. Ὦ φίλος, ὦ ἄριστος πάντων Ἑλλήνων, πρὸς τῆς γενειάδος αὐτῆς, δέομαί σου καὶ ἱκετεύω, τοῖς σοῖς προσπίπτουσα γόνασι, καὶ τὴν χεῖρα ἐπιβάλλουσα τούτοις· οἴκτειρόν με περὶ τῶν παίδων ἱκέτιν γεγενημένην, ὥσπερ ἀλωμένην τινὰ, οἰκτροὺς ἐξ οἰκτρῶν ὀλοφυρμοὺς καὶ θρήνους προειμένην· μηδὲ τλῇς αὐτὸς

---

θ' ἂν εἴη γεραιὰν ἀντὶ τοῦ γεραιᾶς, ὡς κἀν τῇ Ἑκάβῃ, Ἄγετε, φέρετε, ἀείρατέ μου δέμας. εἰ μήτι δεῖ ἑρμηνεύειν μᾶλλον ὡδί. Ἀείρατέ με λαβόμενοι

Μηδ᾽ ἀτάφους, τέκνον, ἐν χθονὶ Κάδμου χάρματα θηρῶν
Παῖδας ἐν ἡλικίᾳ τᾷ σᾷ κατίδῃς, ἱκετεύω,
Βλέψον ἐμῶν βλεφάρων ἔπι δάκριον, ἃ περὶ σοῖσιν
Γούνασιν ὧδε πιτνῶ, τέκνοις τάφον ἐξανύσασθαι.
ΘΗ. Μῆτερ, τί κλάεις, λέπτ᾽ ἐπ᾽ ὀμμάτων φάρη
Βαλοῦσα τῶν σῶν; ἆρα δυστήνους γόους
Κλύουσα τῶνδε; κἀμὲ γὰρ διῆλθέ τι.
Ἔπαιρε λευκὸν κρᾶτα, μὴ δακρυῤῥόει,
Σεμναῖσι Δηοῦς ἐσχάραις παρημένη.
ΑΙ. Αἶ, αἶ!
ΘΗ. Τὰ τούτων οὐχὶ σοὶ στενακτέον.
ΑΙ. Ὦ τλήμονες γυναῖκες!
ΘΗ. Οὐ σὺ τῶνδ᾽ ἔφυς.
ΑΙ. Εἴπω τι, τέκνον, σοί τε καὶ πόλει καλόν;
ΘΗ. Ὡς πολλά γ᾽ ἐστὶ κἀπὸ θηλειῶν σοφά.
ΑΙ. Ἀλλ᾽ εἰς ὄκνον μοι μῦθος, ὃν κεύθω, φέρει.
ΘΗ. Αἰσχρόν γ᾽ ἔλεξας, χρήστ᾽ ἐπικρύπτειν φίλους.
ΑΙ. Οὔτοι σιωπῶσ᾽, εἶτα μέμψομαί ποτε
Τὴν νῦν σιωπὴν, ὡς ἐσιγήθη κακῶς,
Οὐδ᾽, ὡς ἀχρεῖον τὰς γυναῖκας εὖ λέγειν,
Δείσασ᾽ ἀφήσω τῷ φόβῳ τοὐμὸν καλόν.
Ἔγωγέ σ᾽, ὦ παῖ, πρῶτα μὲν τὰ τῶν θεῶν
Σκοπεῖν κελεύω, μὴ σφαλῇς ἀτιμάσας·
Σφαλῇ γὰρ ἐν τούτῳ μόνῳ, τἄλλ᾽ εὖ φρονῶν.

---

τῆς γεραιᾶς καὶ ταλαίνας χειρός. 282. Ἐπὶ δάκρυον] ἐπίβλεψον τὸ δάκρυον τῶν ἐμῶν βλεφάρων. 283. Μῆτερ] οὐχ ἡ μήτηρ εἶπε τἀνωτέρω· ἀλλ᾽ ἐν τῷ πλήθει καὶ αὐτὴ οὖσα, ἔκλαιε μεταξὺ τῶν μητέρων. 296. Ὡς ἐσιγήθη κακῶς

γε, ὦ τέκνον, ἀδιαφόρως ὁρᾷν νεκροὺς κειμένους ἀτάφους, χάρματα θηρῶν γενομένους ἐν τῇ σῇ ἡλικίᾳ· ἴδε τάμὰ ταῦτα δάκρυα, ἃ ἀπὸ γεραιῶν καὶ ῥυσῶν ὀφθαλμῶν τῶν σῶν τυγχάνω κατασπενδομένη γονάτων, ἱκετεύουσα καὶ προσλιπαροῦσα τὰ τῶν ἐμῶν παίδων σώματα ἀνελέσθαι.

ΘΗ. Μῆτερ, σὺ δὲ τί ποθ' οὕτω κλαίεις καλυψαμένη; ἆρ' ἐφ' οἷς αἱ δυστυχεῖς αὗται τὰ ἑαυτῶν ὀλοφύρονται πάθη; κἀμὲ γὰρ οὐ σμικρὸς ὑπέδραμον οἶκτος· ἔπαρον τὴν φίλην μοι ταύτην πολιὰν κεφαλὴν, μηκέτι κλαῖε ὧδε παρὰ τῷ βωμῷ τῆς θεοῦ καθημένη.

ΑΙ. Αἶ, αἶ.

ΘΗ. Τὰ γὰρ τούτων οὐ προσήκει σοι στενάζειν.

ΑΙ. Ὦ τλήμονες μητέρες τέκνων.

ΘΗ. Σὺ δ', ὦ μῆτερ, μακρὰν ἀπέχεις τούτων.

ΑΙ. Ἀλλ' εἴπω τὶ, ὃ σοί τε καὶ τῇ πόλει δόξαν φέρει;

ΘΗ. Πῶς γὰρ οὔ; καὶ τὸ θῆλυ γὰρ πολλάκις σοφὰ λέγει.

ΑΙ. Ἀλλ' ὄκνος μ' ἔχει σαφῶς εἰπεῖν σοι τοῦτο.

ΘΗ. Οὐ καλὸν χρηστὰ τοὺς φίλους ἐπικρύπτειν.

ΑΙ. Οὐ γὰρ ἂν βουλοίμην ἑκοῦσα μέμψασθαι ἔπειτ' ἐμαυτὴν τῆς σιωπῆς· οὐδ' ὡς μὴ προσῆκον γυναικὶ παῤῥησίᾳ πρὸς λόγους χρῆσθαι, τοῦτο ἀναμετροῦσα, ἀφέξομαι λέγειν, ὃ ἔχω καλόν. Σύντεινόν μοι τοίνυν, ὦ παῖ, τὸ οὖς· ἐγὼ μὲν γὰρ βουλοίμην ἄν σε πρῶτον, σκοπεῖν, μὲν ὅπως οὐ σφαλῇ, παρωσάμενος τὴν τούτων ἐν θεοῖς ἱκεσίαν· τὰ γὰρ ἄλλ' εὖ φρονῶν περὶ τὸ θεῖον, ἐν τούτῳ

εἰ γὰρ σιγήσω, φησὶ, μέμψομαι ἔπειτ' ἐμαυτὴν, ὡς κακῶς ποιήσασαν·

Πρὸς τοῖςδε δ', εἰ μὲν μὴ 'δικουμένοις ἐχρῆν
Τολμηρὸν εἶναι, κάρτ' ἂν εἶχον ἡσύχως·
Νυνὶ δὲ σοί τε τοῦτο τὴν τιμὴν φέρει,
Κἀμοὶ παραινεῖν οὐ φόβον φέρει, τέκνον,
Ἄνδρας βιαίους καὶ κατείργοντας νεκροὺς
Τάφου τε μοίρας καὶ κτερισμάτων λαχεῖν,
Ἐς τήνδ' ἀνάγκην σῇ καταστῆσαι χερὶ,
Νομιμά τε πάσης συγχέοντας Ἑλλάδος
Παῦσαι· τὸ γάρ τοι συνέχον ἀνθρώπων πόλεις
Τοῦτ' ἔσθ', ὅταν τις τοὺς νόμους σώζῃ καλῶς.
Ἐρεῖ δὲ δή τις, ὡς ἀνανδρίᾳ χερῶν,
Πόλει παρόν σοι στέφανον εὐκλείας λαβεῖν,
Δείσας ἀπέστης, καὶ συὸς μὲν ἀγρίου
Ἀγῶνος ἥψω, φαῦλον ἀθλήσας πόνον,
Οὗ δ' ἐς κράνος βλέψαντα καὶ λόγχης ἀκμὴν
Χρῆν ἐκπονῆσαι, δειλὸς ὢν ἐφευρέθης·
Μὴ δῆτ', ἐμός γ' ὢν, ὦ τέκνον, δράσῃς τάδε.
Ὁρᾷς, ἄβουλος ὡς, κεκερτομημένη
Τοῖς κερτομοῦσι, γοργὸν ὡς ἀναβλέπει
Σὴ πατρίς; ἐν γὰρ τοῖς πόνοισιν αὔξεται.
Αἱ δ' ἥσυχοι σκοτεινὰ πράσσουσαι πόλεις,
Σκοτεινὰ καὶ βλέπουσιν, εὐλαβούμεναι.
Οὐκ εἶ νεκροῖσι καὶ γυναιξὶν ἀθλίαις
Προσωφελήσων, ὦ τέκνον, κεχρημέναις;

---

ὠκοῦν ἐρῶ. 308. καταστῆσαι] οὕτως ἄμεινον ἀντὶ τοῦ καταστῆναι, ἐνεργητικῶς κατὰ τὸ παῦσαι ἑπομένως. 314. Συὸς μὲν ἀγρίου] οὐ φαῦλον θηρίον ἦν ἡ

μόνον δοκεῖς ἁμαρτάνειν· ἔπειτα, εἰ μὲν οὐκ ἐχρῆν τολμᾶν ἀδικουμένοις ἀμύνειν, ἡσυχίαν ἂν ἦγον· νῦν δὲ σοί τε τιμὴν φέρει τοῦτο, κἀμοὶ πολὺ τίκτει θάῤῥος παρακαλεῖν σε, ἄνδρας βιαίους καὶ ἀλαζόνας, κωλύοντας νεκροὺς ταφῆς τε καὶ τῶν ἄλλων τυχεῖν νομίμων, τῷ σαυτοῦ καταναγκάσαι βραχίονι μετριωτέρους γενέσθαι, καὶ παῦσαι ὅλως τὰ τῶν Ἑλλήνων συγχέοντας νόμιμα· ὃ γὰρ τὰς πόλεις σώζει, τοῦθ᾽ ὁ νόμος ἐστὶν, ἐπειδὰν ἀρίστου τύχῃ προστάτου· εἰ δὲ μὴ, οὐκέσθ᾽ ὅπως τις μὴ ἄν σου καταγνοίη δειλίαν, ὡς παρόν σοι μέγιστον τῇ πόλει ἄρασθαι κλέος, ἐξέκλινας τοῦτο φόβῳ· καὶ πρὸς μὲν τὴν σύν ποτε, τἀποφώλιον τέρας ἐκεῖνο, ὑπέστης ἀναγωνίσασθαι, καίτοι μάταιον ὄντα καὶ φαῦλον ἀγῶνα· ἔνθα δὲ δεῖ πρὸς κράνος καὶ δόρυ ἀνταίρειν χεῖρα, ἐνταῦθα κακὸς ὢν εὑρέθης· μὴ, ὦ παῖ, μὴ σύγε τοιοῦτο προστρίψῃς ὄνειδός σεαυτῷ, ἐξ ἐμοῦ πεφυκώς· ὁρᾷς γὰρ ὅπως ἡ σὴ πατρὶς κεκερτομημένη ὑπὸ τῶν κερτομούντων ὡς ἄβουλος εἰς σὲ μόνον γοργῷ ἀναβλέπειν τῷ βλέμματι· ἀεὶ γὰρ αὕτη αὔξεται ἐν ἀγῶσιν· οἷς δ᾽ ἐμπέφυκε φόβος, πρὸς τῷ μηδὲν λαμπρὸν πράσσειν καὶ δύσκλειαν περιβέβληνται· Τί οὖν; οὐκ ἀναῤῥώσεις σεαυτὸν, ὦ τέκνον, βοηθῆσαι νεκροῖς τε ἀδικουμένοις, καὶ γυναιξὶ ταῖσδε δίκαια καὶ ὅσια δεομέναις; ἐγὼ γὰρ

---

Σῦς αὕτη. ἣν καὶ Φαιὰν προσηγόρευον· ἀλλὰ Θησεὺς ἐδοῦ πάρεργον ὑποστὰς, ἀνεῖλεν. ἴδε Πλουτ. Θησ. παραγ. θ'. 320. Ὡς γοργὸν] ἐν ἄλλοις, ὡς Γοργόνι

Ὡς οὔτε ταρβῶ σὺν δίκῃ σ' ὁρμώμενον,
Κάδμου θ' ὁρῶσα λαὸν εὖ πεπραγότα,
Ἔτ' αὐτὸν ἄλλα βλήματ' ἐν κύβοις βαλεῖν
Πέποιθ'· ὁ γὰρ θεὸς πάντ' ἀναςρέφει πάλιν.
ΧΟ. Ὦ φιλτάτη μοι, τῷδέ τ' εἴρηκας καλῶς,
Κἀμοί· διπλοῦν δὲ χάρμα γίγνεται τόδε.
ΘΗ. Ἐμοὶ λόγοι μὲν, μῆτερ, οἱ λελεγμένοι
Ὀρθῶς ἔχουσ' ἐς τόνδε, κἀπεφηνάμην
Γνώμην, ὑφ' οἵων ἐσφάλη βουλευμάτων·
Ὁρῶ δὲ κἀγὼ ταῦθ', ἅπερ με νουθετεῖς,
Ὡς τοῖς ἐμοῖσιν οὐχὶ πρόσφορον τρόποις,
Φεύγειν τὰ δεινά· πολλὰ γὰρ δράσας καλὰ,
Ἔθος τόδ' ἐς Ἕλληνας ἐξελεξάμην,
Ἀεὶ κολαστὴς τῶν κακῶν καθεστάναι.
Οὔκουν ἀπαυδᾷν δυνατόν ἐστί μοι πόνους.
Τί γάρ μ' ἐροῦσιν οἵγε δυσμενεῖς βροτῶν,
Ὅθ' ἡ τεκοῦσα σὺ, χὐπερορρωδοῦσ' ἐμοῦ
Πρώτη κελεύεις τόνδ' ὑποστῆναι πόνον;
Δράσων τάδ' εἶμι, καὶ νεκροὺς ἐκλύσομαι,
Λόγοισι πείσων· εἰ δὲ μὴ, βίᾳ δορὸς
Ἤδη τόδ' ἔσται, κοὐχὶ σὺν φθόνῳ θεῶν.
Δόξαι δὲ χρήζω καὶ πόλει πάσῃ τάδε.
Δόξει δ', ἐμοῦ θέλοντος· ἀλλὰ τοῦ λόγου
Προδοὺς ἔχοιμ' ἂν δῆμον εὐμενέστερον.
Καὶ γὰρ κατέστησ' αὐτὸν ἐς μοναρχίαν,
Ἐλευθερώσας τήνδ' ἰσόψηφον πόλιν.
Λαβὼν δ' Ἄδραστον δεῖγμα τῶν ἐμῶν λόγων,
Ἐς πλῆθος αὐτῶν εἶμι· καὶ πείσας τάδε,

οὔτε περί σοι δέ διά τι, μετὰ τοῦ δικαίου ἀποδυομένῳ ἐς τὸν ἀγῶνα, καὶ τοὺς Καδμείους ὁρῶσα μὴ μετρίως χρωμένους τῇ εὐτυχίᾳ, πέποιθα κατ᾽ ἐναντίας βολὰς ῥίψειν ἑξῆς τοὺς κύβους· τὸ γὰρ θεῖον, νεμεσῶν τοῖς τοιούτοις, πέφυκεν ἀναςρέφειν εἰς τὴν ἐναντίαν μοῖραν πολλάκις.

ΧΟ. Ὦ φιλτάτη, ὡς κάλλιςα εἴρηταί σοι περί τε τούτου καὶ ἐμοῦ· διπλῆ γὰρ ἡ χάρις ἐκ τούτων ἡμῖν ἀμφοτέροις ἔςαι.

ΘΗ. Ὦ μῆτερ, ἃ μὲν εἴρηταί μοι πρὸς Ἄδρασον τουτονὶ, πάντα δοκεῖ μοι ὀρθῶς εἰρῆσθαι, γνώμην εἰπόντι, ὑφ᾽ οἵων ἐκεῖνος σφαλεὶς, ἐξήμαρτε ταῦτα· σκοπῶ μέν τοι καὶ τοῦτ᾽ οὐχ᾽ ἧττον, ὅ μοι αὐτὴ ὑποτίθῃς, ὡς οὐκ ἐμὸν ἀγῶνας φεύγειν. πολλὰ γὰρ πράξας καλὰ εἰς τοὺς Ἕλληνας, οἷον πάθος συναισθάνομαι τοῦτο, κολαςὴς τῶν κακῶν ἀεὶ εἶναι· οὐκ ἂν οὖν ἀπαυδῴην πρὸς πόνους· τί γὰρ ἐροῦσι περὶ ἐμοῦ οἵγε δυσμενεῖς τῶν ἀνθρώπων, ὁπόθ᾽ ἡ μήτηρ σὺ, ἡ μάλιστα πάντων περὶ ἐμοὶ δεδοικυῖα, κελεύεις ὑποστῆναι τὸν ἆθλον; Εἶμι τοίνυν λόγοις πειρασόμενος πρῶτον ἀνελέσθαι τοὺς τεθνεῶτας· ἔπειτ᾽ εἰ ἄπρακτα ἡμῖν γένοιθ᾽ ὧδε, τρεψόμεθα πρὸς τὰ δεύτερα ξίφει καὶ βραχίονι τῶν δικαίων τυχεῖν, νεμέσεως δὲ τῶν θεῶν μὴ ἀντεμβάλοι βέλος· δεῖ δ᾽ οὖν πρῶτον πάντων δόξαι τοῦτο καὶ τῇ πόλει κοινῇ· εὖ δὲ οἶδ᾽ ὅτι δόξει ῥαδίως, ἐμοῦ δεξαμένου· ἀλλὰ προθεὶς αὐτοῖς βουλὴν περὶ τούτου, ἔχοιμ᾽ ἂν αὐτοὺς πολλῷ εὐνουστέρους. καὶ γὰρ ἔφθην ἀποδοὺς αὐτοῖς τὴν ἐλευθερίαν, ἀποκαταστήσας τὸν δῆμον μονάρχην· οὐκοῦν λαβὼν Ἄδραστον τουτονὶ, ὥσπερ μάρτυρα, ὧν πρὸς ἐκείνους ἐρῶ, εἶμι εἰς

349. Τοῦ λόγου προδοὺς] πρὸ τοῦ ἔργου δοὺς αὐτοῖς μέρος τοῦ λόγου· ὅ ἐστι μεταδιδοὺς καὶ αὐτοῖς τῆς περὶ τοῦ πολέμου γνώμης, ἕξω εὐνουστέρους κα.

Λεκτοὺς ἀθροίσας δεῦρ' Ἀθηναίων κόρους,
Ἥξω· παρ' ὅπλοις θ' ἥμενος πέμψω λόγους
Κρέοντι, νεκρῶν σώματ' ἐξαιτούμενος.
Ἀλλ', ὦ γεραιαὶ, σέμν' ἀφαιρεῖτε στέφη
Μητρὸς, πρὸς οἴκους ὥς νιν Αἰγέως ἄγω,
Φίλην προσάψας χεῖρα· τοῖς τεκοῦσι γὰρ,
Δύστηνος, ὅςτις μὴ 'ντιδουλεύει τέκνων·
Κάλλιστον ἔρανον δοὺς γὰρ ἀντιλάζυται
Παίδων παρ' αὐτοῦ τοιάδ', ἃ 'ν τοκεῦσι δῷ·

ΧΟ. Ἱππόβοτον Ἄργος, ὦ πάτριον ἐμὸν πέδον, (Στρ. α'.)
Ἐκλύετε τάδε γ', ἐκλύετ' ἄνακτος
Ὅσια περὶ θεοὺς καὶ μεγάλα Πελασ-
Γία καὶ κατ' Ἄργος.
Εἰ γὰρ, ἐπὶ τέρμα καὶ τὸ πλέον ἐμῶν κακῶν (Ἀντ. α'.)
Ἱκόμενος, ἔτι ματέρος ἄγαλμα
Φόνιον ἐξέλοι, γᾶν δὲ φίλαν τὰν Ἰ-
Νάχου θεῖτ' ὀνήσας!
Καλὸν δ' ἄγαλμα πόλεσιν εὐσεβὴς πόνος, (Στρ. Β'.)
Χάριν τ' ἔχει τὰν ἐσαιεί.
Τί μοι πόλις κρανεῖ ποτ'; ἆρα φίλιά μοι
Τεμεῖ, καὶ τέκνοισιν ταφὰς
Ληψόμεσθα;
Ἄμυνε ματρὶ, πόλις, ἄμυνε, Παλλάδος, (Ἀντ. Β'.)
Νόμους βροτῶν μὴ μιαίνειν.
Σύ τοι σέβεις δίκαν, τὸ δ' ἧσσον ἀδικίᾳ
Νέμεις αἰεὶ, τὸν δυστυχῆ
Πάντα ῥύῃ.

---

προθυμοτέρους. 364. Ἐκλύετε] ἠκούετε ἐν παρατατικῷ. τὸ θέμα, κλύω.

τὸ πλῆθος. καὶ πείσας ταῦθ', ἥξω, πολλοὺς ἀθροίσας Ἀθηναίων λογάδας· καὶ τὰ ὅπλα προθεὶς, χρήσομαι πρῶτον πρὸς Κρέοντα κήρυκι, τὰ τῶν νεκρῶν ἐξαιτούμενος σώματα. Ἀλλ' ὦ γεραιαὶ, ἀφέλεθ' ὑμεῖς νῦν γε τοὺς στεφάνους ἀπὸ τῆς μητρὸς· βούλομαι γὰρ, λαβόμενος αὐτῆς τῆς χειρὸς, ἀγαγεῖν αὐτὴν οἴκαδε· ὃς γὰρ ἂν μὴ ἀποδῷ καλῶς τὰ τροφεῖα γονεῦσιν, οὗτος δύστηνος ἔμοιγε· οἷον γὰρ ἂν ἕκαστος ἐκείνοις ἔρανον εἰσενέγκῃ, τοιοῦτον παρὰ τῶν ἑαυτοῦ παίδων λήψεται.

**ΧΟ.** Ἱππόβοτον Ἄργος, ὦ πάτριον ἔδαφος, ἠκούσατε ταῦτ', ὦ μεγάλη Πελασγία, ἠκούσατε ἀνδρὸς ὁσίους λόγους;

Εἴθε ταῖς ἐμαῖς συμφοραῖς θείη τέλος, τὸν ἐμὸν υἱὸν, φόνιον ὅλως κείμενον ἄγαλμα τῇ μητρὶ, ἐξελὼν τῶν ἐχθρῶν· εἶθ' ὠφελήσας τὴν τοῦ Ἰνάχου χῶραν, φιλίαν αὐτὴν ἑαυτῷ θεῖτο τὸν ἅπαντα αἰῶνα.

Ὃ γάρ τις εὐσεβῶς πρὸς θεοὺς τύχῃ πράξας, τοῦτ' ἀναφαίρετόν ἐστι κτῆμα ταῖς πόλεσι, καὶ ἐσαεὶ ἔχουσι τὴν χάριν ἀποκειμένην· ἀλλ' ἆρα κατορθώσει τι ἄξιον ἡμῖν ἡ πόλις αὕτη; ἆρ' ἐπιμενεῖ τῇ φιλίᾳ, ὥσθ' ἡμᾶς ἀπολαβεῖν τοὺς νεκρούς;

Ὦ πόλις Παλλάδος εὐκλεεῖς Ἀθῆναι, ἄμυνε μητρὶ δυστυχούσῃ, ἄμυνε, μηκέτ' ἐῶσα ἀνθρώπους μιαίνειν νόμους· σὺ γὰρ σέβεις δίκας, σὺ δεύτερα τἄδικα ποιῇ τοῦ δικαίου, σὺ σώτειρα εἶ δυστυχῶν δι' αἰῶνος.

---

367. Πλέον] καὶ ἔτι μᾶλλον πέρα τῶν κακῶν. 373. Φίλιά μοι τεμεῖ] οὕτω κατὰ τὸ κρανεῖ ἐν ὁριστικῷ μέλλοντι ἀντὶ εὐκτικοῦ· ὁ δὲ νοῦς, ἆρα

Λεκτοὺς ἀθροίσας δεῦρ' Ἀθηναίων κόρους,
Ἥξω· παρ' ὅπλοις θ' ἥμενος πέμψω λόγους
Κρέοντι, νεκρῶν σώματ' ἐξαιτούμενος.
Ἀλλ', ὦ γεραιαὶ, σέμν' ἀφαιρεῖτε στέφη
Μητρὸς, πρὸς οἴκους ὥς νιν Αἰγέως ἄγω,
Φίλην προσάψας χεῖρα· τοῖς τεκοῦσι γὰρ,
Δύστηνος, ὅστις μὴ 'ντιδουλεύει τέκνων·
Κάλλιστον ἔρανον δοὺς γὰρ ἀντιλάζυται
Παίδων παρ' αὐτοῦ τοιάδ', ἃ 'ν τοκεῦσι δῷ·

ΧΟ. Ἱππόβοτον Ἄργος, ὦ πάτριον ἐμὸν πέδον, (Στρ. α'.)
Ἐκλύετε τάδε γ', ἐκλύετ' ἄνακτος
Ὅσια περὶ θεοὺς καὶ μεγάλα Πελασ-
Γία καὶ κατ' Ἄργος.
Εἰ γὰρ, ἐπὶ τέρμα καὶ τὸ πλέον ἐμῶν κακῶν (Ἀντ. α'.)
Ἱκόμενος, ἔτι ματέρος ἄγαλμα
Φόνιον ἐξέλοι, γᾶν δὲ φίλαν τὰν Ἰ-
Νάχου θεῖτ' ὀνήσας!
Καλὸν δ' ἄγαλμα πόλεσιν εὐσεβὴς πόνος, (Στρ. Β'.)
Χάριν τ' ἔχει τὰν ἐσαιεί.
Τί μοι πόλις κρανεῖ ποτ'; ἆρα φίλιά μοι
Τεμεῖ, καὶ τέκνοισιν ταφὰς
Ληψόμεσθα;
Ἄμυνε ματρὶ, πόλις, ἄμυνε, Παλλάδος, (Ἀντ. Β'.)
Νόμους βροτῶν μὴ μιαίνειν.
Σύ τοι σέβεις δίκαν, τὸ δ' ἧσσον ἀδικίᾳ
Νέμεις αἰεὶ, τὸν δυστυχῆ
Πάντα ῥύῃ.

---

προθυμοτέρους. 364. Ἐκλύετε] ἠκούετε ἐν παρατατικῷ. τὸ θέμα, κλύω.

τὸ πλῆθος. καὶ πείσας ταῦθ', ἥξω, πολλοὺς ἀθροίσας Ἀθηναίων λογάδας· καὶ τὰ ὅπλα προθεὶς, χρήσομαι πρῶτον πρὸς Κρέοντα κήρυκι, τὰ τῶν νεκρῶν ἐξαιτούμενος σώματα. Ἀλλ' ὦ γεραιαὶ, ἀφέλεθ' ὑμεῖς νῦν γε τοὺς στεφάνους ἀπὸ τῆς μητράς· βούλομαι γὰρ, λαβόμενος αὐτῆς τῆς χειρὸς, ἀγαγεῖν αὐτὴν οἴκαδε· ὃς γὰρ ἂν μὴ ἀποδῷ καλῶς τὰ τροφεῖα γονεῦσιν, οὗτος δύστηνος ἔμοιγε· οἷον γὰρ ἂν ἕκαστος ἐκείνοις ἔρανον εἰσενέγκῃ, τοιοῦτον παρὰ τῶν ἑαυτοῦ παίδων λήψεται.

ΧΟ. Ἱππόβοτον Ἄργος, ὦ πάτριον ἔδαφος, ἠκούσατε ταῦτ', ὦ μεγάλη Πελασγία, ἠκούσατε ἀνδρὸς ὁσίους λόγους;

Εἴθε ταῖς ἐμαῖς συμφοραῖς θείη τέλος, τὸν ἐμὸν υἱὸν, φόνιον ὅλως κείμενον ἄγαλμα τῇ μητρὶ, ἐξελὼν τῶν ἐχθρῶν· εἶθ' ὠφελήσας τὴν τοῦ Ἰνάχου χώραν, φιλίαν αὐτὴν ἑαυτῷ θεῖτο τὸν ἅπαντα αἰῶνα.

Ὃ γάρ τις εὐσεβῶς πρὸς θεοὺς τύχῃ πράξας, τοῦτ' ἀναφαίρετόν ἐστι κτῆμα ταῖς πόλεσι, καὶ ἐσαεὶ ἔχουσι τὴν χάριν ἀποκειμένην· ἀλλ' ἆρα κατορθώσει τι ἄξιον ἡμῖν ἡ πόλις αὕτη; ἆρ' ἐπιμενεῖ τῇ φιλίᾳ, ὥσθ' ἡμᾶς ἀπολαβεῖν τοὺς νεκρούς;

Ὦ πόλις Παλλάδος εὐκλεεῖς Ἀθῆναι, ἄμυνε μητρὶ δυστυχούσῃ, ἄμυνε, μηκέτ' ἐῶσα ἀνθρώπους μιαίνειν νόμους· σὺ γὰρ σέβεις δίκας, σὺ δεύτερα τἄδικα ποιῇ τοῦ δικαίου, σὺ σώτειρα εἶ δυστυχῶν δι' αἰῶνος.

---

367. Πλέον] καὶ ἔτι μᾶλλον πέρα τῶν κακῶν. 373. Φίλιά μοι τεμεῖ] οὕτω κατὰ τὸ κρανεῖ ἐν ὁριστικῷ μέλλοντι ἀντὶ εὐκτικοῦ· ὁ δὲ νοῦς, ἄρα

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΘΗΣΕΥΣ, ΚΗΡΥΞ, ΑΛΛΟΣ, ΑΔΡΑΣΤΟΣ, ΑΙΘΡΑ, ΧΟΡΟΣ.

ΘΗ. Τέχνην μὲν ἀεὶ τήνδ' ἔχων ὑπηρετεῖς
Πόλει τε κἀμοὶ, διαφέρων κηρύγματα.
Ἐλθὼν δ' ὑπέρ τ' Ἀσωπὸν, Ἰσμηνοῦ θ' ὕδωρ,
Σεμνῷ τυράννῳ φράζε Καδμείων τάδε·
Θησεύς σ' ἀπαιτεῖ πρὸς χάριν θάψαι νεκροὺς,
Συγγείτον' οἰκῶν γαῖαν, ἀξιῶν τυχεῖν,
Φίλον τε θέσθαι πάντ' Ἐρεχθειδῶν λεών.
Κἂν μὲν θέλωσιν αἰνέσαι, παλλίσσυτος
Στεῖχ'· ἢν δ' ἀπιστῶσ', οἵδε δεύτεροι λόγοι,
Κῶμον δέχεσθαι τὸν ἐμὸν ἀσπιδηφόρον·
Στρατὸς δὲ θάσσει, κἀξετάζεται, παρὼν
Καλλίχορον ἀμφὶ σεμνὸν εὐτρεπὴς ὅδε.
Καὶ μὴν ἑκοῦσα γ' ἀσμένη τ' ἐδέξατο
Πόλις πόνον τόνδ', ὡς θέλοντά μ' ᾔσθετο.
Ἔα· λόγων τίς ἐμποδὼν ὅδ' ἔρχεται;
Καδμεῖος ὡς ἔοικεν οὐ σάφ' εἰδότι,
Κῆρυξ. ἐπίσχες, ἤν σ' ἀπαλλάξῃ πόνου·
Μολὼν δ' ὑπαντᾷ τοῖς ἐμοῖς βουλεύμασιν.
ΚΗ. Τίς γῆς τύραννος; πρὸς τίν' ἀγγεῖλαί με χρὴ
Λόγους Κρέοντος, ὃς κρατεῖ Κάδμου χθονὸς,
Ἐτεοκλέους θανόντος ἀμφ' ἑπταστόμους
Πύλας ἀδελφοῦ χερὶ Πολυνείκους ὕπο.

---

θύσει τῇ ἐμῇ φιλίᾳ; πράξει μοι τὸ ποθούμενον. 390. Κῶμον] οὐ κῶμον ἐν

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΘΗΣΕΥΣ, ΚΗΡΥΞ, ΑΛΛΟΣ, ΑΔΡΑΣΤΟΣ, ΑΙΘΡΑ, ΧΟΡΟΣ.

**ΘΗ.** Δεῦρο σὺ κήρυξ· σὺ γὰρ ταύτην ἔχων τὴν τέχνην, ἐμοίθ' ὑπηρετεῖς καὶ πάσῃ τῇ πόλει, διακομίζων τὰ κηρύγματα, ὅποι δέοι· διαβὰς τόντ' Ἀσωπὸν καὶ τὸν Ἰσμηνὸν, εἰπὲ Κρέοντι τῷ κρατοῦντι Καδμείων ταῦτα παρελθών. Θησεὺς, ὡς ἐκ γειτόνων οἰκῶν, ἀξιοῖσε ἀποδοῦναι αὐτῷ χάριν ταύτην, τοὺς τῶν Ἀργείων θάψαι νεκροὺς, καὶ φίλους πάντας Ἐρεχθείδας ποιήσασθαι· καὶ εἰ μὲν δέξαιτο ταῦτ', ἄνυτε πάλιν· εἰ δὲ μὴ, λέγε δεύτερα ταυτί· ἕτοιμον εἶναι τὸν ἐμὸν κῶμον τοῦτον δέξασθαι τοῖς ὅπλοις ἀστράπτοντα· ὃς νῦν ὁπλοφόρος στρατοπεδεύων πρὸς τῷ Καλλιχόρῳ σὺν κόσμῳ, ἐξετάζεται· οὐ γὰρ ἄκουσ' ἡ πόλις τὸν ἀγῶνα τοῦτον ἐδέξατο, ὡς ᾔσθετο ἐμὲ αὐτὸν ὑποστάντα. Ἀλλ' ἔα. Τίς οὗτος μεταξὺ λόγων ἥκει; Καδμείων ἐστὶν ἴσως κήρυξ, ὅσον μικρὸν εἰκάσαι· ἐπίσχες οὖν αὐτός· εἰ γὰρ τοῦθ', ὃ βούλομαι, ἥκει ἀπαγγελῶν, ἀπαλλάξει σε πάντως τοσούτου πόνου.

**ΚΗ.** Τίς ἐςι τῆς γῆς ταύτης τύραννος, πρὸς ὃν ἐρῶ τὰ κεκελευσμένα παρὰ τοῦ Κρέοντος; οὗτος γὰρ νῦν, Ἐτεοκλέους ἀποθανόντος ὑπὸ Πολυνείκους, τὰ τῶν Καδμείων σκῆπτρα κοσμεῖ.

---

Χορῷ, ἀλλ' ἀσπιδοφόρον. κομψῶς δὲ εἴρηται τοῦτ' αὐτῷ· τὸ δὲ Καλλίχορον

ΘΗ. Πρῶτον μὲν ἤρξω τοῦ λόγου ψευδῶς, ξένε,
Ζητῶν τύραννον ἐνθάδ'. οὐ γὰρ ἄρχεται
Ἑνὸς πρὸς ἀνδρὸς, ἀλλ' ἐλευθέρα πόλις.
Δῆμος δ' ἀνάσσει διαδοχαῖσιν ἐν μέρει
Ἐνιαυσίαισιν, οὐχὶ τῷ πλούτῳ διδοὺς
Τὸ πλεῖϛον, ἀλλὰ χὼ πένης ἔχων ἴσον.

ΚΗ. Ἓν μὲν τόδ' ἡμῖν, ὥϛπερ ἐν πεσσοῖς, δίδως
Κρεῖσσον· πόλις γὰρ, ἧς ἐγὼ πάρειμ' ἄπο,
Ἑνὸς πρὸς ἀνδρὸς, οὐκ ὄχλῳ, κρατύνεται·
Οὐδ' ἔστιν αὐτὴν ὅϛτις ἐκχαυνῶν λόγοις
Πρὸς κέρδος ἴδιον ἄλλος ἄλλοσε ϛρέφει.
Ὁ δ' αὐτίχ' ἡδὺς καὶ διδοὺς πολλὴν χάριν,
Ἐσαῦθις ἔβλαψ', εἶτα διαβολαῖς νέαις
Κλέψας τὰ πρόσθε σφάλματ', ἐξέδυ δίκης.
Ἄλλωϛτε, πῶς ἂν μὴ διορθεύων λόγους,
Ὀρθῶς δύναιτ' ἂν δῆμος εὐθύνειν πόλιν;
Ὁ γὰρ χρόνος μάθησιν ἀντὶ τοῦ τάχους
Κρείσσω δίδωσι. γηπόνος δ' ἀνὴρ πένης,
Εἰ καὶ πένοιτο, κἀμαθὴς ἔργων ὕπο,
Οὐκ ἂν δύναιτο πρὸς τὰ κοίν' ἀποβλέπειν.
Ἦ δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
Ὅταν πονηρὸς, ἀξίωμ' ἀνὴρ ἔχῃ,
Γλώσσῃ κατασχὼν δῆμον, οὐδὲν ὢν τὸ πρίν.

ΘΗ. Κομψός γ' ὁ κήρυξ καὶ παρεργάτης λόγων.
Ἐπεὶ δ' ἀγῶνα καὶ σὺ τόνδ' ἠγωνίσω,

---

φρέαρ ἐστὶν ἐν τῇ Ἐλευσῖνι. 421. Εἰ καὶ πένοιτο] ἐν ἄλλοις δὲ συνεχόμενον.

ΘΗ. Ψευδῆ τοῦτον εἴρηκας λόγων ἐκ προοιμίων, ὦ ξένε· ζητεῖς γὰρ τύραννον ὧδε, ἔνθα ἐλευθέρα κλείζεται πόλις, καὶ δῆμος ἄρχει ἐν μέρει ἐνιαυσίᾳ ἀλλήλων διαδοχῇ, οὐχὶ πλουτίνδην τὸ πλέον, ἀλλὰ καὶ τοῖς πένησιν αὐτοῖς μέτεσθ' ὁμοίως τὸ ἴσον.

ΚΗ. Οὐκοῦν ἓν τοῦθ' ἡμῖν, ὥσπερ ἐν πεσσοῖς δίδως κρεῖσσον· ἡ γὰρ ἐμὴ πόλις, οὐχ ὑπὸ ὄχλου, ἀλλ' ὑφ' ἑνὸς ἀνδρὸς, ὥσπερ πλοῖον διακυβερνᾶται· οὐ γὰρ ἔσθ' ὅστις ἐν αὐτῇ παρασυρεῖ τοῖς λόγοις αὐτὴν ἄλλος ἄλλοθεν πρὸς τὸ ἴδιον κέρδος· ὃς δ' ἂν τύχῃ ἡδὺς ὢν ἐν λόγοις, καὶ πολλὴν παρεχόμενος χάριν, οὗτος ἔβλαψεν ἔπειτα μᾶλλον τῇ τῶν ῥημάτων κομψότητι· ἃ δ' αὐτῷ πεπλημμέλητο, ταῦτα νεωτέραις συγκαλύψας συκοφαντίαις, ὑπεξέδυ τοῦ δίκην δοῦναι· πῶς γὰρ ἂν διοικοῖτο πόλις ὀρθῶς ὑπὸ πλήθους, μηδέποθ' εὑρόντος καιρὸν ἀσκῆσαι λόγον; χρόνῳ γὰρ καὶ οὐκ ἐξ ὑπογυίου ἡ ἐμπειρία τοῖς ἀνθρώποις ἐγγίνεται· ὁ δὲ γεωργὸς καὶ ἀπαχειροβίωτος, πένης ὢν καὶ ἀμαθὴς ἀσχολίᾳ τῶν ἔργων, οὐχ οἷος τ' ἂν εἴη τῶν κοινῶν ἀκριβῆ ἐπιμέλειαν ἔχειν· χωρὶς δὲ τούτων τί ἂν σχετλιώτερον εἴη καὶ βλαβερώτατον τοῖς ἀρίστοις, ἢ ὅταν ἀνὴρ πονηρὸς, ἀξίωμα ἔχων, οὐδὲν ὢν τὸ πρὶν, παριὼν ἐς τὸ πλῆθος κατάσχῃ αὐτὸ τῇ γλώττῃ;

ΘΗ. Ὡς μάλα κομψῷ ἀνδρὶ καὶ λόγων δημιουργῷ ἔοικεν ὁ κῆρυξ· ἀλλ' ἐπειδὴ αὐτὸς, λόγων ἅμιλλαν προσθεὶς,

---

ἐκ τῶν ἀνωτέρω κεῖται ὡδί. γηπόνος δ' ἀνήρ, πένης εἰ καὶ γένοιτο· ἢ κα

ΔΗΜΟΚΡ... ΔΗΜΟΤΙΚΗ

Ἄκου'· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
Οὐδὲν τυράννου δυσμενέστερον πόλει.
Ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶν νόμοι
Κοινοὶ, κρατεῖ δ' εἷς τὸν νόμον κεκτημένος
Αὐτὸς παρ' αὑτῷ, καὶ τόδ' οὐκέτ' ἔστ' ἴσον.
Γεγραμμένων δὲ τῶν νόμων ὅ,τ' ἀσθενὴς
Ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει·
Ἔστιν δ' ἐνισπεῖν τοῖσιν ἀσθενεστέροις
Τὸν εὐτυχοῦντα ταὔθ', ὅταν κλύῃ κακῶς,
Νικᾷ δ' ὁ μείων τὸν μέγαν, δίκαι' ἔχων.
Τοὐλεύθερον δ' ἐκεῖνο· τίς θέλει πόλει
Χρηστόν τι βούλευμ' ἐς μέσον φέρειν ἔχων;
Καὶ ταῦθ' ὁ χρήζων λαμπρὸς ἔσθ', ὁ μὴ θέλων,
Σιγᾷ· τί τούτων ἔστ' ἰσαίτερον πόλει;
Καὶ μὴν ὅπου γε δῆμος αὐθέντης χθονὸς,
Ὑποῦσιν ἀστοῖς ἥδεται νεανίαις.
Ἀνὴρ δὲ βασιλεὺς ἐχθρὸν ἡγεῖται τόδε,
Καὶ τοὺς ἀρίστους, οὓς ἂν ἡγῆται φρονεῖν,
Κτείνει, δεδοικὼς τῆς τυραννίδος πέρι.
Πῶς οὖν ἔτ' ἂν γένοιτ' ἂν ἰσχυρὰ πόλις,
Ὅταν τις, ὡς λειμῶνος ἠρινοῦ στάχυν,
Τόλμας ἀφαιρῇ, κἀπολωτίζει νέους;
Κτᾶσθαι δὲ πλοῦτον καὶ βίον τί δεῖ τέκνοις,
Ὡς τῷ τυράννῳ πλεῖον' ἐκμοχθῇ βίον;
Ἢ παρθενεύειν παῖδας ἐν δόμοις καλῶς,

---

ἄμεινον δοκεῖ. 449. Τόλμας] τὸ ἀφῃρημένον ἀντὶ τοῦ συγκεκριμένου, εὐτόλμους, γενναίους, ἀνδρείους· καλῶς δ' ἐχρήσατο καὶ τῇ μεταφορᾷ, ὡς στάχυας

ἠγωνίσω τὸ μέρος, ἐμὸν τὸ ὕδωρ ἐστὶ τοῦ λοιποῦ· Ἴσθι τοίνυν αὐτὸς μηδὲν ὂν κακονούστερον τυράννου τῇ πόλει· πρῶτον μὲν γὰρ νόμοι ἐν αὐτῇ, καθ' οὓς χρὴ πολιτεύεσθαι, οὐχ ὑπάρχουσιν· ἔπειθ' εἷς ἄρχει, οὗ τὸ θέλημά ἐστι τοῖς ἄλλοις νόμος· ἐν δὲ ταῖς δημοκρατουμέναις, αἷς εἰσὶ νόμοι κοινοὶ, ὅ,τε ἰσχυρὸς καὶ ὁ ἀσθενὴς ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ συμπολιτεύονται· εἰ γάρ τις τῶν πενεστέρων ποτὲ ἀκούσειε παρά του κακῶς, ἀντιλοιδορήσεται τῷ πλουσίῳ τοῖς ἴσοις· νικᾷ δὲ ἀεὶ ὁ τὸ δίκαιον ἔχων, κἂν ἄλλως ἐλάττων τις τύχῃ ὤν· τὸ δὲ ἐλεύθερον καὶ σωτήριον ἐκεῖνο ποῦ τίθης κήρυγμα; Τίς ἀγορεύειν βούλεται ὑπὲρ τοῦ κοινῇ συμφέροντος; ἐξ οὗ εὐθὺς ὁ μὲν ἔχων τι εἰπεῖν, ἀνίσταται, περιβλεπόμενος ὑπὸ πάντων· ὃς δ' ἂν μὴ θέλῃ, κάθηται σιωπῶν· τί οὖν ἂν εἴη ἰσώτερον τούτου πόλει; καὶ ἐν μὲν δημοκρατίαις ἥδιστόν ἐστι τοῖς πολίταις πολλὴν ἐγγίνεσθαι νεωλαίαν· ἐν δὲ ταῖς τυραννίαις ἔχθιστον τυράννῳ τοῦτο, ὅπου καὶ τοὺς ἀρίστους, οὓς ἂν ἡγῆται φρόνημα ἔχειν ἀναιρεῖ, δεδιὼς περὶ τῆς τυραννίδος· πῶς οὖν ἂν γένοιθ' οὕτω πόλις ἰσχυρὰ, ἔνθ' ἄν τις τοὺς μὲν ἀρίστους θερίζῃ, καθάπερ στάχυας ἦρι· τοὺς δὲ νέους ἀπολωτίζῃ, ὥσπερ ἄνθος, τῶν καλύκων ἤδη προκύπτοντας; τί δὲ δεῖ καὶ πειρᾶσθαι τοῖς παισὶ κτᾶσθαι πλοῦτον, τῷ τυράννῳ μέλλων κτήσεσθαι ταῦτα μᾶλλον; τίς δ' ἂν ἡδέως ἀναθρέψειε παρθένους κοσμίως οἴκοι, τερπνὰς

---

εἰπών. ὡς τελείους τῇ ἡλικίᾳ καὶ ὡραίους, τούτους ἐπιθερίζων· τοὺς δὲ νέους

Τερπνὰς τυράννοις ἡδονὰς, ὅταν θέλῃ,
Δάκρυα δ' ἡτοιμάζουσι; μὴ ζῴην ἔτι,
Εἰ τἀμὰ τέκνα πρὸς βίαν νυμφεύεται.
Καὶ ταῦτα μὲν δὴ πρὸς τάδ' ἐξηκόντισα.
Ἥκεις δὲ δὴ τί τῆσδε γῆς κεχρημένος;
Κλάων δ' ἂν ἦλθες, εἴ σε μὴ 'πεμψεν πόλις,
Περισσὰ φωνῶν· τὸν γὰρ ἄγγελον χρεὼν
Λέξανθ', ὅσ' ἂν τάξῃ τις, ὡς τάχος πάλιν
Χωρεῖν· τὸ λοιπὸν δ' εἰς ἐμὴν πόλιν Κρέων
Ἧσσον λάλον σου πεμπέτω τίν' ἄγγελον.

ΧΟ. Φεῦ, φεῦ! κακοῖσιν ὡς ὅταν δαίμων διδῷ
Καλῶς, ὑβρίζουσ', ὡς ἀεὶ πράξοντες εὖ!

ΚΗ. Λέγοιμ' ἂν ἤδη· τῶν μὲν ἠγωνισμένων,
Σοὶ μὲν δοκείτω ταῦτ', ἐμοὶ δ' ἐναντία.
Ἐγὼ δ' ἀπαυδῶ πᾶς τε Καδμεῖος λεὼς,
Ἄδραστον ἐς γῆν τήνδε μὴ παριέναι·
Εἰ δ' ἔστιν ἐν γῇ, πρὶν θεοῦ δῦναι σέλας,
Λύσαντα σεμνὰ στεμμάτων μυστήρια,
Τῆσδ' ἐξελαύνειν, μηδ' ἀναιρεῖσθαι νεκροὺς
Βίᾳ, προσήκοντ' οὐδὲν Ἀργείων πόλει.
Κἂν μὲν πίθῃ μοι, κυμάτων ἄτερ πόλιν
Σὴν ναυστολήσεις· εἰ δὲ μὴ, πολὺς κλύδων
Ἡμῖν τε, καὶ σοὶ, ξυμμάχοις τ' ἔσται δορός.

---

ἀπολωτίζων ἐν ἀνθηρᾷ ἡλικίᾳ. 454. Δάκρυα δ' ἑτοιμάζουσι] πότερον συναπτέον ἂν εἴη μᾶλλον πρὸς τὸ τυράννοις ὡς δοτικὴ, ἢ πρὸς τοὺς γονέας ὡς ῥῆμα; ἴσως τὸ δεύτερον· ἵν' ᾖ, οἱ παρθενεύοντες οὐδὲν ποιοῦσιν, ἢ τυράννῳ

ἡδονὰς προπαρασκευάζων τυράννῳ πρὸς ἰδίας λύπας καὶ δάκρυα; ἔμοιγε γὰρ ἄμεινον μὴ ζῆν μυριάκις, ἢ ἅπαξ ἰδεῖν τὰς ἐμαυτοῦ θυγατέρας εἰς βιαίους γάμους ἀναρπαζομένας· καὶ ταῦτα μὲν ἀντιτετόξευταί μοι πρὸς τὰ ὑπὸ σοῦ εἰρημένα. Σὺ δὲ νῦν εἴποις ἂν ἡμῖν, ἐφ' ᾧ πάρει, καίτοι εἰ μὴ ἐτύγχανες πρὸς πόλεως κήρυξ ἥκων, ᾤμωξας ἄν, ὡς πλέον ἢ προσῆκε κήρυκι, τῷ λήρῳ χρησάμενος· ἄγγελον γὰρ χρὴ εἰπόντα τὸ προστεταγμένον, εὐθὺς σπεύδειν πάλιν, καὶ μηδὲν πέρα τούτων πολυπραγμονεῖν· διὸ Κρέων πεμπέτω τοῦγε λοιποῦ ἀγγέλους Ἀθήναζε ἧττον σοῦ λήρους.

ΧΟ. Φεῦ, φεῦ, ὅσον ἐξυβρίζουσιν οἱ κακοὶ τῶν ἀνθρώπων, ἡνίκ' ἂν εὖ ποτε πράξωσι πρὸς θεῶν, παρ' οὐδὲν ποιούμενοι, μή ποθ' ὕστερον αὐτοῖς ἀντιπεριστάιη τὰ πράγματα.

ΚΗ. Προσέχετέ μοι τοίνυν τὸν νοῦν· Περὶ μὲν ὧν φθάσαντες ἠγωνίσμεθα, μένωμεν, ὡς ἑκάτεροίγε φρονοῦμεν, ἡμεῖς μὲν οὕτως, ὑμεῖς δὲ τοὐναντίον ἐκείνως· Νῦν δ' ὥρα ἔμοιγ' ἐξειπεῖν σοι, ἐφ' ὃ τυγχάνω ἀφιγμένος ἐνθάδε, ἐγώ τε γὰρ αὐτὸς καὶ πάντες Καδμεῖοι ἀπαγορεύομεν Ἄδραστον τὴν ἀρχὴν μὴ ἐπιβῆναι τῆς Ἀττικῆς· εἰδ' ἔφθη εἰσιὼν, καὶ νῦν ἐστιν ἐνταῦθα, τὴν ταχίστην κελεύω ἐξελάσαι αὐτὸν, ἀφῃρημένον τοὺς στεφάνους πρὶν ἢ τὸν ἥλιον δῦναι, μήτε ζητεῖν σε τοὺς νεκροὺς ἀνελέσθαι βίᾳ, μηδεμιᾶς μήτε συμμαχίας σοι, μήτ' ἄλλης τινὸς οἰκειότητος οὔσης πρὸς τὴν Ἀργείων πόλιν. Τούτοις οὖν πεισθεὶς, αὐτός τε εὐδαίμων ἔσῃ, καὶ ἡ πόλις ἡ σὴ ἀκύμαντος καὶ ἥσυχος ὅλως· εἰ δέ τι παρακούσειας, χαλεπὸν κλύδωνα ὁρῶ ἐκ πολέμου ἡμῖν τε καὶ τοῖς συμμάχοις πρὸς

Σκέψαι δὲ, καὶ μὴ τοῖς ἐμοῖς θυμούμενος
Λόγοισιν, ὡς δὴ πόλιν ἐλευθέραν ἔχων,
Σφριγῶντ' ἀμείψῃ μῦθον ἐκ βραχιόνων.
Ἐλπὶς βροτοῖς κάκιςον, ἣ πολλὰς πόλεις
Ξυνῆψ', ἄγουσα θυμὸν εἰς ὑπερβολάς.
Ὅταν γὰρ ἔλθῃ πόλεμος ἐς ψῆφον πόλεως,
Οὐδεὶς ἔθ' αὑτοῦ θάνατον ἐκλογίζεται,
Τὸ δυσυχὲς δὲ τοῦτ' ἐς ἄλλον ἐκτρέπει·
Εἰ δ' ἦν παρ' ὄμμα θάνατος ἐν ψήφου φορᾷ,
Οὐκ ἄν ποθ' Ἑλλὰς δοριμανὴς ἀπώλλυτο·
Καίτοι δυεῖν γε πάντες ἄνθρωποι λόγοιν
Τὸν κρείσσον' ἴσμεν, καὶ τὰ χρηστὰ καὶ κακὰ,
Ὅσῳ τε πολέμου κρεῖσσον εἰρήνη βροτοῖς·
Ἢ πρῶτα μὲν Μούσαισι προσφιλεστάτη,
Γόοισι δ' ἐχθρὰ, τέρπεταί τ' εὐπαιδίᾳ,
Χαίρει δὲ πλούτῳ. ταῦτ' ἀφέντες οἱ κακοὶ
Πολέμους ἀναιρούμεσθα, καὶ τὸν ἥσσονα
Δουλούμεθ' ἄνδρες ἄνδρα καὶ πόλις πόλιν.
Σὺ δ' ἄνδρας ἐχθροὺς καὶ θανόντας ὠφελεῖς,
Θάπτων κομίζων θ', οὓς ὕβρεις ἀπώλεσαν.

---

προπαρασκευάζοντες ἡδονὰς, δάκρυα ἑαυτοῖς ἑτοιμάζουσι. 779. Ἐλπίς . . . συνῆψε] ἐννοητέον τι ἔξωθεν, οἷον πολέμῳ, μάχῃ, ἔχθρᾳ. 487. Τὸν κρείσσονα ἴσμεν] Ὁ μὲν νοῦς δῆλος, ὅτι πάντες ἄνθρωποι διακρίνουσι μὲν καλὸν καὶ κακὸν, καὶ τὴν εἰρήνην κρείσσω οὖσαν πολέμου. πράττουσιν ὅμως τὰ κακὰ, καὶ ἐπιῤῥεπεῖς εἰσὶ πρὸς τὸν πόλεμον· συγκέχυται δὲ τὰ ὀνόματα τῇ συντάξει· καὶ δοκεῖ ἐννοεῖν τον κρείσσω καὶ ἥττω λόγον, ὃν κατηγόρουν Σωκράτους οἱ περὶ τὸν Ἄνυτον λέγοντες, ὡς τὸν ἥττω λόγον κρείττω ποιεῖ, ὅ ἐστι, τὰ ἄδικα δίκαια· περὶ οὗ καὶ Ἀριστοφάνης ἐν Νεφέλαις.

ἀλλήλους διεγειρούμενον· Σκέψαι τοίνυν πρὸς ταῦτα μετ' ἐπιστασίας· μήδ' ἐπ' ἐλευθέρᾳ τῇ πόλει, καὶ βραχίονι νεανικῷ μέγα φρονῶν, ἀπαντήσῃς τῷ λόγῳ νεανικώτερον, θυμῷ ἐπαρθεὶς πρὸς τὴν ἐμὴν παῤῥησίαν· ἐλπὶς γὰρ κάκιστον ἀνθρώποις ἐςὶν, ἡ πολλάκις πολλὰς πόλεις, προεξάψασ' αὐτοῖς τὸν θυμὸν ἐς ὑπερβολὴν, συνῆψεν αὐτοὺς εἰς μάχην· ἐν γὰρ τῷ ψηφίζεσθαι περὶ τοῦ πολέμου οὐδεὶς αὐτὸς τεθνήξεσθαι οἴεται, ἐφ' ἕτερον τοῦτ' ἀποτρέπων ἐλπίδι· εἰ δ' ἐν τῇ τῶν ψήφων περιφορᾷ συμπαρίςατο καὶ ὁ θάνατος, οὐκ ἄν ποθ' ἡ Ἑλλὰς ἐφθείρετο τῷ πολέμῳ· καίτοι πάντες ἄνθρωποι, διακρίνοντες τά τε χρηστὰ καὶ κακὰ, ἴσμεν τὴν εἰρήνην, ὅσῳ κρείττων ἐςι πολέμου· μούσαις μὲν γὰρ αὕτη ἐςὶ προφιλεςάτη· ἐχθίστη δὲ θρήνοις· καὶ τέρπεται μὲν αὐξομένῃ τῇ νεολαίᾳ, χαίρει δὲ πλούτῳ. ἀλλ' ἀντὶ ταύτης οἱ κακοὶ αἱροῦνται μᾶλλον πολέμους, ἄνθρωποι ἀνθρώπους, οἱ κρείσσους τοὺς ἥσσους, καὶ πόλεις πόλιν ὑποδουλούμενοι· καὶ αὐτὸς νῦν ἐθέλεις ἀνελέσθαι ἐχθροὺς τεθνηκότας, καὶ κρύψαι τάφῳ, οἵ αὐτοὶ ἑαυτοὺς ἐξαπώλεσαν ὕβρει· σημεῖον δέ· οὐ γὰρ ἄνω ἑωρῶμεν ἔτι

---

» Εἶναι παρ' αὐτοῖς φησιν ἄμφω τὼ λόγω,
» Τὸν κρείττον', ὅστις ἐστὶ, καὶ τὸν ἥττονα.
» Τούτων τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
» Νικᾷν λέγοντά φασι τἀδικώτερα.
» Ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,
» Ἃ νῦν ὀφείλω διά σε, τούτων τῶν χρεῶν
» Οὐκ ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί.

490. Γόοισι] οὕτως ἐξ ἑτέρας γραφῆς ἀντὶ τοῦ Ποιναῖσι. ποινὰς δὲ τὰς τιμωρίας, ἢ Ἐριννύας ἔλεγον οἱ παλαιοί· ἐνταῦθα δὲ, εἴπερ ὀρθῶς ἔχει, αἰνίττεται

Οὔ τἄρ᾽ ἔτ᾽ ὀρθῶς Καπανέως κεραύνιον
Δέμας καπνοῦται κλιμάκων ὀρθοστάτων,
Ἃς προσβαλὼν πύλαισιν, ὤμοσεν πόλιν
Πέρσειν, θεοῦ θέλοντος, ἤν τε μὴ θέλῃ·
Οὐδ᾽ ἥρπασεν χάρυβδις οἰωνοσκόπον,
Τέθριππον ἅρμα περιβαλοῦσα χάσματι.
Ἄλλοι τε κεῖνται πρὸς πύλαις λοχαγέται,
Πέτροις καταξανθέντες ὀστέων ῥαφάς.
Ἤ νυν φρονεῖν ἄμεινον ἐξαύχει Διός,
Ἢ θεοὺς δικαίως τοὺς κακοὺς ἀπολλύναι.
Φιλεῖν μὲν οὖν χρὴ τοὺς σοφοὺς πρῶτον τέκνα,
Ἔπειτα τοκέας, πατρίδα θ᾽, ἣν αὔξειν χρεὼν,
Καὶ μὴ κατᾶξαι. σφαλερὸν ἡγεμὼν θρασὺς,
Νεώς τε ναύτης ἥσυχος καιρῷ σοφός.
Καὶ τοῦτό τοι τἀνδρεῖον, ἡ προμηθία.

ΑΔ. Ἐξαρκέσας ἦν Ζεὺς ὁ τιμωρούμενος,
Ἡμᾶς δ᾽ ὑβρίζειν οὐκ ἐχρῆν τοιάνδ᾽ ὕβριν,
Ὦ παγκάκιστε.

ΘΗ. Σῖγ᾽, Ἄδραστ᾽, ἔχε στόμα,
Καὶ μὴ ᾽πίπροσθε τῶν ἐμῶν τοὺς σοὺς λόγους
Θῇς· οὐ γὰρ ἥκει πρὸς σὲ κηρύσσων ὅδε,
Ἀλλ᾽ ὡς ἔμ᾽, ἡμᾶς κἀποκρίνασθαι χρεών.
Καὶ πρῶτα μέν σε πρὸς τὰ πρῶτ᾽ ἀμείψομαι.

---

τοὺς κακοποιοὺς καὶ αἱμοβόρους ἀνθρώπους. 496. Οὔτ᾽ ἄρ᾽] εἰ μὴ γὰρ ἦν ὕβρις, φησὶ, οὐκ ἂν προὔκειτο Καπανεὺς κεκεραυνωμένος, ἀπόζων ἔτι τοῦ καπνοῦ. 499. Ἥν τε μὴ θέλῃ] ἔφη γὰρ Καπανεὺς, Μήδ᾽ ἂν τὸ σεμνὸν πῦρ νὶν εἰργάθειν Διός. (ἴδε Φοιν. 1170. καὶ ἑξῆς.) ἡ δὲ Χάρυβδις δῆλον ὅτι ἀπὸ

καὶ νῦν τὸν τοῦ Καπανέως νεκρὸν κεκεραυνωμένον ἐπὶ τῶν κλιμάκων, ἃς προσθεὶς τῷ τείχει, ὤμοσεν, ἦ μὴν ἐξελεῖν τὴν πόλιν, κἂν θέλῃ, κἂν μὴ θέλῃ τὸ θεῖον· περὶ δ' αὖ Ἀμφιάρεω τί καὶ ἂν εἴποιμι; τί γὰρ δήποτε καὶ τοῦτον αὐτῷ ὀχήματι τὸ χάσμ' ἐκεῖνο, οἷά τις Χάρυβδις, ἀπερρόφησεν; ἐῶ δὲ καταλέγειν τοὺς ἄλλους ςρατηγούς, οἳ καταγέντες τὰ ὀστᾶ, κεῖνται νῦν ὑπὸ τῇ Καδμείᾳ. Οὐκοῦν δυοῖν θάτερον δεῖσε λέγειν, ἢ ἄμεινόν σε αὐτὸν φρονεῖν τοῦ Διὸς, ἢ ἐκεῖνον τοὺς κακοὺς ἀπολλύναι· καίτοι χρὴ τοὺς εὖ φρονοῦντας φιλεῖν πρῶτον μὲν τοὺς ἑαυτῶν παῖδας, ἔπειτα τοὺς πατέρας, καὶ τρίτον τὴν πατρίδα· ἣν αὔξειν δεῖ, μὴ μέντοι μειοῦν· ἡγεμὼν μὲν γὰρ θρασὺς ἐν θυμῷ σφάλλει πόλιν· ἥσυχος δὲ κυβερνήτης ἐν καιρῷ σώζει πλοῖον· κἀν τούτῳ ἔμοιγ' ἐςὶ τὸ ἀνδρεῖον ἐν τῷ τῶν ὑπηκόων καλῶς προμηθεῖσθαι.

ΑΔ. Καὶ μὴν ἅλις ἦν ἡμῖν παρὰ τοῦ Διὸς κακῶς πρᾶξαι. τί δ' ἐχρῆν ὑμᾶς προσεξυβρίζειν ἐς τοὺς νεκρούς; ἀλλ ὦ παγκάκιστε.

ΘΗ. Ἐπίσχες, Ἄδραστε· σῖγ' ἔχ' αὐτὸς, καὶ μὴ τοὺς σαυτοῦ τῶν ἐμῶν λόγων πρόσθεν τίθει· ἐπειδὴ γὰρ ὡς ἐμὲ, οὐ πρὸς σὲ οὗτος τυγχάνει γ' ἐλθὼν, ἐμὲ δεῖ πρὸς αὐτὸν ἀπαντῆσαι. Ἴσθι τοίνυν αὐτὸς, τοῦτο πρῶτον, ὡς οὐκ οἶδα

---

τῶν Ὁμηρικῶν μετενήνεκται ὧδε. 509. Νεώς τε ναύτης] τί δ' οὐχὶ τρεπτέον τὸν Τε, εἰς τὸν Δέ; ἵνα ᾖ, ὁ δὲ ἥσυχος ναύτης ἐν καιρῷ χειμῶνος γίγνεται σοφὸς καὶ γενναῖος. 511. Ἐξαρκέσαι] ἀποδιδόασί τινες τοὺς δύο τούτους ςί-

Οὐκ οἶδ' ἐγὼ Κρέοντα δεσπόζοντ' ἐμοῦ,
Οὐδὲ σθένοντα μεῖζον, ὥστ' ἀναγκάσαι
Δρᾶν τὰς Ἀθήνας ταῦτ'· ἄνω γὰρ ἂν ῥέοι
Τὰ πράγμαθ' οὕτως, εἰ 'πιταξόμεσθα δή·
Πόλεμον δὲ τοῦτον οὐκ ἐγὼ καθίσταμαι,
Ὃς οὐδὲ σὺν τοῖσδ' ἦλθον ἐς Κάδμου χθόνα.
Νεκροὺς δὲ τοὺς θανόντας, οὐ βλάπτων πόλιν·
Οὐδ' ἀνδροκμῆτας προσφέρων ἀγωνίας,
Θάψαι δικαιῶ, τὸν Πανελλήνων νόμον
Σώζων· τί τούτων ἐστὶν οὐ καλῶς ἔχον;
Εἰ γάρ τι καὶ πεπόνθατ' Ἀργείων ὕπο,
Τεθνᾶσιν, ἠμύνασθε πολεμίους καλῶς·
Αἰσχρῶς τ' ἐκείνοις. χἠ δίκη διοίχεται.
Ἐάσατ' ἤδη γῇ καλυφθῆναι νεκρούς·
Ὅθεν δ' ἕκαστον ἐς τὸ σῶμ' ἀφίκετο,
Ἐνταῦθ' ἀπῆλθε, πνεῦμα μὲν πρὸς αἰθέρα,
Τὸ σῶμα δ' ἐς γῆν· οὔτι γὰρ κεκτήμεθα
Ἡμέτερον αὐτὸ, πλὴν ἐνοικῆσαι βίον,
Κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν.
Δοκεῖς κακουργεῖν Ἄργος, οὐ θάπτων νεκρούς;
Ἥκιστα πάσης Ἑλλάδος κοινὸν τόδε,
Εἰ τοὺς θανόντας, νοσφίσας, ὧν χρῆν λαχεῖν,
Ἀτάφους τις ἕξει· δειλίαν γὰρ ἐσφέρει
Τοῖς ἀλκίμοισιν· οὗτος ἢν τεθῇ νόμος·
Κἀμοὶ μὲν ἦλθες δείν' ἀπειλήσων ἔπη.
Νεκροὺς δὲ ταρβεῖτ', εἰ κρυβήσονται χθονί;

---

χους τῷ Χορῷ· τὸν δὲ τρίτον μόνον Ἀδράστῳ· οὐκ ἄνευ λόγου. 520. ἄνω γὰρ

Κρέοντα δεσπότην ἐμαυτῷ κεκτημένος, οὐδὲ μεῖζον δυνάμενον, ἵν' ἔχοιμι δῆθεν εὐπρεπῶς Ἀθηναίους ἀναγκάσαι δέξασθαι ταῦτα· τὸ γὰρ προςεταγμένα ποιεῖν ἐκείνους ἄνω ποταμῶν ἐςι χωρεῖν τὰς πηγάς· ἀλλ' οὐδὲ πάλιν ἐγὼ αἴτιος ἔσομαι τοῦ πολέμου· οὐδὲ γὰρ πρότερον σὺν τοῖςδε ἐς τὴν τοῦ Κρέοντος χώραν εἰσέλαβον· τὸν δὲ τῶν Ἑλλήνων σώζων νόμον, ἀξιῶ δοῦναί μοι μόνον τοὺς νεκροὺς ἀνελέσθαι, μήτε τὴν πόλιν βουλόμενος βλάψαι, μήτε μὴν προκαλούμενός τινα εἰς ἀγῶνα· τί οὖν τούτων παρέχομαι ἄδικον; εἴτι γὰρ κακῶς ἐποίησαν ὑμᾶς Ἀργεῖοι, ἔχουσι τὴν δίκην ἀποθανόντες, καλῶς μὲν ὑμῶν ὑμῖν αὐτοῖς, αἰσχρῶς δὲ σφίσιν αὐτοῖς ἐκείνων ἀμυναμένων· τῆς δὲ δίκης πληρωθείσης, ἐᾶτε τοὺς νεκροὺς παραδοθῆναι τάφῳ· δεῖ γὰρ δὴ τὸ συναμφότερον τοῦτο λυθῆναι, ὅθεν ἑκάτερον ἦλθε, τὸ μὲν πνεῦμ' ἐς τὸν αἰθέρα, τὸ δὲ σῶμ' ἐς τὴν γῆν· μέχρι γὰρ ἐν τῷ βίῳ ἐσμὲν, κεκτήμεθα τοῦτο· ἐπειδὰν δ' ἀποθάνωμεν, ἀποδοῦναι αὐτὸ χρὴ τῇ θρεψάσῃ· εἰδὲ δοκεῖς βλάπτειν Ἀργείους τῇ τῶν νεκρῶν ἀταφίᾳ, αὐτὸς σεαυτὸν ἐξαπατᾷς· τὸ γὰρ ἀποστερεῖν ταφῆς τοὺς τεθνεῶτας εἰς πᾶσαν τὴν Ἑλλάδα μεταφέρει τὴν ὕβριν· ὁ γὰρ νόμος οὗτος εἰ τεθείη, πολλὴν δειλίαν ἐνσπερεῖ καὶ αὐτοῖς τοῖς ἀρίστοις· ἔπειτα ἐμοὶ μὲν ἧκες δεινὰ ἐπαπειλήσων, τοὺς δὲ τεθνεῶτας φοβεῖσθε παραδοῦναι τῇ γῇ; τί ποθ' ὑφο-

ἂν ῥέοι] ἀπὸ τῆς παροιμίας μετήνεκται· τῆς λεγούσης ἄνω ποταμῶν χωροῦσι παγαὶ, ἐπὶ ἀδυνάτων λαμβανομένης. ἴδε Μήδεια. ςίχ. 410.

Τί μὴ γένηται; μὴ κατασκάψωσι γῆν
Ταφέντες ὑμῶν; ἢ τέκν' ἐν μυχῷ χθονὸς
Φύσωσιν, ἐξ ὧν εἶσί τις τιμωρία;
Σκαιόν γε τἀνάλωμα τῆς γλώσσης τόδε,
Φόβους πονηροὺς καὶ κενοὺς δεδοικέναι·
Ἀλλ', ὦ μάταιοι, γνῶτε τἀνθρώπων κακά·
Παλαίσμαθ' ἡμῶν ὁ βίος, εὐτυχοῦσι δὲ
Οἱ μὲν τάχ', οἱδ' ἐσαῦθις, οἱ δ' ἤδη βροτῶν·
Τρυφᾷ δ' ὁ δαίμων· πρός τε γὰρ τοῦ δυστυχοῦς,
Ὡς εὐτυχήσῃ, τίμιος γεραίρεται,
Ὁ δ' ὄλβιός νιν, πνεῦμα δειμαίνων λιπεῖν,
Ὑψηλὸν αἴρει. γνόντας οὖν χρεὼν τάδε,
Ἀδικουμένους τε, μέτρια, μὴ θυμῷ, φέρειν,
Ἀδικεῖν τε τοιαῦθ', οἷα μὴ βλάψαι πόλιν.
Πῶς οὖν ἂν εἴη; τοὺς ὀλωλότας νεκροὺς
Θάψαι δὸς ἡμῖν τοῖς θέλουσιν εὐσεβεῖν.
Ἢ δῆλα τἀνθένδ'· εἶμι καὶ θάψω βίᾳ.
Οὐ γάρ ποτ' εἰς Ἕλληνας ἐξοισθήσεται,
Ὡς εἰς ἔμ' ἐλθὼν καὶ πόλιν Πανδίονος
Νόμος παλαιὸς δαιμόνων, διεφθάρη·
ΧΟ· Θάρσει· τὸ γάρ τοι τῆς δίκης σώζων φάος,
Πολλοὺς ὑπεκφύγοις ἂν ἀνθρώπων λόγους.
ΚΗ. Βούλει, συνάψω μῦθον ἐν βραχεῖ σέθεν;
ΘΗ. Λέγ', εἴ τι βούλει· καὶ γὰρ οὐ σιγηλὸς εἶ.
ΚΗ. Οὐκ ἄν ποτ' ἐκ γῆς παῖδας Ἀργείων λάβοις.
ΘΗ. Κἀμοῦ νυν ἀντάκουσον, εἰ βούλει, πάλιν.
ΚΗ. Κλύοιμ' ἄν· οὐ γὰρ, ἀλλὰ δεῖ δοῦναι μέρος·
ΘΗ· Θάψω νεκροὺς, γῆς ἐξελὼν Ἀσωπίας.
ΚΗ· Ἐν ἀσπίσιν σοι πρῶτα κινδυνευτέον.

ρώμενοι; μὴ ἀνασκάψωσι τὴν γῆν ὑμῶν ἐγκρυβέντες ἐκεῖνοι; ἢ μὴ φύσωσι τέκνα ἐν αὐτῇ, οἷς ἔσαι δίκην δώσετε; φροῦδος οὗτος ὁ λόγος, καὶ ὁ φόβος πονηρὸς καὶ ὑπόκενος. Ἀλλ' ὦ ἄνθρωποι μάταιοι, γνῶτε τὰ ἀνθρώπινα πράγματα, οἷον ἐπὶ σφαίρας περιστρομβουμένης ἀναφερόμενα πρὸς βραχὺ, καὶ πάλιν ἐπὶ κεφαλὴν κατασπώμενα· ἡδὲ τύχη ἐντρυφᾷ θεωμένη, τοὺς μὲν νῦν, τοὺς δ' αὖθις, ἑτέρους δ' ὀψιμώτερον ἀνάγουσα καὶ κατάγουσα· ὅτε γὰρ δυςυχὴς, ὅπως γένηται εὐτυχὴς γεραίρει αὐτὴν, καὶ ὁ εὐτυχὴς αὖ ἐπὶ μέγα αἴρει, τὸν θάνατον δεδιώς. Ταῦτ' οὖν γνόντας, ἀδικουμένους τε χρὴ φέρειν μετρίως, καὶ ἀδικοῦντας μὴ ἐπὶ πολὺ ἐπεξέργεσθαι ὥστε τὴν πόλιν βλάψαι· πῶς οὖν γένοιτ' ἂν τοῦτο; ἢ εἰ τοὺς νεκροὺς, ὑμῶν ἡμῖν ἀποδόντων, ἀξιώσαιμιν ταφῆς· ἄλλως δ' ἔσται τὰ δεύτερα· δῆλον γὰρ ὡς, εἰ μὴ δοίητε, ἐλθὼν αὐτὸς θάψω· αἰσχρὸν γὰρ ἐμοί τε καὶ τῇ πόλει τῶν Ἀθηναίων νόμον ἀρχαῖον καταφυγόντ' εἰς ἡμᾶς μὴ τυχεῖν βοηθείας.

ΧΟ. Θάῤῥει, Θησεῦ· ὃς γὰρ ἂν σώζῃ δίκην, τούτου οὐκ ἄν ποθ' ἅψαιτο μῶμος.

ΚΗ. Βούλει δὲ συνελὼν τὴν ἐμὴν εἴπω γνώμην;

ΘΗ. Καὶ γὰρ οἶδά σε καὶ λῆρον μάλιστ' ὄντα.

ΚΗ. Οὐκ ἄν ποτε νεκροὺς τοὺς τῶν Ἀργείων λάβοις.

ΘΗ. Βούλει δὲ κἀυτὸς ἐν μέρει ἀντακοῦσαι;

ΚΗ. Οὐκ ἂν βουλοίμην μὲν, ἀλλὰ δεῖ δοῦναι λόγον.

ΘΗ. Ἐλθὼν αὐτὸς, νεκροὺς τοὺς τῶν Ἀργείων θάψω.

ΚΗ. Ἀλλὰ δεῖσοι πρὸ τούτων μάχης.

ΘΗ. Πολλοὺς ἔτλην δὴ χἀτέρους ἄλλους πόνους.
ΚΗ. Ἦ πᾶσιν οὖν σ' ἔφυσεν ἐξαρκεῖν πατήρ;
ΘΗ. Ὅσοι γ' ὑβρισταί· χρηστὰ δ' οὐ κολάζομεν.
ΚΗ. Πράσσειν σὺ πολλ' εἴωθας, ἥ τε σὴ πόλις.
ΘΗ. Τοιγὰρ πονοῦσα πολλὰ, πόλλ' εὐδαιμονεῖ.
ΚΗ. Ἔλθ', ὥς σε λόγχη Σπαρτὸς ἐν πόλει λάβῃ.
ΘΗ. Τίς δ' ἐκ δράκοντος θοῦρος ἂν γένοιτ' Ἄρης;
ΚΗ. Γνώσῃ σὺ, πάσχων. νῦν δ' ἔτ' εἶ νεανίας.
ΘΗ. Οὔτοι μ' ἐπαίρεις, ὥστε θυμῶσαι φρένας,
Τοῖς σοῖσι κόμποις. ἀλλ' ἀποστέλλου χθονὸς,
Λόγους ματαίους, οὕσπερ ἤνεγκω, λαβών.
Περαίνομεν γὰρ οὐδέν. ὁρμᾶσθαι χρεὼν
Πάντ' ἄνδρ' ὁπλίτην, ἁρμάτων τ' ἐπεμβάτην,
Μοναμπύκων τε φάλαρα κινεῖσθαι στόμα,
Ἀφρῷ καταστάζοντα Καδμείαν χθόνα.
Χωρήσομαι γὰρ ἑπτὰ πρὸς Κάδμου πύλας
Αὐτὸς σίδηρον ὀξὺν ἐν χεροῖν ἔχων,
Αὐτός τε κήρυξ. σοὶ δὲ προστάσσω μένειν,
Ἄδραστε, κἀμοὶ μὴ 'ναμίγνυσθαι τύχας
Τὰς σάς· ἐγὼ γὰρ δαίμονος τοὐμοῦ μέτα
Στρατηλατήσω κλεινὸς ἐν κλεινῷ δορί.
Ἓν δεῖ μόνον μοι, τοὺς θεοὺς ἔχειν, ὅσοι
Δίκην σέβονται. ταῦτα γὰρ ξυνόνθ' ὁμοῦ,
Νίκην δίδωσιν. ἡ 'ρετὴ δ' οὐδὲν φέρει
Βροτοῖσιν, ἢν μὴ τὸν θεὸν χρήζοντ' ἔχῃ.

589. Αὐτὸς.. ἔχω] σύνταξον πρὸς τὸ χωρήσομαι. 593. Κλεινὸς ἐν κλεινῷ] ἀμείνων

ΘΗ. Πολλοὺς καὶ ἄλλους ἀγῶνας ὑπέστην ἐν τῷ βίῳ.

ΚΗ. Μῶν πάντας κολάζειν ὁ πατὴρ ἐγέννησέ σε;

ΘΗ. Πάντως τούς γε φαύλους, τῶν δὲ χρηστῶν οὐδένα.

ΚΗ. Πολλοῖς ἐπιχειρεῖς αὐτός τε καὶ ἡ πόλις.

ΘΗ. Ἐν γὰρ τοῖς πολλοῖς ἀγῶσιν ἡμῶν ἡ εὐτυχία.

ΚΗ. Ἐλθὲ, ἵν' ἴδῃς, οἷον Σπαρτῶν τὸ δόρυ.

ΘΗ. Καὶ πῶς ἂν ἐκ δράκοντος θούριος εἴη Ἄρης;

ΚΗ. Τὸ πάθος σὲ διδάξει· νῦν δὲ νεάζεις ἔτι.

ΘΗ. Ἀλλὰ τοσαῦτα κομπάσας, οὐκ ἄν με ποιήσειας ἐπὶ τούτοις θυμοῦσθαι· ἀλλ' ἐπάνελθε τὴν ταχίστην, ὅθεν τυγχάνεις ἐλθὼν, λαβὼν καὶ ὃ ἧκες φέρων τῶν λόγων βάρος· οὐδὲν γὰρ ἂν κατορθοῖμεν. Ἡμᾶς δ' ἐῤῥῶσθαι καιρὸς ἐς τὸν πόλεμον· ὁπλίτης τοίνυν εὖ θέσθω τὴν ἀσπίδα, καὶ ἐπεμβάτης εὔστροφον παρεχέτω τὸν δίφρον· τὰ δὲ ἡνία συνεχῶς ἐν τοῖς τῶν ἵππων κινείσθω στόμασιν, ὥστε ἀφρῷ καταδεῦσαι τὴν τῶν Καδμείων χθόνα· εἶμι γὰρ ἐπὶ Θήβας ὁμόσε τῷ ξίφει, αὐτὸς ςρατηγός τε καὶ κήρυξ γιγνόμενος· σὲ δ', ὦ Ἄδραςε, ἀξιῶ μένειν ἥσυχον ᾧδε· οὐ γὰρ ἂν βουλοίμην μιγνύναι τὰς τύχας ἀμφοτέρων· ἀλλ' ἐγὼ μόνος ἐπὶ μόνῳ ἐμαυτῷ ἀγῶνα ἁγνὸς ἐν ἁγνῷ δορὶ ἀγωνίσομαι· εἴη δέ μοι μόνον τὸ θεῖον, ὃ δίκην σέβει, σύμμαχον ἔχειν· ἄμφω γὰρ ταῦτ' εἰς ἓν συνελθόντα, δίδωσι νίκην· ἀρετὴ δὲ μόνη ἄνευ τῆς τοῦ θείου ἐπικουρίας μάταιον ἀνθρώποις καὶ κοῦφον ἐξελέγχεται αὔχημα.

---

Ἴσως ἦν, ἁγνὸς ἐν ἁγνῷ δορί. ὅ ἐστι καθαρὸς τῆς σῆς φαύλης τύχης· ἐν ἄλλοις δὲ κεῖται, Καινὸς ἐν καινῷ. 595, Ταῦτα γὰρ] ἡ ἰδία ἀρετὴ, εἴτουν τύχη,

ΑΙ. Ὦ μέλεαι μελέων ματέρες λοχαγῶν, (Στρ. ά.)
Ὥς μοι ὑφ' ἥπατι δεῖμα χλοερὸν ταράσσει!
ΧΟ. Τίν' αὐδὰν τάνδε προσφέρεις νέαν;
ΑΙ. Στράτευμα μὲν Παλλάδος κριθήσεται.
ΧΟ. Διὰ δορὸς εἶπας, ἢ λόγων ξυναλλαγαῖς;
ΑΙ. Γένοιτ' ἂν κέρδος· εἰ δ' ἀρείφατοι φόνοι,
Μάχαι, στερνοτυπεῖς τ' ἀνὰ τόπον
Πάλιν φανήσονται κτύποι.
ΧΟ. Ὦ τάλαινα· τίνα λόγον,
Τίν' ἂν τῶνδ' αἰτίαν λάβοιμι;
ΑΙ. Ἀλλὰ τὸν εὐτυχίᾳ λαμπρὸν ἄν τις αἱροῖ (Ἀντ. α'.)
Μοῖρα πάλιν· τόδε μοι τὸ θράσος ἀμφιβαίνει.
ΧΟ. Δικαίους δαίμονας σύ γ' ἐννέπεις;
ΑΙ. Τίνες γὰρ ἄλλοι νέμουσι συμφοράς;
ΧΟ. Διάφορα πολλὰ θεῶν βροτοῖσιν εἰσορῶ.
ΑΙ. Φόβῳ γὰρ τῷ πάρος διόλλυσαι· δίκα
Δίκαν ἐξεκάλεσε καὶ φόνος
Φόνον, κακῶν δ' ἀναψυχὰς
Θεοὶ βροτοῖσι νέμουσι,
Πάντων τέρματ' ἔχοντες αὐτοί.
ΧΟ. Τὰ καλλέπυργα πεδία πῶς ἱκοίμεθ' ἄν, (Στρ. β'.)
Καλλίχορον θεᾶς ὕδωρ λιποῦσαι!;

---

καὶ ἡ εὔνοια τῶν θεῶν. 603. Γένοιτ' ἂν κέρδος] καλὸν μὲν ἦν λόγῳ συμβιβασθῆναι. πλὴν ὁρῶ τὸ πρᾶγμα οὐκ ἂν διαλυθησόμενον ἄνευ φόνου, τὸ δὲ Ἀρείφατος δηλοίη ὑπὸ Ἄρεως φανέντα ἢ φονευθέντα· ἢ ἁπλῶς τὸν ἀνδρεῖνο. 604. Ἀνὰ τοπον] διορθοῦσι τοῦτό τινες ἀνὰ πόλιν, ἢ ἀν' Ἀσωπόν. ἄλλως γὰρ ἀδιανόητον. 608. Ἄντις αἱρεῖ] οὕτως ἀντὶ τοῦ Ἄντις αἵρῃ μοῖρα πάλιν· ὅπερ

ΑΙ. Ὦ δύστηνοι δυστήνων τέκνων μητέρες, ὡς δεινὸν δέος μοι διὰ τοῦ ἥπατος ἥκει.

ΧΟ. Τίνα τοῦτον αὖ εἴρηκας λόγον;

ΑΙ. Ὁ τῆς Παλλάδος στρατὸς αὐτίκα μάλα κρίσιν ἕξει.

ΧΟ. Πότερον διὰ μάχης, ἢ λόγοις ξυμβάντες;

ΑΙ. Γένοιτ᾽ ἄν τι κέρδος τοῦτο· ἀλλὰ μάχη δεινὴ, καὶ φόνος ἐν τῷ αὐτῷ αὖθις τόπῳ κρότος τε πολὺς καὶ στεναγμὸς προσδόκιμός ἐστι· ταῦτα δὴ τὰ τοῦ Ἄρεως ἔργα.

ΧΟ. Ὦ τάλαιν᾽ ἐγὼ, τίν᾽ ἂν δικαίως αἰτιασαίμην τούτων;

ΑΙ. Ἐμὲ δ᾽ ὑποθάλπει ἐλπὶς, ὡς ἡ μοῖρα καθαιρήσει τὸν πρώην εὐτυχῆ γεγενημένον.

ΧΟ. Ἆρ᾽ αὐτὴ θεοὺς δικαίους εἶναι λέγεις;

ΑΙ. Τί δ᾽; οὐκ ἐξ ἐκείνων αἱ συμφοραὶ τῷ βίῳ;

ΧΟ. Ἀλλ᾽ οὐ πᾶσίγε νεμόμεναι ἀξίως.

ΑΙ. Σφαλερά σοι ἡ δόξα αὕτη τῷ προκατειλῆφθαι φόβῳ· παρὰ μὲν γὰρ βροτοῖς δίκη δίκην ἐκκαλεῖ, καί φόνος φόνου διάδοχος γίγνεται· οἱ δὲ θεοὶ ὡς πάντα διοικοῦντες, ἀνακουφίζουσι τῶν κακῶν τοὺς αὐτῶν δεομένους.

ΧΟ. Πῶς ἂν καταλιποῦσαι τὸ Καλλίχορον τοῦτο φρέαρ τῆς θεᾶς, ἔλθοιμεν εἰς τὰ καλλίπυργα τῶν Καδμείων πεδία;

---

οὐκ ἂν εἴη καλῶς ἔχον. τό,τε γὰρ αἵρῃ ἐν ὑποτακτικῷ, καὶ τὰ ἡγούμενα καὶ ἑπόμενα ἀμφιῤῥεπῆ ὄντα, σκοτεινὸν ποιοῦσι τὸ χωρίον· πότερον γὰρ, Κρέοντα εὐτυχῆ καὶ λαμπρὸν διὰ τὴν προηγουμένην νίκην ἐννοητέον· ἢ Θησέα διὰ τὴν πρὸς Ἀμαζόνας εὐτυχίαν; οὕτω δ᾽ ἀμφιῤῥεπὲς διὰ τὸν αὐτὸν λόγον ἐστι καὶ τὸ, Πάλιν· διὸ καὶ νοητέον οὕτως; Ἀλλὰ τὸν εὐτυχῆ (Κρέοντα)... Ἄντις αἱροῖ (καθαιροῖ) μοῖρα πάλιν (ὀπίσω, εἰς δυστυχίαν)· διὸ καὶ ἐπιφέρει, (ὡς ἀπιστῶν ὁ Χορὸς διὰ τὸ πάθος εἶναι θεούς. Ἴδ. 733) δικαίους ἄρα σὺ νομίζεις θεοὺς εἶναι· καὶ τὰ λοιπὰ ὁμοίως ἐφαρμοσθεῖεν ἄν. 615. Ἀντὶ Κακῶν δ᾽ ἀνὰ ψυχὰς

ΑΙ. Ποτανὰν εἴ τις θεῶν κτίσαι.
ΧΟ. Διπόταμον ἵνα πόλιν μόλω;
ΑΙ. Εἰδείης ἂν φίλων,
Εἰδείης ἂν τύχας.
Ἔτι ποτ' αἶσα· τίς ἄρα πότμος
Ἐπιμένει τὸν ἄλκιμον
Τᾶσδε γᾶς ἄνακτα;
ΧΟ. Κεκλημένους μὲν ἀνακαλούμεθ' αὖ θεούς. (Ἀντ. β΄.)
Ἀλλὰ φόβων πίστις ἅδε πρώτα.
Ἰὼ Ζεῦ, τᾶς παλαιομάτορος
Παιδογόνε πόριος Ἰνάχου!
Πόλει μοι ξύμμαχος
Γενοῦ τᾷδ' εὐμενής.
Τὸ σὸν ἄγαλμα, τὸ σὸν ἵδρυμα
Πόλεος ἐκκομίζομαι
Πρὸς πυρὰν, ὑβρισθέν.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

## ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΑΔΡΑΣΤΟΣ.

ΑΓ. Γυναῖκες, ἥκω πόλλ' ἔχων λέγειν φίλα,
Αὐτός τε σωθεὶς (ἡρέθην γὰρ ἐν μάχῃ,

ἔγραψα ἐξ ἑτέρας γραφῆς, Κακῶν δ' ἀναψυχάς. 624. Ἔτι ποτ' αἶσα] ἐν ἄλλοις δὲ, τίποτ' αἶσα· δοκεῖ δὲ ἐνταῦθα ἡ Αἴθρα ἐνδιαθέτως ἀποδεδωκέναι τὸ πλῆρες τοῦ λόγου διὰ δυσφημίαν· ὡς εἰ ἔλεγεν ἐντελῶς, Ἔτι ποτ' αἶσά ἐ.

ΑΙ. Εἴθε θεῶν τίς σε θείη πτηνήν.

ΧΟ. Ἵν' ἔλθω εἰς τὴν διπόταμον πόλιν.

ΑΙ. Εἰδείης ἐκεῖ τοὺς φίλους· ἡ γὰρ μοῖρα αὐτῶν ἔτ' ἀμφίβολος· ποία ἄρα τύχη ἐπιμένει τὸν τῶν Ἀθηνῶν ἡγεμόνα;

ΧΟ. Ἐπικαλώμεθ' αὖ πάλιν τοὺς θεούς· τούτοις γὰρ μάλιστα καταφεύγειν πεφύκασιν οἱ φοβούμενοι.

Ὦ Ζεῦ συνευνέτα τῆς προμήτορος ἡμῶν Ἰοῦς τῆς θυγατρὸς Ἰνάχου, γενοῦ μοι τῆς πόλεως τῆςδε σύμμαχος εὐμενής, ὅπως τοὺς ἐμοὺς παῖδας τὸ τῆς πόλεως στήριγμα, ᾧ σὺ χαίρων ἀγάλλῃ, ὑβρισθέντας εἰς ταφὴν ἐκκομίσω.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

## ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΑΔΡΑΣΤΟΣ.

ΑΓ. Γυναῖκες, ἁλοὺς αἰχμάλωτος πρώην ἐν τῇ μάχῃ τῶν ἑπτὰ ϛρατηγῶν τῶν ὑπὸ τῇ Καδμείᾳ παρὰ τῇ Δίρκῃ

---

ϛιν ἀμφίβολος· τοῦτο δὲ συγκόψασα, ἐπιφέρει τὰ ἑξῆς· τίς ἄρα πότμος; Ἔϛι δὲ Αἶσα ἡ ἄϊστος καὶ ἄγνωστος αἰτία τῶν γενομένων· δεῖ δὲ εἰδέναι κἀκεῖνο, ὅτι ἀντὶ τῆς Αἴθρας εἰσάγουσί τινες τὸ πρόσωπον τοῦ Ἀδράστου, ὡς προαναχωρησάσης ἐκείνης σὺν Θησεῖ (ἴδε ἀνωτέρω στίχ. 360. καί τοι καὶ τοῦτ' οὐ σαφές· εἰμὴ εἰσήχθη πάλιν· ἄλλοι διεῖλον ταῦτα εἰς Ἡμιχόρια. 628. Ἀλλὰ φόβων] τοῦτο ἐντιθέασί τινες τῷ τοῦ Ἀδράστῳ ϛόματι· τὰ δὲ ἑξῆς αὖθις τῷ Χορῷ. 635. Τὸ σὸν ἄγαλμα] καὶ τοῦτο τῶν ἀπορωτάτων ἔμοιγε· καὶ οὐκ ἂν ἄλλως ἔχοι, ἢ ὡς παρέφρασα ἔγωγε, εἰμή τις εἴποι διὰ τὸ κατάγεσθαι αὐτῶς

Ἵν' οἱ θανόντων ἑπτὰ δεσποτῶν λόχοι
Ἠγωνίσαντο, ῥεῦμα Διρκαῖον πάρα)
Νίκην τε Θησέως ἀγγελῶν· λόγου δέ σε
Μακροῦ 'ποπαύσω· Καπανέως γὰρ ἦν λάτρις,
Ὃν Ζεὺς κεραυνῷ πυρπόλῳ καταιθαλοῖ.
ΧΟ. Ὦ φίλτατ', εὖ μὲν νόστον ἀγγέλεις σέθεν,
Τήν τ' ἀμφὶ Θησέως βάξιν· εἰ δὲ καὶ στρατὸς
Σῶς ἐστ' Ἀθηνῶν, πάντ' ἂν ἀγγέλλοις φίλα.
ΑΓ. Σῶς, καὶ πεπραγμέν', ὡς Ἄδραστος ὤφελε
Πρᾶξαι ξὺν Ἀργείοισιν, ὡς ἀπ' Ἰνάχου
Στείλας ἐπεστράτευσε Καδμείων πόλιν.
ΧΟ. Πῶς γὰρ τρόπαια Ζηνὸς Αἰγέως τόκος
Ἔστησεν, οἵ τε συμμετασχόντες δορός;
Λέξον· παρὼν γὰρ, τοὺς ἀπόντας εὐφρανεῖς.
ΑΓ. Λαμπρὰ μὲν ἀκτὶς ἡλίου, κανὼν σαφὴς,
Ἔβαλλε γαῖαν· ἀμφὶ δ' Ἠλέκτρας πύλας
Ἔστην θεατὴς, πύργον εὐαυγῆ λαβών.
Ὁρῶ δὲ φῦλα τρία τριῶν στρατευμάτων,
Τευχεσφόρον μὲν λαὸν ἐκτείνοντ' ἄνω
Ἰσμήνιον πρὸς ὄχθον, ὡς μὲν ἦν λόγος,
Αὐτόν τ' ἄνακτα, παῖδα κλεινὸν Αἰγέως,
Καὶ τοὺς ξὺν αὐτῷ δεξιὸν τεταγμένους
Κέρας παλαιᾶς Κεκροπίας οἰκήτορας·
Λαιὸν δὲ Πάραλον, ἐστολισμένον δορὶ,
Κρήνην παρ' αὐτὴν Ἄρεως, ἱππότην τ' ὄχλον

---

ἐκ Ταντάλου τῶν Διός. 549. Ζηνὸς] κτητικῶς ἀποδοτέον τοῦτο πρὸς τὸ τρόπαια, εἰμή τι διέφθαρται, ὅτις διορθοῖ οὕτω· τρόπαι' ὁ κλεινὸς Αἰγέως τόκος

ἀποθανόντων, ὑπηρέτης ὢν Καπανέως τοῦ κεραυνωθέντος ὑπὸ τοῦ Διός, ἥκω νῦν ἀποδρᾶς, τοῦτ' αὐτὸ τήντ' ἐμὴν σωτηρίαν, καὶ τὴν νίκην τὴν Θησέως ὑμῖν ἀγγελῶν· μηδὲ περίμενε παρ' ἐμοῦ, πολλὰ ἀκοῦσαι.

ΧΟ. Ὦ φίλτατε, ὡς εὖ μὲν τὴν σαυτοῦ ἡμῖν ἀγγέλλεις νόςον· εὖ δὲ καὶ τὴν Θησέως νίκην· εἰ δὲ καὶ τὸν τῶν Ἀθηναίων στρατὸν ἡμῖν ἀγγέλοις σῶον, πάνθ' ἡμῖν ἐρεῖς ἥδιστα.

ΑΓ. Σῶςγ' ἐκεῖνός ἐςι· καὶ πάντα πέπρακται, ὥσπερ ὤφειλε καὶ Ἄδραςος πρᾶξαι, ἡνίκ' ἐπῆγεν Ἀργείους ἐπὶ τὴν Καδμείαν.

ΧΟ. Ἀλλ' οὐκ ἂν φθάνοις εἰπεῖν ἡμῖν, ὅπως ποτὲ οἱ ἀμφὶ τὸν Αἰγέως ἔςησαν τρόπαιον; ἰδὼν γὰρ αὐτὸς, εὐφρανεῖς ἡμᾶς τῷ λόγῳ τοὺς μὴ παρόντας ἐκείνοις μαχομένοις.

ΑΓ. Σταθερὰ μὲν ἦν μεσημβρία, τοῦ ἡλίου ἐν μεσουρανήματι γενομένου, κἀγὼ ἐν περιόπτῳ πύργῳ κατὰ τὰς Ἠλέκτρας πύλας καθήμενος, ἐθεώμην πάντα ὡς ἐκ περιωπῆς· ἐν δὲ τούτῳ ὁρῶ στρατὸν καταλάμποντα ὅπλοις, ἐν τρισὶ συντάγμασιν ἐπιόντα· ὧν τὸ μὲν ὁπλητικὸν κατέτεινεν ἄνω παρὰ τὰς ὄχθας τοῦ Ἰσμηνοῦ· οὗ τὸ μὲν δεξιὸν ἐπεῖχον οἱ τῆς ἀρχαίας Κεκροπίδος οἰκήτορες, ὧν Θησεὺς αὐτὸς ἡγεῖσθαι ἐλέγετο· τὸ δ' εὐώνυμον εἶχον οἱ Πάραλοι δορυφόροι παρ' αὐτὴν τὴν τοῦ Ἄρεως κρήνην· τὸ δ' αὖ ἱππικὸν ἴσῳ ἀριθμῷ παρεςοί-

---

652. Κανὼν σαφής] ἐν μεσημβρίᾳ κανὼν γὰρ ὁ ζυγὸς τῆς Τρυτάνης· οὕτω δὲ καὶ ἡ ἡμέρα ἰσοζυγεῖ εν μεσημβρίᾳ. 654. Εὐαυγῆ] ἀντὶ τοῦ περιαυγῆ

Πρὸς κρασπέδοισι στρατοπέδου τεταγμένον
Ἴσους ἀριθμόν· ἁρμάτων δ' ὀχήματα
Ἔνερθε σεμνῶν μνημάτων Ἀμφίονος.
Κάδμου δὲ λαὸς ἧστο πρόσθε τειχέων,
Νεκροὺς ὄπισθε θέμενος, ὧν ἔκειτ' ἀγών.
Ἱππεῦσί θ' ἱππῆς ἦσαν ἀνθωπλισμένοι,
Τετραόροισί τ' ἀντί' ἅρμαθ' ἅρμασιν.
Κήρυξ δὲ Θησέως εἶπεν ἐς πάντας τάδε·
Σιγᾶτε, λαοὶ, σῖγα, Καδμείων στίχες,
Ἀκούσαθ'· ἡμεῖς ἥκομεν νεκροὺς μέτα,
Θάψαι θέλοντες, τὸν Πανελλήνων νόμον
Σώζοντες, οὐδὲν δεόμενοι τεῖναι φόνον.
Κοὐδὲν Κρέων τοῖσδ' ἀντεκήρυξεν λόγοις,
Ἀλλ' ἧστ' ἐφ' ὅπλοις σῖγα. ποιμένες δ' ὄχων
Τετραόρων κατῆρχον ἐντεῦθεν μάχης·
Πέραν δὲ διελάσαντες ἀλλήλων ὄχους,
Παραιβάτας ἔστησαν ἐς τάξιν δορός.
Χοἱ μὲν σιδήρῳ διεμάχονθ', οἱ δὲ ἔστρεφον
Πώλους ἐς ἀλκὴν αὖθις ἐς παραιβάτας.
Ἰδὼν δὲ Φόρβας, ὃς μοναμπύκων ἄναξ
Ἦν τοῖς Ἐρεχθείδαισιν, ἁρμάτων ὄχον,
Οἵ τ' αὖ τὸ Κάδμου διεφύλασσον ἱππικὸν,
Συνῆψαν ἀλκὴν, καὶ 'κράτουν, ἡσσῶντό τε.
Λεύσσων δὲ ταῦτα, κοὐ κλύων, (ἐκεῖ γὰρ ἦν,

---

περίοπτον· 678. Πέραν . . . ἀλλήλων] ἀντὶ τοῦ εἰπεῖν προσωτέρω ἑαυτῶν γενόμενος, ἔστησαν τοὺς παραιβάτας· εἰμή τι γραπτέον ἄμεινον Πέλας ἀντὶ τοῦ Πέραν. ἦσαν δὲ παραβάται οἱ παρὰ τοῖς ἐν δίφροις πεζεύοντες, ἵν' εἴτις

χιζε τὸ πεζὸν ἐκ τοῦ εὐωνύμου· τὰ δ' ὀχήματα ἵσταντο ὄπισθεν τοῦ μνήματος τοῦ Ἀμφίονος δεξιόθεν· οὕτω μὲν οὗτοι τάξεως εἶχον· οἱ δ' αὖ Καδμεῖοι καὶ αὐτοὶ παρετάξαντο πρὸ τῶν τειχῶν, ὄπισθεν τοὺς τῶν Ἀργείων νεκροὺς, περὶ ὧν ἦν αὐτοῖς ὁ ἀγὼν, ποιησάμενοι· ἀντιπαρετάξαντο δὲ ἱππεῖς τε ἱππεῦσι, καὶ ἅρμασιν ἅρματα· κἀνταῦθα κήρυξ Θησέως προϊὼν εἰς μέσους, ἔφη τοιάδε. Σῖγα πᾶς ἔστω λεὼς, ἀκούσατε πάντες ὑμεῖς οἱ Καδμεῖοι· ἡμεῖς μὲν οὐχ ἥκομεν βλάψοντες ὑμῶν οὐδένα· τοὺς δὲ νεκροὺς τῶν Ἀργείων ἐκκομιούμενοι, τὸν τῶν Ἑλλήνων διασώζοντες νόμον. ταῦτα μὲν οὗτος· ὡς δὲ Κρέων οὐδὲν ἀπεκρίνατο, ἀλλὰ καθῆστο σιγῇ, προσέχων τοῖς ὅπλοις, ἦρξαν μάχης πρῶτοι οἱ ἐπὶ τῶν ἁρμάτων· προσωτέρω γὰρ γενόμενοι ἑαυτῶν, ἔστησαν τοὺς παραβάτας ἐν τάξει τοῦ μάχεσθαι· καὶ οὗτοι μὲν συστραφέντες, ἐμάχοντο ἐκ χειρός· οἱ δὲ ἁρματηλάται, ὥσπερ ἐν τοῖς ναυτικοῖς περίπλους ποιούμενοι, ἔστρεφον, ὡς ἀπὸ νέας ἐφόδου ἐπαμύνειν τοῖς ἑαυτῶν παραβάταις· ἐν δὲ τούτοις ὅ,τε Φόρβας, ὃς ἡγεμὼν ἦν τοῦ τῶν Ἀθηναίων ἱππικοῦ, καὶ οἱ τὸ τοῦ Κρέοντος παραφυλάσσοντες Ἀθηναῖοι, ἰδόντες τὰ τῶν πολεμίων ὀχήματα ἄτακτα, ἐπιτίθενται· καὶ συμμίξαντες, ἐμάχοντο ἴσῃ ῥοπῇ ἑκατέρωθεν· καὶ ἦν σύμμικτόν τι δεινόν. καίτοι γὰρ ἰδὼν αὐτὸς, οὐ παρ' ἄλλων ἀκηκοὼς (ἔτυχον γὰρ πα-

---

ἐκείνων πέσοι, ἀντικαταστῇ ἄλλος ἐν τῷ δίφρῳ. 683. Ἁρμάτων ὄχον] τοὺς τῶν Θηβαίων ἁρματηλάτας περιφραστικῶς, ὡς καὶ ἀνωτέρω μικρὸν στίχ. 662. τινὲς δὲ γράφουσιν ὄχλον, ἀντὶ τοῦ ὄχον· ἵνα ᾖ ἐννοεῖν ταραχὴν καὶ ἀταξίαν

Ἔνθ' ἅρματ' ἠγωνίζεθ', οἵ τ' ἐπεμβάται,)
Τἀκεῖ παρόντα πολλὰ πήματ', οὐκ ἔχω,
Τί πρῶτον εἴπω, πότερα τὴν ἐς οὐρανὸν
Κόνιν προσαντέλλουσαν, ὡς πολλὴ παρῆν,
Ἢ τοὺς ἄνω τε καὶ κάτω φορουμένους
Ἱμᾶσιν, αἵματός τε φοινίου ῥοὰς,
Τῶν μὲν πιτνόντων, τῶν δὲ, θραυσθέντων δίφρων,
Ἐς κρᾶτα πρὸς γῆν ἐκκυβιστώντων βίᾳ,
Πρὸς ἁρμάτων τ' ἀγαῖσι λειπόντων βίον.
Νικῶντα δ' ἵπποις ὡς ὑπείδετο στρατὸν
Κρέων τὸν ἐνθένδ', ἰτέαν λαβὼν χερὶ
Χωρεῖ, πρὶν ἐλθεῖν ξυμμάχοις δυσθυμίαν.
Καὶ μὴν τὰ Θησέως γ' οὐκ ὄκνῳ διεφθάρη·
Ἀλλ' ἵετ' εὐθὺς, λάμπρ' ἀναρπάσας ὅπλα.
Καὶ συμπατάξαντες μέσον πάντα στρατὸν,
Ἔκτεινον, ἐκτείνοντο, καὶ παρηγγύων
Κελευσμὸν ἀλλήλοισι σὺν πολλῇ βοῇ,
Θεῖν', ἀντέρειδε τοῖς Ἐρεχθείδαις δόρυ.
Λόχος δ', ὀδόντων ὄφεος ἐξηνδρωμένος,
Δεινὸς παλαιστὴς ἦν· ἔκλινε γὰρ κέρας
Τὸ λαιὸν ἡμῶν· δεξιοῦ δ' ἡσσώμενον
Φεύγει τὸ κείνων, ἦν δ' ἀγὼν ἰσόῤῥοπος.
Κἀν τῷδε τὸν στρατηγὸν αἰνέσαι παρῆν·
Οὐ γὰρ τὸ νικῶν τοῦτ' ἐκέρδαινεν μόνον,
Ἀλλ' ᾤχετ' ἐς τὸ κάμνον οἰκείου στρατοῦ.

---

ἐν τοῖς ἅρμασιν καθ' ὃ καὶ μετέφρασταί μοι. 691. Τάς . . . . φερομένας] οὐ φαύλως διορθοῦσι καὶ τοῦτό τινες εἰς τὸ, τοὺς φορουμένους· ὃ καὶ ἐδεξάμην καὶ γὰρ καὶ ὁ Τε ἐπιφερόμενος διαιρεῖ εἰς

ρῶν τοῖς ἀπὸ τῶν ἁρμάτων ἀγωνιζομένοις) ἀλλὰ τί πρῶτον, τί δ' ὕςατον εἴπω; πότερον τὴν ἐςτ' ἐπὶ τὰ νέφη ἡλίκην ὅσην ἀναβαίνουσαν κόνιν, ἢ τοὺς ἐμπλακέντας τοῖς λώροις τῶν δίφρων ἄνω καὶ κάτω ἐν ταῖς τοῦ αἵματος φερομένους ῥοαῖς, τῶν μὲν πιπτόντων, τῶν δ' ἐπὶ κεφαλὴν ἀνατρεπομένων, καὶ συντριβομένων ὑπὸ θραυομένοις δίφροις; Κρέων δ' οὖν ἰδὼν ἐν τούτῳ τὸ τῶν Ἀθηναίων ἱππικὸν ἐνταῦθα πλέον ἔχον, λαβὼν τὴν ἀσπίδα, πρὶν ἢ ἀθυμίαν τοῖς συμμάχοις ἰδοῦσι γενέσθαι, ἐξορμᾷ τῷ πεζῷ ὁμόσε ἐπὶ τοὺς Ἀθηναίους· ἀλλ' οὐδὲ Θησεὺς ἐνταῦθα μαλακώτερον ἔσχεν. ἀναρπάσας γὰρ τὰ ὅπλα, συνέμιξε μέσοις· κἀνταῦθα κτύπος καὶ φόνος ἦν πολὺς ὠθούντων, ὠθουμένων, ἀναιρούντων, ἀναιρουμένων· καὶ παρακελευσμὸς σὺν πολλῇ τῶν παρεγγυώντων βοῇ ἦν ἐκεῖνος. Κτεῖνε, ἀντέρειδε τοῖς Ἐρεχθείδαις ἐῤῥωμένως τὸ δόρυ· οἱ δὲ Σπαρτοὶ ἔῤῥωντο μάλιστα ἐπὶ τούτοις· κἀν τούτῳ διεῤῥάγη ἑκατέροις ἡ φάλαγξ, ἡττηθέντων ἑκατέρων ἡμῶν ἐν τῷ εὐωνύμῳ· καὶ ἦν ἡ μάχη ἀμφιῤῥεπής· ἀλλ' ἐνταῦθα παρῆν μάλιστα θαυμάσαι Θησέα· νικῶν γὰρ τῷ δεξιῷ οὐκ ἐπεξῆλθεν ἐπὶ πολὺ τῇ διώξει· ἀλλ' ἅμα τροπῆς γενομένης τῶν ἐναντίων, τοῦτο καλῶς κερδάνας, ἐτράπετο

---

δεύτερον κόμμα τὸ, ῥοάς. 693. Τῶν δὲ, θραυσθέντων δίφρων] συντακτέον τὸ, τῶν δὲ, πρὸς τὸ κυβιςώντων ἑπομένως. 697. Ἰτέαν] τὴν ἐξ ἰτέας ἀσπίδα· καθάπερ καὶ Ὅμηρος μελίαν ἔφη τὸ δόρυ τοῦ Ἀχιλλέως τὸ ἐκ μελίας ὂν Πηλιάδα μελίην. 705. Ὀδόντων ὄφεος] τῶν Σπαρτῶν. Ἴδε Φοινισ.

Ἔῤῥηξε δ' αὐδὴν, ὥσθ' ὑπηχῆσαι χθόνα·
Ὦ παῖδες, εἰ μὴ σχήσετε στεῤῥὸν δόρυ
Σπαρτῶν τόδ' ἀνδρῶν, οἴχεται τὰ Παλλάδος.
Θάρσος δ' ἐνῶρσε παντὶ Κραναϊδῶν στρατῷ.
Αὐτός θ' ὅπλισμα τοὐπιδαύριον λαβὼν
δεινῆς κορύνης, διαφέρων ἐσφενδόνα
Ὁμοῦ τραχήλους κἀπικείμενον κάρα,
Κυνέας θερίζων, κἀποκαυλίζων ξύλῳ.
Μόλις δέ πως ἔτρεψαν ἐς φυγὴν πόδα.
Ἐγὼ δ' ἀνηλάλαξα κἀνωρχησάμην,
Κἄκρουσα χεῖρας. οἱ δ' ἔτεινον ἐς πύλας.
Βοὴ δὲ καὶ κωκυτὸς ἦν ἀνὰ πτόλιν
Νέων, γερόντων, ἱερά τ' ἐξεπίμπλασαν
Φόβῳ. παρὸν δὲ τειχέων εἴσω μολεῖν,
Θησεὺς ἐπέσχεν· οὐ γὰρ ὡς πέρσων πόλιν
Μολεῖν ἔφασκεν, ἀλλ' ἀπαιτήσων νεκρούς.
Τοιόνδε τὸν στρατηγὸν αἱρεῖσθαι χρεὼν,
Ὃν ἔν τε τοῖς δεινοῖσιν ἐστὶν ἄλκιμος,
Μισεῖ θ' ὑβριστὴν λαὸν, ὃς, πράσσων καλῶς,
Ἐς ἄκρα βῆναι κλιμάκων ἐνήλατα
Ζητῶν, ἀπώλεσ' ὄλβον, ᾧ χρῆσθαι παρῆν.

716. Τοὐπιδαύριον] ὃ ἐν Ἐπιδαύρῳ εἰλήφει, ἀποκτείνας τὸν Περιφήτην· περὶ οὗ Πλούταρχος εἰς Θησέα Ή. ἐκεῖνα· Καὶ πρῶτον μὲν ἐν τῇ Ἐπιδαυρίᾳ Περιφήτην, ὅπλῳ χρώμενον κορύνῃ, καὶ διὰ τοῦτο κορυνήτην ἐπικαλούμενον, ἀπτόμενον αὐτοῦ, καὶ κωλύοντα προάγειν, συλλαβὼν ἀπέκτεινεν· ἡσθεὶς δὲ τῇ

εὐθὺς πρὸς τὸ πεπονηκός· ῥήξας δὲ φωνὴν, οἷον αὐτὴν τὴν γῆν ἀντηχῆσαι, ὦ παῖδες, εἶπεν, εἰμὴ τὸ τῶν Σπαρτῶν ἐπισχήσετε δόρυ, οἰχήσεται τὰ τῆς Ἀθηνᾶς. ταῦτα δ' εἰπὼν ἐνέβαλε θάῤῥος παντὶ τῷ ϛρατῷ· αὐτός τε τὴν ἐπιδαύριον κορύνην ἀναλαβὼν, καὶ ἐπιπεσὼν πολλῷ τῷ θυμῷ τοῖς ἐχθροῖς, ἔκοπτεν ἑκατέρωθεν· ὥςτ' εἶδες ἂν περικεφαλαίας τε ἀποκαυλιζομένας, καὶ κεφαλὰς ἀπὸ τῶν τραχήλων ἐκσφενδονωμένας εἰς τὸν αἰθέρα. ἐν δὲ τούτῳ ἐγὼ, ἅμ' ἰδὼν αὐτὸν τρέψαντα εἰς φυγὴν τοὺς ἐχθροὺς, ἀλαλάξας, καὶ κρούσας τὰς χεῖρας, ἀνεπήδησα ὑφ' ἡδονῆς. οἱ δὲ ἔτεινον πρὸς τὰς πύλας, κἀτεῦθεν κωκυτὸς καὶ ὠθισμὸς πολὺς ἦν ἀνὰ πᾶσαν τὴν πόλιν παίδων τε καὶ γερόντων, καταφευγόντων τῷ φόβῳ εἰς τὰ ἱερά· Θησεὺς δὲ, ἐξὸν αὐτῷ συνεισπεσεῖν εἰς τὴν πόλιν, ἐπέσχεν· ἐλθεῖν γὰρ ἔφη οὐχ αἱρήσων τὴν πόλιν, ἀλλὰ τοὺς νεκροὺς ἐκκομίσων· ἔδειξε δ' ἔργῳ, οἷον δεῖ εἶναι τὸν ϛρατηγὸν, ἐν μὲν τοῖς δεινοῖς γενόμενος κράτιστος, μετριώτατος δ' ἐν τῇ νίκῃ, οὐκ ἐπαινῶν, εἴτις ἐπιθυμίᾳ τοῦ πλέον ἔχειν ἀπώλεσε καὶ ἣν ἐτύγχανε κεκτημένος εὐδαιμονίαν.

---

κορύνῃ, λαβὼν, ὅπλον ἐποιήσατο, καὶ διετέλει χρώμενος, ὥσπερ ὁ Ἡρακλῆς τῷ τοῦ λέοντος δέρματι. Τὸ δὲ Διαφέρων, πανταχοῦ κινῶν βούλεται λέγειν 715. Κραναϊδῶν ἀπὸ τοῦ Κραναός· ἐν ἄλλοις Δαναϊδῶν. 731. Ἐνήλατα]· τὰ ὀρθὰ καὶ μακρὰ ξύλα τῆς κλίμακος, ἐφ' ὧν αἱ βαθμῖδες· δοκεῖ δὲ καθάπτεσ-

ΧΟ. Νῦν τήνδ' ἄελπτον ἡμέραν ἰδοῦσ' ἐγὼ,
Θεοὺς νομίζω, καὶ δοκῶ τῆς συμφορᾶς
Ἔχειν ἔλασσον, τῶνδε τισάντων δίκην.
ΑΔ. Ὦ Ζεῦ, τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς
Φρονεῖν λέγουσι; σοῦ γὰρ ἐξηρτήμεθα,
Δρῶμέν τε τοιαῦθ', ἃ 'ν σὺ τυγχάνῃς θέλων.
Ἡμῖν γὰρ ἦν τό τ' Ἄργος οὐχ ὑποστατὸν,
Αὐτοί τε πολλοὶ καὶ νέοι βραχίοσιν,
Ἐτεοκλέους τε σύμβασιν ποιουμένου,
Μέτρια θέλοντος, οὐκ ἐχρῄζομεν λαβεῖν,
Κἄπειτ' ἀπωλόμεσθ'· ὁ δ' αὖ τότ' εὐτυχὴς,
Λαβὼν πένης ὡς ἀρτίπλουτα χρήματα,
Ὕβριζ'· ὑβρίζων τ' αὖθις, ἀνταπώλετο
Κάδμου κακόφρων λαός· Ὦ κενοὶ βροτῶν,
Οἳ τόξον ἐντείνοντες ὡς καιροῦ πέρα,
Καὶ πρὸς δίκης γε πολλὰ πάσχοντες κακὰ,
Φίλοις μὲν οὐ πείθεσθε, τοῖς δὲ πράγμασιν,
Πόλεις τ' ἔχουσαι διὰ λόγου κάμψαι κακὰ,
Φόνῳ καθαιρεῖσθ', οὐ λόγῳ, τὰ πράγματα.
Ἀτὰρ τί ταῦτα; κεῖνο βούλομαι μαθεῖν,
Πῶς ἐξεσώθης. εἶτα τἄλλ' ἐρήσομαι.
ΑΓ Ἐπεὶ ταραγμὸς πόλιν ἐκίνησεν δορὶ,
Πύλας διῆλθον, ᾗπερ εἰσῄει στρατός.
ΑΔ. Ὧν δ' οὕνεχ' ἀγὼν ἦν, νεκροὺς κομίζετε;

---

θαι τούτοις τοῦ Καπανέως. Ἴδε Φοίνισ. στίχ. 1196. 734. Θεοὺς νομίζω] παράβαλε ταῦτα πρὸς τὰ εἰρημένα στίχ. 610. 739. Ἄργος] ἐν ἄλλοις κεῖται, ἄλγος, καὶ ἔγχος. 747. Ὡς καιροῦ πέρα] τὸ μὲν Ὡς, ἐπιτατικόν. τὸ δὲ Καὶ·

ΧΟ. Οὐκοῦν οὐκ ἔσθ' ὅπως μὴ οὐχὶ νομιῶ θεοὺς εἶναι, τὴν ἀνέλπιστον ταύτην ἰδοῦσα ἡμέραν· ἐφ' ᾧ καὶ τὰς συμφορὰς μετριώτερον οἴσω, ἐκείνων διδόντων δίκην.

ΑΔ. Ὦ Ζεῦ, τίποτε φρονεῖν φαμὲν τοὺς ταλαιπώρους ἀνθρώπους; σοῦ γὰρ ἐξηρτήμεθα πάντες· καὶ πράττομέν γε, ἃ ἂν αὐτὸς ἐθέλῃς· αὐτίκα γὰρ τό,τ' Ἄργος ἡμῶν ἀνυπόστατον ἦν, καὶ ἡμεῖς γε πολλοὶ, καὶ βραχίοσιν ἰσχυροὶ, ἀλλ' οὐκ ἐδεξάμεθα σύνβασιν πρὸς τοὺς πολεμίους ποιήσασθαι, καίτοι μέτρια Ἐτεοκλέους παρεχομένου· ἐξ οὗ καὶ ἀπολώλαμεν· ὁ δ' αὖ τότ' εὐτυχήσας λαὸς τῶν Καδμείων, ἐξύβριζεν, ὡς πένης ὑψίπλουτος καταστάς· καὶ ἐξυβρίσας, ἐν μέρει ἀπώλετο. Ὦ ἄνθρωποι ματαιόφρονες, οἱ τὸ τῆς φρονήσεως ὑπερτείνοντες τόξον, καὶ πολλάκις παρὰ τῆς δίκης πολλὰ παιδευόμενοι, τί δήποτ' οὐ φίλων πείθεσθε λόγοις, ἀλλ' ὑπὸ τῶν πραγμάτων, παρελθόντων τῶν λόγων, διδάσκεσθε ὅ,τι ἐχρῆν ποιεῖν πρὶν ἢ ἐν τούτοις γενέσθαι; καὶ αἱ πόλεις ὁμοίως, τί δήποτ' οὐ λόγῳ, ἀλλὰ φόνῳ μᾶλλον τὰ διάφορα λύεσθε; ἀλλὰ περὶ τούτων τί με δεῖ φιλοσοφεῖν, ἐκεῖνο δὲ νῦν μαθεῖν βούλομαι, ὅπως ἀποδρὰς διεσώθης.

ΑΓ. Κινήσεως οὔσης ἐν τῇ πόλει μεγίστης, ὑπεξῆλθον διὰ τῶν πυλῶν, δι' ὧν ὁ στρατὸς εἰσῄει.

ΑΔ. Τίδε; τοὺς νεκροὺς, περὶ ὧν ὁ ἀγὼν, κομίζετε ὧδε

---

ρου πέρα, ἐκτὸς τοῦ συμφέροντος βούλεται λέγειν. καιρὸς γὰρ παρὰ τῷ ποιητῇ ἀντὶ τοῦ ὠφελίμου πολλάκις λαμβάνεται. 749. Φίλοις μὲν οὐ πείθεσθε.] ἑαυτὸν δοκεῖ Ἄδραστος μέμφεσθαι, μὴ πεισθεὶς Ἀμφιάρεῳ κωλύοντι

ΑΓ. Ὅσοι γε κλεινοῖς ἑπτ' ἐφέστασαν λόχοις.
ΑΔ. Πῶς φής; ὁ δ' ἄλλος ποῦ κεκμηκότων ὄχλος;
ΑΓ. Τάφῳ δέδονται πρὸς Κιθαιρῶνος πτυχαῖς.
ΑΔ. Τοὐκεῖθεν, ἢ τοὐνθένδε; τίς δ' ἔθαψέ νιν;
ΑΓ. Θησεὺς, σκιώδης ἔνθ' Ἐλευθερὶς πέτρα.
ΑΔ. Οὓς δ' οὐκ ἔθαψε, πῇ νεκροὺς ἥκεις λιπών;
ΑΓ. Ἐγγύς· πέλας γὰρ πᾶν, ὅ,τι σπουδάζεται.
ΑΔ. Ἦπου πικρῶς νιν θέραπες ἦγον ἐκ φόνου;
ΑΓ. Οὐδεὶς ἐπέστη τῷδε, δοῦλος ὤν, πόνῳ.
Φαίης ἂν, εἰ παρῆσθ', ὅτ' ἠγάπα νεκρούς.
ΑΔ. Ἔνιψεν αὐτὸς τῶν ταλαιπώρων σφαγάς;
ΑΓ. Κἄστρωσέ γ' εὐνὰς, κἀκάλυψε σώματα.
ΑΔ. Δεινὸν μὲν ἦν βάσταγμα κἀσχύνην ἔχον.
ΑΓ. Τί δ' αἰσχρὸν ἀνθρώποισι τἀλλήλων κακά;
ΑΔ. Οἴ μοι! πόσῳ σφιν συνθανεῖν. ἂν ἤθελον!
ΑΓ. Ἄκραντ' ὀδύρῃ, ταῖσδέ τ' ἐξάγεις δάκρυ.
ΑΔ. Δοκῶ μὲν, αὐταί δ' εἰσὶν αἱ διδάσκαλοι.
Ἀλλ' εἶεν, αἴρω χεῖρ', ἀπαντήσων νεκροῖς,
Ἅδου τε μολπὰς ἐκχέω δακρυῤῥόους,
Φίλους προσαυδῶν, ὧν λελειμμένος τάλας,
Ἔρημα κλάω· τοῦτο γὰρ μόνον βροτοῖς
Οὐκ ἔστι τἀνάλωμ' ἀναλωθὲν λαβεῖν,
Ψυχὴν βροτείαν· χρημάτων δ' εἰσὶν πόροι.
ΧΟ. Τὰ μὲν εὖ, τὰ δὲ δυστυχῆ· (Στρ. α'.)
Πόλει μὲν εὐδοξία,
Καὶ στρατηλάταις δορὸς
Διπλάζεται τιμά·

ΑΓ. Μάλιστα τούς γ' ἑπτὰ στρατηγοὺς ἐκείνων.

ΑΔ. Τί δὲ τὸν ἄλλον τῶν τεθνεώτων ὄχλον;

ΑΓ. Τετάφαταί γ' ἐκεῖνοι ὑπὸ τῷ Κιθαιρῶνι.

ΑΔ. Ἐντεῦθεν, ἢ ἐκεῖθεν; τίς δ' ἦν ὁ θάψας;

ΑΓ. Θησεὺς, παρὰ τῇ Ἐλευθερίδι πέτρα.

ΑΔ. Οὓς δὲ οὔπω ἔθαψε, ποῦ λιπὼν, ἥκεις;

ΑΓ. Σπουδῇ ἑαυτῷ κἀκείνους συνεπάγει.

ΑΔ. Ἆρ' οἱ δοῦλοι πῶς ἦραν αὐτοὺς τοῦ λύθρου;

ΑΓ. Οὐδεὶς ἐκείνων ἥψατο τῶν σωμάτων· εἰ γὰρ παρῆσθα, εἶδες ἂν, ὅσον Θησεὺς ἠγάπα τούτους.

ΑΔ. Ἔσμυξεν αὐτῶν τὸν λύθρον τῶν τραυμάτων;

ΑΓ. Καὶ εὐνὰς ὑπέςρωσε, κοσμίως περιςείλας.

ΑΔ. Οὐκ αἰσχρὸν ἦν ἐν χερσὶ τούτους φέρειν;

ΑΓ. Τίποτ' αἰσχρὸν τἀλλήλων κακὰ βαςάζειν;

ΑΔ. Οἴμοι, ὡς κρεῖσσον ἦν μοι συνθανεῖν μετ' ἐκείνων.

ΑΘ. Μάτην ὀδύρῃ, καὶ τάσδε προσερεθίζεις.

ΑΔ. Τί δ' οὐχὶ ἐμὲ αὗται μᾶλλον; ἄλλ' ἅλις τούτων· νῦν δ' ἄρας τὰς χεῖρας, εἶμι τοῖς νεκροῖς ἀπαντήσων· ἐπιταφίους τε μολπὰς ἀφιεὶς, δάκρυα ἀπ' ὀφθαλμῶν αὐτῶν κατασπείσω τῶν, οὓς ἀποστερηθεὶς μάτην κλαίω· τοῦτο γὰρ μόνον ἀνθρώποις οὐκ ἔσθ' ἅπαξ ἀναλώσαντας ἀνασώσασθαι, τὴν ψυχήν· τάδ' ἄλλα ἔστιν ἄλλως ἄλλα ἀνακτήσασθαι ἄλλοθεν.

ΧΟ. Ὡς εὐτυχῆ καὶ δυςυχῆ τὰ παρόνθ' ἡμῖν δοκῶ μοι ὁρᾶν ὄντ', ὦ φίλαι· τὸ μὲν, ὅτι μεγάλην ἐν ὅπλοις εὔκλειαν

---

αὐτὸν ἐκστρατεῦσαι. 769. Δεινὸν βάσταγμα.] διὰ τὸ σεσηπέναι ἤδη τὰ σώ-

Ἐμοὶ δὲ τῶν παίδων μὲν εἰσιδεῖν μέλη
Πικρὸν, καλὸν θέαμα δ', εἴπερ ὄψομαι,
Τὰν ἄελπτον ἡμέραν
Ἰδοῦσα, πάντων μέγιςον ἄλγος.
Ἄγαμόν μ' ἔτι δεῦρ' ἀεὶ (Ἀντ. α'.)
Χρόνος παλαιὸς πατὴρ
Ὤφελ' ἀμερᾶν κτίσαι!
Τί γάρ μ' ἔδει παίδων;
Τὸ μὲν γὰρ οὐκ ἤλπιζον ἂν πεπονθέναι
Πάθος περισσὸν, εἰ γάμων ἀπεζύγην·
Νῦν δ' ὁρῶ σαφέςατον
Κακὸν, τέκνων φιλτάτων στερεῖσθαι.
Ἀλλὰ τάδ' ἤδη σώματα λεύσσω
Τῶν οἰχομένων παίδων· μελέα
Πῶς ἂν ὀλοίμαν σὺν τοῖσδε τέκνοις,
Κοινὸν ἐς ἄδην καταβᾶσα!

ΑΔ. Στεναγμὸν, ὦ ματέρες, (Στρ. β'.)
Τῶν κατὰ χθονὸς νεκρῶν
Λύσατ', ἀπύσατ', ἀντίφων' ἐμῶν
Στεναγμάτων κλύουσαι.

ΧΟ. Ὦ παῖδες, ὦ πικρὸν φίλων
Προσηγόρημα ματέρων,
Προσαυδῶ σε τὸν θανόντα.

ΑΔ. Ἰώ! ἰὼ τῶν γ' ἐμῶν κακῶν ἐγώ!

ΧΟ. Αἶ αἶ!

ΑΔ. * * * * *

ΧΟ. Ἐπάθομεν ὦ τὰ κύντατ' ἄλγη κακῶν!

ΑΔ. Ὦ πόλις Ἀργεία, τὸν ἐμὸν πότμον οὐκ ἐσορᾶτε;

ΧΟ. Ὁρῶσι κἀμὲ δῆτα τὴν
Τάλαιναν, τέκνων ἄπαιδα.

τῇ τε πόλει ταύτῃ, καὶ τῷ στρατηγῷ αὐτῆς ὁρῶ ἐσομένην· τὸ δὲ, ὅτι ἄλγιστον ἔμοιγε τὰ τῶν παίδων ἰδεῖν τραύματα· καίτοι καὶ τοῦτο καλόν πως ἔμοιγε θέαμά ἐστι τὸ μέγιστον πάθος ἰδεῖν, ἀπογνοῦσαν.

Εἴθε μηδέποθ' ὁ χρόνος, ὁ ἀρχαῖος τῶν ἡμερῶν ἡμῶν πατὴρ, ἀνδρὶ συνέζευξέ με· τί γάρ με ἔδει μητέρα παίδων εἶναι; ἄγαμος δ' εἰ ἦν, οὐκ ἂν νῦν τηλικαύτης συμφορᾶς πεῖραν ἔλαβον· νῦν δὲ τὸ εἰς πεῖραν ἐλθὼν, ἀνιαρώτατόν ἐστιν εἰς ἀφαίρεσιν. Ἀλλ' ἰδοὺ ἐκεῖνοι προσκομίζονται δεῦρο· ὦ δυστυχὴς ἐγὼ, πῶς ἂν συγκαταβαίην αὐτοῖς ἐς Ἅδου.

**ΑΔ.** Μητέρες δύστηνοι, μητέρες γεραιαὶ, πάρεσθ' ὑμῖν νῦν κλαῦσαι τὰ ὑμέτερα τέκνα, τοὺς ἐμοὺς στεναγμοὺς μιμουμένας.

**ΧΟ.** Ὦ παῖδες, ὦ πικρὸν ἡμῖν πρόσφθεγμα, ὃ προσφθέγγομαί σε, ὦ τέκνον, ἀποθανόντα.

**ΑΔ.** Ἰώ μοι μοι τῶν ἐμῶν συμφορῶν.

**ΧΟ** Αἶ, αἶ, δεινὰ, ὦ φίλαι, δεινὰ ἐσμὲν πεπονθότες, δεινότατα κακῶν ἁπάντων·

**ΑΔ.** Ὦ πόλις Ἄργος, οὐχ ὁρᾷς. οἷα πάσχω;

**ΧΟ.** Ὁρᾷ μάλιστα κἀμὲ στερουμένην τῶν παίδων.

---

ματα καὶ ὄζειν φησὶ τοῦτο. 790. Ἀμέρᾳ] εἰς τὸν κόσμον. εἰς τὸ φῶς ἐν ἄλλοις δὲ, ἀμερᾶν· εἶεν ὁ πατὴρ τῶν ἡμερῶν· εἰς ὃ μετέβαλον. 809. Τὰ κύντατα] τὰ βαρύτατα. ἐχρήσατο δὲ τῇ λέξει πρῶτος Ὅμηρος. Ὀδυσ. Ν. 18.

» Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

ΑΔ. Προσάγετε τῶν δυσπότμων (Ἀντ. β'.)
Σώμαθ' αἱματοσταγῆ,
Σφαγέντα τ' οὐκ ἄξι', οὐδ' ὑπ' ἀξίων,
Ἐν οἷς ἀγὼν ἐκράνθη.
ΧΟ. Δόθ', ὡς, περιπτυχαῖσι δὴ
Χέρας προσαρμόσασ', ἐμοῖς
Ἐν ἀγκῶσι τέκνα θῶμαι.
ΑΔ. Ἔχεις, ἔχεις.
ΧΟ. Πημάτων γ' ἅλις βάρος.
ΑΔ. Αἶ αἶ!
ΧΟ. Τοῖς τεκοῦσι δ' οὖν λέγεις.
ΑΔ. Ἀΰετέ μου.
ΧΟ. Στένεις ἐπ' ἀμφοῖν ἄχη.
ΑΔ. Εἴθε με Καδμείων ἔναρον στίχες ἐν κονίαισιν!
ΧΟ. Ἐμὸν δὲ μή ποτ ἐζύγη
Δέμας γ' εἴς τιν' ἀνδρὸς εὐνάν!
ΑΔ. Ἴδετε κακῶν πέλαγος, ὦ (Ἐπῳδ.)
Ματέρες τάλαιναι τέκνων.
ΧΟ. Κατὰ μὲν ὄνυξιν ἠλοκίσμεθ', ἀμφὶ δὲ
Σποδὸν κάρα κεχύμεθα.
ΑΔ. Ἰὼ ἰώ μοι μοι!
Κατά με πέδον γᾶς ἕλοι,
Διὰ δὲ θύελλα σπάσαι,
Πυρός τε φλογμὸς ὁ Διὸς ἐν κάρα πέσοι!

---

817. Δότε] ἐξαλείψας τὸν Χορὸν, προσαπέδωκα τοῦτο τῷ Αδράστῳ ἄνω· ἄλλως δὲ συγχέονται τὰ ἑπόμενα, ὡς φαίνεται ἐν τῇ παραφράσει· καίτοι ταῦτ'

ΑΔ. Ἀλλὰ προσάγεθ' ὑμεῖς, προσάγετέ μοι τὰ αἱματηρὰ ταῦτα σώματα, ἐν οἷς ἐκρίθη ἡ μάχη, τὰ μήτ' ἀξίως, μήθ' ὑπ' ἀξίων ᾧδε κατασφαγέντα· δότε μοι περιπτύξασθαι ἐν ἀγκάλαις τὰ τῶν τέκνων μου λείψανα.

ΧΟ. Ἔχεις, ἔχεις αὐτά.

ΑΔ. Ἔχω δὴ βάρος συμφορᾶς οὐκ ἀνεκτόν.

ΧΟ. Αἲ, αἲ· ταῖς δὲ τεκούσαις οὐ λέγεις τοῦτο;

ΑΔ. Καὶ μὴν ἀκούετέ μου.

ΧΟ. Θρηνεῖς δ' ἐπ' ἀμφοτέροις.

ΑΔ. Ὤφειλον ὑπὸ τῶν Καδμείων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κατασφαγῆναι.

ΧΟ. Ὤφειλον δὲ κἀγὼ μηδέποτ' ἀνδρὶ ὁμιλῆσαι γάμῳ.

ΑΔ. Ἴδετ', ὦ δύστηνοι μητέρες, οἰκτρότατον πάθος.

ΧΟ. Ὦ πῶς διαῤῥήξω τὰς ἐμαυτοῦ παρειὰς τοῖς ὄνυξι· καὶ τὴν κεφαλὴν συμφύρω σπουδῷ!

ΑΔ. Ἰώ μοί μοι· εἴθε γῆ με καταπίοι χανοῦσα· εἴθε με θύελλα ἀναρπάσασα, διασπάσειεν· εἴθε με κεραυνὸς, παρὰ τοῦ Διὸς ἐμπεσὼν, καταφλέξειε.

---

ἄλλοι ἄλλως διεῖλον. 821. Τοῖς τεκοῦσι] ἀρσενικῷ ἐχρήσατο ἀντὶ θηλυκοῦ Ταῖς τεκούσαις· συνήθως γὰρ, κἂν ἐκ γυναικῶν συντεθειμένος τύχῃ ὁ Χορὸς, ἐν πληθυντικῷ ἀριθμῷ τὸ ἀρσενικὸν γένος αἱρεῖται· ἄμεινον δε ταῦτα προφέρεσθαι ἐρωτηματικῶς· υἷον, τοῖς τεκοῦσι δ' οὐ λέγεις; εἴτ' οὖν πημάτων βάρος ἔχειν; πρὸς ὃ ἀπαντᾷ Ἄδραστος, καὶ μὴν οὐκ ἀκούετε ὅσον στένω; στένεις, φασὶν, ἐπ' ἀμφοῖν· συγκεχυμένα ὅμως ταῦθ', ὡς συμβαίνει ἐν θρήνοις, ἀτελῆ λέγεσθαι καὶ ἐνδιαθέτως τὰ πολλὰ, τοῦ ποιητοῦ μιμουμένου τὴν φύσιν. 828. Κατηλοκίσμεθα] ἀλοκίζομαι, καὶ αὐλακίζομαι παρὰ τὴν ἄλοκα, ἢ αὔλακα· δηλοῖ δὲ τὸ καταδρύπτεσθαι, καὶ αὔλακας ποιεῖν ἐν ταῖς παρειαῖς διὰ τῶν ὀνύχων. Καὶ περὶ τὴν κεφαλὴν σποδὸν διεχέαμεν. 831. Κατά . . . ἐλοί]

ΧΟ. Πικροὺς ἐσεῖδες γάμους,
Πικρὰν δὲ Φοίβου φάτιν·
Ἔρημά σ' ἁ πολύστονος
Οἰδιπόδα δώματα λιποῦσ',
Ἦλθ' Ἐριννύς.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

## ΘΗΣΕΥΣ, ΑΔΡΑΣΤΟΣ, ΧΟΡΟΣ.

ΘΗ. Μέλλων σ' ἐρωτᾷν, ἡνίκ' ἐξήντλεις στρατῷ
Γόους, ἀφήσω, τοὺς ἐκεῖ μὲν ἐκλιπὼν
Ἐς τὰ σά γε μύθους· νῦν δ' Ἄδραστον ἱστορῶ·
Πόθεν πόθ' οἵδε διαπρεπεῖς εὐψυχίᾳ
Θνητῶν γ' ἔφυσαν; εἰπέ γ', ὡς σοφώτερος
Νέοισιν ἀστῶν τῶνδ'· ἐπιστήμων γὰρ εἶ·
Εἶδον γὰρ αὐτῶν κρείσσον', ἢ λέξαι λόγῳ,
Τολμήμαθ', οἷς ἤλπιζον αἱρήσειν πόλιν.

καθέλοι, καταπίοι· τμῆσις τοῦτο ὥσπερ ἑξῆς καὶ τὸ Διὰ. .σπάσαι. 837. Ἔρημάσ'] ἐν ἄλλοις, Ἔρημας. ὅ ἐστι τὰς σαυτοῦ θυγατέρας ἀνδράσιν ἐξέδωκας, κακῶς ποιήσας τὴν φαύλην τοῦ Οἰδίποδος τύχην εἰς τὸν σαυτοῦ οἶκον μετενεγκών· τοῦτο γάρ ἐστιν Τὸ πολύστονος (εἰλήφθω δε τοῦτο ἐνεργητικῶς) Ἐριννύς. 839. Μέλλων σ' ἐρωτᾷν] σκοτεινὸν ὡς μάλιστα τὸ χωρίον τοῦτ' ἐστι· πρῶτον μὲν γάρ ἐστιν ἀμφίβολον πρὸς τίν' ἀποτείνεται, πρὸς τὸν Χορὸν, ἢ πρὸς τὸν Ἄδραστον· ἢ ἄλλον τινά· ἔπειτα τίνα στρατὸν ἐννοεῖ, καὶ πότε ἐξήντλει γόους, εἰμή τι ἐννοεῖ τὰ εἰρημένα ἀνωτέρω. στίχ. 163. ἐπειράθησαν δὲ

**ΧΟ.** Πικρὸν ἄρα κῆδος, ὦ δύστηνε, τῶν σαυτοῦ θυγατέρων ἑώρακας. πικρὸν δὲ καὶ τὸν χρησμὸν ἐδέξω παρὰ Φοίβου· ἡ γὰρ πολύστονος Ἐριννῦς τὰ τοῦ Οἰδίποδος καταλιποῦσα δώματα ἔρημα, ἐπέπεσέ σοι.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

## ΘΗΣΕΥΣ, ΑΔΡΑΣΤΟΣ, ΧΟΡΟΣ.

**ΘΗ.** Μέλλων ἐρωτήσειν σε, ὦ Ἄδραστε, τί ποτε ὠδύρου παρὰ τῷ ϛρατῷ, ἐάσω, τοὺς ἐκεῖ εἰς τὰ σὰ προσανήκοντας λόγους ἀποσιωπῶν. Νῦν δ' εἴποις μοι, πόθεν κἀκ τίνων πόθ' οὗτοι τοσοῦτον διαπρεπεῖς ἀνδρίᾳ ἐγένοντο; σὸν γὰρ τοῦτ' εἰδέναι, ὡς πάντων ἀϛῶν σοφωτέρου καὶ ἐμπειροτέρου ὄντος διὰ ἡλικίαν. τὸ γὰρ τόλμημα, ᾧ τὴν πόλιν ὥρμηνται ἑλεῖν, κρεῖττόν ἐϛιν, ἢ λέγειν.

---

τινες διορθῶσαι πολλαχῶς τοῦτο καὶ ἄλλως, ἀλλὰ τὸ δοκιμώτερον ὁπωσοῦν ἐστι τοῦτο· οὐδὲν δὲ πιθανόν· οἷον

» Μέλλων σ' ἐρωτᾶν, ἡνίκ' ἐξήντλει λόγους
» Κήρυξ Κρέοντος, τοὺς ἐκεῖ μὲν εἰς τὰ σὰ
» Μύθους ἀφῆκα· νῦν δ' Ἄδραστον ἱστορῶ.

Διαλευκαίνεται μὲν ὁ νοῦς οὕτως· ἀλλ' οὐκ οἶδα, εἰ δ' τοῦ ποιητοῦ εἴη, οὕτω ἐξ ὅλου παραλλαγέντος τοῦ κειμένου εἰδ' οὖν δοῖμεν πρὸς τὸν Ἄδραστον ἀποτείνεσθαι ταῦτα, ἐκληφθήτω τὰ ἑπόμενα ᾠδί. Νῦν δέ σε, ὦ Ἄδραστε, ἱϛορῶ.

Ἔν δ' οὐκ ἐρήσομαί σε, μὴ γέλωτ' ὄφλω,
Ὅτῳ ξυνέστη τῶνδ' ἕκαστος ἐν μάχῃ,
Ἢ τραῦμα λόγχης πολεμίων ἐδέξατο·
Κενοὶ γὰρ οὗτοι τῶν τ' ἀκουόντων λόγοι
Καὶ τοῦ λέγοντος, ὅστις ἐν μάχῃ βεβὼς,
Λόγχης ἰούσης πρόσθεν ὀμμάτων πυκνῆς,
Σαφῶς ἀπήγγειλ', ὅστις ἐστὶν ἀγαθός.
Οὐκ ἂν δυναίμην οὔτ' ἐρωτῆσαι τάδε,
Οὔτ' ἂν πιθέσθαι τοῖσι τολμῶσιν λέγειν·
Μόλις γὰρ ἄν τις αὐτὰ τἀναγκαῖ' ὁρᾷν
Δύναιτ' ἂν, ἑστὼς πολεμίοις ἐναντίος·

ΑΔ. Ἄκουε δή νυν· καὶ γὰρ οὐκ ἄκοντί μοι
Δίδως ἔπαινον, ὧν ἔγωγε βούλομαι
Φίλων ἀληθῆ καὶ δίκαι' εἰπεῖν πέρι.
Ὁρᾷς, τὸ δῖον οὗ βέλος διέπτατο;
Καπανεὺς ὅδ' ἐστίν· ᾧ βίος μὲν ἦν πολὺς,
Ἥκιστα δ' ὄλβῳ γαῦρος ἦν· φρόνημα δὲ
Οὐδέν τι μεῖζον εἶχεν, ἢ πένης ἀνὴρ,
φεύγων, τραπέζαις ὅστις ἐξογκοῖτ' ἄγαν,
Τἀρκοῦντ' ἀτίζων· οὐ γὰρ ἐν γαστρὸς βορᾷ
Τὸ χρηστὸν εἶναι, μέτρια δ' ἐξαρκεῖν ἔφη.
Φίλοις τ' ἀληθὴς ἦν φίλος παροῦσί τε
Καὶ μὴ παροῦσιν· ὧν ἀριθμὸς οὐ πολύς.
Ἀψευδὲς ἦθος, εὐπροσήγορον στόμα,
Ἄκρατον οὐδὲν οὐδ' ἐς οἰκέτας ἔχων,

---

850. Κενοί] οὐ κακῶς διώρθωσε τοῦτό τις, ἀντὶ τοῦ Κοινοί· ὅ,τε γὰρ ἐρωτῶν κούφως ἐρωτᾷ, καὶ ὁ λέγων, ὅτι ἐν μάχῃ τις ὢν, ἀπήγγειλε σαφῶς ἀριστεύ-

καὶ τὰ τείχη αὐτὰ μαρτυρεῖ. ἐκεῖνο δ' οὖν οὐκ ἂν σου πυθοίμην, τίς τίνα τῶν ἐχθρῶν, ἐν μάχῃ συμμίξας, ἀπέκτεινεν, ἢ τραῦμ' ἐδέξατο παρ' ἐκείνου. γελοῖον γὰρ τοῦτο καὶ κοῦφον μάλιστα τῷ τ' ἐρωτῶντι καὶ τῷ ἐπαγγελλομένῳ εἰδέναι. τὶς γὰρ ἐν αὐτῇ τῇ συμπλοκῇ ὢν, μυρίας τῶν ὄψεων ἐπιπροσθούσης λόγχης, σαφῶς πώποτ' οἶδεν, ὅστις γέγονεν ἀνὴρ ἀγαθός; οὔκουν ἂν ἐρωτῴην τοιαῦτα, οὔτ' ἂν βουλοίμην ἀκούειν, εἴτις προθυμεῖται διδάσκειν. ὅς γὰρ ἂν στῇ ἐναντίον τῶν πολεμίων, μόλις ἂν ἴδοι μόνον ὅ,τι πότ' ἐστὶ τηνικαῦτ' ἀναγκαῖον.

**ΑΔ.** Ἄκουε τοίνυν· καὶ γὰρ βουλομένῳ μοι δίδως ἔπαινον εἰπεῖν τούτων, περὶ ὧν ἐγὼ ἐρῶ ἁπλᾶ καὶ δίκαια πάντα· ὁρᾷς τὸν ἁβρὸν τουτονὶ, ὃν τὸ τοῦ Διὸς διήλασε βέλος; Καπανεύς ἐστιν οὗτος, ὃς πλουσιώτατος γενόμενος, οὐδὲν μεῖζον ἐπὶ τούτῳ ἐφρόνει, ἢ και πένης ἀνήρ· εἰ δέ τις τῃ πολυτελείᾳ τραπέζης ἔχαιρε, τῶν ἀναγκαίων καταφρονῶν, τοῦτον ἔφευγε μάλιστα· μὴ γὰρ ἐν τῷ ὑπερπίμπλασθαι τὸ χρηστὸν, ἀλλ' ἐν τῷ μετρίῳ ᾤετο εἶναι· φίλος τε ἀληθὴς ἦν ὁ αὐτὸς τοῖς αὐτοῖς καὶ παροῦσί τε καὶ ἀποῦσιν· εἰσὶ δ' οὐ πολλοί γε τοιοῦτοι· ἦν δ' ἐπὶ τούτοις ἦθος ἀψευδὲς παρεχόμενος, γλῶσσάν τε στωμύλον, καὶ εὐπροσήγορον, καὶ πᾶν ὅ,τι ἂν ποθ' ὑπεσχημένος εἴη εἴτ' ἐλευθέρῳ εἴτε δούλῳ, οὐδὲν οὐ-

---

σαι τον δεῖνα, ἢ τὸν δεῖνα, μηδὲν εἰδὼς ἐν μυρίῳ θορύβῳ, ἢ μόνον τὸ πρὸ ἑαυτοῦ, καὶ τοῦτο μόλις. 861. Το δῖον] ἐν ἄλλοις κεῖται, Τὸν ἁβρὸν, ὡς ἐν

Οὔτ' ἐς πολίτας. Τὸν δὲ δεύτερον λέγω,
Ἐτέοκλον, ἄλλην χρηστότητ' ἠσκηκότα.
Νεανίας ἦν, τῷ βίῳ μὲν ἐνδεής,
Πλείστας δὲ τιμὰς ἔσχεν Ἀργείᾳ χθονί.
Φίλων δὲ χρυσὸν πολλάκις δωρουμένων,
Οὐκ εἰσεδέξατ' οἶκον, ὥστε τοὺς τρόπους
Δούλους παρασχεῖν, χρημάτων ζευχθεὶς ὕπο.
Τοὺς τ' ἐξαμαρτάνοντας, οὐχὶ τὴν πόλιν,
Ἤχθαιρ'· ἐπεί τοι κοὐδὲν αἰτία πόλις,
Κακῶς κλύουσα διὰ κυβερνήτην κακόν.
Ὁ δ' αὖ τρίτος τῶνδ' Ἱππομέδων τοιόσδ' ἔφυ·
Παῖς ὢν ἐτόλμησ' εὐθὺς οὐ πρὸς ἡδονὰς
Μουσῶν τραπέσθαι, πρὸς τὸ μαλθακὸν βίου,
Ἀγροὺς δὲ ναίων, σκληρὰ τῇ φύσει διδοὺς
Ἔχαιρε πρὸς τἀνδρεῖον, ἔς τ' ἄγρας ἰὼν,
Ἵπποις τε χαίρων, τόξα τ' ἐντείνων χεροῖν,
Πόλει παρασχεῖν σῶμα χρήσιμον θέλων.
Ὁ τῆς κυναγοῦ δ' ἄλλος Ἀταλάντης γεγὼς
Παῖς Παρθενοπαῖος, εἶδος ἐξοχώτατος,
Ἀρκὰς μὲν ἦν, ἐλθὼν δ' ἐπ' Ἰνάχου ῥοὰς,
Παιδεύεται κατ' Ἄργος· ἐκτραφεὶς δ' ἐκεῖ,
Πρῶτον μὲν, ὡς χρὴ τοὺς μετοικοῦντας ξένους
Λυπηρὸς οὐκ ἦν οὐδ' ἐπίφθονος πόλει,
Οὐδ' ἐξεριστὴς τῶν λόγων, ὅθεν βαρὺς
Μάλιστ' ἂν εἴη δημότης τε καὶ ξένος·

---

τῇ παραφράσει. 873. Ἐτέοκλον] τούτου δὲ ἐν ταῖς Φοινίσσαις οὐ μέμνηται ὁ

δενὶ κατέλιπεν ἄπρακτον· τοιοῦτος μὲν οὗτος. Νῦν δ' ἴδε μοι τὸν δεύτερον τουτονί. Ἐτέοκλος οὗτος πᾶσαν χρηστότητα καὶ ἐπιείκειαν ἠσκηκὼς ἐν τῷ βίῳ· ἐνδεὴς μὲν ἐν κτήμασιν, ἀξίωμα δὲ μέγιστον ἐν Ἄργει ἐσχηκὼς παρὰ πάντων· πολλάκις δὲ τῶν φίλων χρυσὸν διδόντων οὐκ ἔλαβεν, ἵνα μὴ τοῖς ἔξω γενόμενος πλούσιος, πτωχὸς ἔνδοθεν ἀποβαίη, δουλώσας τὸ φρόνημα· ἐμίσει δὲ οὐ τὴν πόλιν, ἀλλὰ τοὺς ἐξαμαρτάνοντας· τί γὰρ δεῖ πόλιν ὅλην κακῶς ἀκούειν, ὀλίγων τῶν κυβερνώντων ὄντων πονηρῶν; Οὗτος δ' αὖ ὁ τρίτος Ἱππομέδων ἐστὶν, ὃς ἐκ παίδων οὐκ ἀμφὶ μοῦσαν καὶ τὰς τοιαύτας τέρψεις ἠνέχετο παραλύεσθαι, ἀλλ ἐν ἀγροῖς διαιττώμενος, σκληρὸν ἤσκει βίον πρὸς τὸ ἀνδρεῖον, κυνηγεσίοις τε χαίρων, καὶ τόξα ἐντείνων ταῖς χερσὶ, βουλόμενος παρασχεῖν ἑαυτὸν χρήσιμον τῇ πόλει. Ὁ δ' αὖ παῖς τῆς κυνηγοῦ Ἀταλάντης, Παρθενοπαῖον λέγω, τὸν πάντων καλλίω· οὗτος Ἀρκὰς μὲν ἦν τὴν ἀρχήν· ἐλθὼν δὲ κομιδῇ νέος παρὰ τὰς ῥοὰς τοῦ Ἰνάχου, ἀνετράφη ἐν Ἄργει, ἔνθ' οὐδενὶ λυπηρὸς ἦν, οἷα δεῖ τὸν μέτοικον εἶναι, οὔτ' ἐπίφθονος τῇ πόλει, οὔτ' εἰς ἅμιλλαν ἀντεξεταζόμενος λόγων, ἐφ' οἷς ἀπέχθοιτ' ἂν πρὸς τοὺς ἄλλους καὶ δημότης καὶ ξένος· ἐν καιρῷ δὲ τὰ ὅπλα τιθέμενος ὥσπερ καὶ ἄλλος

---

Ποιητής· ἦν δ' οὖν παῖς Ἴφιος καὶ ἀδελφὸς Εὐάδνης τῆς τοῦ Καπανέως γαμετῆς. 882. Κακῶς κλύουσα] ἀντὶ τοῦ κακῶς κλύειν· ἄλλως δὲ δυσαπόδοτος ἡ εὐθεῖα. 889. Τῆς κυναγοῦ] ἴδε Φοιν. στίχ. 150 καὶ ἑξῆς. 926. Καὶ μὴν

Λόχοις δ' ἐνεστὼς, ὥσπερ Ἀργεῖος γεγὼς,
Ἤμυνε χώρᾳ· χὠπότ' εὖ πράσσοι πόλις,
Ἔχαιρε, λυπρῶς δ' ἔφερεν, εἴ τι δυστυχοῖ.
Πολλοὺς δ' ἐραστάς, κἀπὸ θηλειῶν ὅσας,
Ἔχων ἐφρούρει μηδὲν ἐξαμαρτάνειν.
Τυδέως δ' ἔπαινον ἐν βραχεῖ θήσω μέγαν.
Οὐκ ἐν λόγοις ἦν λαμπρὸς, ἀλλ' ἐν ἀσπίδι
Δεινὸς σοφιστὴς, πολλά τ' ἐξευρεῖν σοφά.
Γνώμῃ δ' ἀδελφοῦ Μελεάγρου λελειμμένος,
Ἴσον παρέσχεν ὄνομα διὰ τέχνης δορὸς,
Εὑρὼν ἀκριβῆ μουσικὴν ἐν ἀσπίδι·
Φιλότιμον ἦθος, πλούσιον φρόνημα δὲ
Ἐν τοῖσιν ἔργοις, οὐχὶ τοῖς λόγοις, ἴσον.
Ἐκ τῶνδε μὴ θαύμαζε τῶν εἰρημένων,
Θησεῦ, πρὸ πύργων τούσδε τολμῆσαι θανεῖν·
Τὸ γὰρ τραφῆναι μὴ κακῶς αἰδῶ φέρει.
Αἰσχύνεται δὲ, τἀγάθ' ἀσκήσας ἀνὴρ,
Κακὸς γενέσθαι, πᾶς τις. ἡ δ' εὐανδρία
Διδακτὸν, εἴπερ καὶ βρέφος διδάσκεται
Λέγειν, ἀκούειν θ', ὧν μάθησιν οὐκ ἔχει.
Ἃ δ' ἂν μάθῃ τις· ταῦτα σώζεσθαι φιλεῖ
Πρὸς γῆρας· οὕτω παῖδας εὖ παιδεύετε.

ΧΟ. Ἰὼ τέκνον, δυςυχῆ σ'
Ἔτρεφον, ἔφερον ὑφ' ἥπατος,
Πόνους ἐνεγκοῦσ' ἐν ὠδῖσι·
Καὶ νῦν Ἅδας
Τὸν ἐμὸν ἔχει μόχθον ἀθλίας·
Ἐγὼ δὲ γηροβοσκὸν οὐκ ἔχω, τεκοῦσ'
Ἁ τάλαινα παῖδα.

τις τῶν Ἀργείων, προὐμάχετο τῆς πατρίδος· ἧς εὐτυχούσης μὲν, ἔχαιρε· ἑτέρως δ' ἐχούσης, βαρέως ἔφερε· πολλῶν ἀῤῥένων τε καὶ θηλειῶν διὰ κάλλος αὐτοῦ ἐρώντων, προσέσχε μηδὲν ἐξαμαρτεῖν. Ὁ δὲ μετὰ τοῦτον αὖθις Τυδεὺς ἐκεῖνός ἐστιν· οὗ ἐν βραχεῖ μέγαν ἔπαινον ἐρῶ· ἦν μὲν γὰρ οὐ λαμπρὸς ἐν λόγοις, μέγας δ' ἐν ἔργοις πολεμικοῖς, καὶ δεινότατος πάντων ἐν στρατηγήμασιν· ἐλείπετο μὲν γὰρ Μελεάγρου τοῦ ἀδελφοῦ τῇ γνώμῃ, ἀλλ' ὡς μουσικήν τινα ἡδονὴν ἐξακριβώσας τὴν ἀσπίδα, ἐν ἴσῳ ἦν ἀξιώματι παρὰ πάντων ἐκείνῳ διὰ τὴν τοῦ δορὸς ἐπιστήμην. φιλότιμον δὲ ἦθος ἔχων, ἴσον ἐξεπύργου καὶ τοὔνομα, οὐκ ἐν λόγοις, ἀλλ' ἔργοις. Ἐκ δὴ τῶν εἰρημένων οὐ δεῖ σε θαυμάζειν, ὅπως τοιοῦτοι ὄντες, ἐτόλμησαν ἀποθανεῖν πρὸ τῶν πύργων· ἀγωγὴ γὰρ ἀξία φιλότιμον τίκτει ἦθος· πεφύκασι γὰρ οἱ ἐλευθέρως ἀνατραφέντες αἰδεῖσθαι κακοὶ γενέσθαι· εἴγε διδαχῇ εἴσεισι τὴν ψυχὴν ἡ ἀνδρία, καθάπερ ὁρῶμεν καὶ τὰ βρέφη μανθάνοντα λέγειν τε καὶ ἀκούειν, ἃ οὔπω γινώσκει· ἃ γὰρ αὕτη παιδευθῇ ἐκ νεότητος, ταῦτ' ἐς ἕξιν αὐτῇ ἐγγηράσκειν φιλεῖ, καὶ δυσαπάλλακτα ἐγκαθίσαται. Οὐκοῦν οὕτω παιδεύετε, ὦ πατέρες, τοὺς παῖδας.

ΧΟ. Ἰὼ τέκνον, ὡς ἄρα δυστυχῆ σε ἀνέθρεψα· οἵας δ' ὠδῖνας, πολὺν χρόνον ἐν γαστρί σε βαστάσασα, ἐν τῷ τίκτειν ὑπήνεγκα· νῦν δ' Ἅδης ἐπέχει ταύτας, μηδενός μοι ὑπολελειμμένου γηροβοσκοῦ.

ΘΗ. Καὶ μὴν τὸν Οἰκλέους γε γενναῖον τόκον
Θεοὶ, ζῶντ' ἀναρπάσαντες ἐς μυχοὺς χθονὸς
Αὐτοῖς τεθρίπποις, εὐλογοῦσιν ἐμφανῶς·
Τὸν Οἰδίπου τε παῖδα, Πολυνείκην λέγω,
Ἡμεῖς ἐπαινέσαντες, οὐ ψευδοίμεθ' ἄν.
Ξένος γὰρ ἦν μοι, πρὶν λιπὼν Κάδμου πόλιν
Φυγῇ πρὸς Ἄργος διαβαλεῖν αὐθαίρετος.
Ἀλλ' οἶσθ', ὃ δρᾶσαι βούλομαι τούτων πέρι;
ΑΔ. Οὐκ οἶδα, πλὴν ἕν, σοῖσι πείθεσθαι λόγοις.
ΘΗ. Τὸν μὲν Διὸς πληγέντα Καπανέα πυρὶ —
ΑΔ. Ἦ χωρὶς, ἱερὸν ὡς νεκρὸν, θάψαι θέλεις;
ΘΗ. Ναί. τοὺς δέ γ' ἄλλους πάντας ἐν μιᾷ πυρᾷ.
ΑΔ. Ποῦ δῆτα θήσεις μνῆμα τῷδε χωρίσας;
ΘΗ. Αὐτοῦ, παρ' οἴκους τούσδε συμπήξας τάφον.
ΑΔ. Οὗτος μὲν ἤδη δμωσὶν ἂν μέλοι πόνος.
ΘΗ. Ἡμῖν δὲ γ' οἵδε· στειχέτω δ' ἄχθη νεκρῶν·
ΑΔ. Ἴτ', ὦ τάλαιναι μητέρες τέκνων, πέλας.
ΘΗ. Ἥκιστ', Ἄδραστε, τοῦτο πρόσφορον λέγεις.
ΑΔ. Πῶς τὰς τεκούσας οὐ χρεὼν ψαῦσαι τέκνων;
ΘΗ. Ὄλοιντ' ἰδοῦσαι τούσδ' ἂν ἠλλοιωμένους·
Πικραὶ γὰρ ὄψεις χ' ἅμα τῷ τέλει νεκρῶν.
Τί δῆτα λύπην ταῖσδε προσθεῖναι θέλεις;
ΑΔ. Νικᾷς· μένειν χρὴ τλημόνως· λέγει γὰρ εὖ

---

926. Τὸν Οἰκλέους] ἀντικαταλάττουσί τινες τὰ πρόσωπα ἐν τοῖς ἑξῆς, τοῦτο μὲν ἀποδιδόντες, οὐ τῷ Ἀδράστῳ, ἀλλὰ τῷ Θησεῖ, τὸ δὲ ἑξῆς αὖθις τῷ Ἀδράσῳ· ἐγὼ δὲ ἑκάτερα ἐδεξάμην ἐν μέρει. 939. Παρ' οἴκους] διορθοῦσι τοῦτό τινες, οὕτως ἀντὶ οἴκτρους γράφοντες, οὐ πάνυ τι κακῶς· κἀγὼ ἐδεξάμην. 946. Τέλει νεκρῶν] καὶ τοῦθ' οὕτω.

ΑΔ. Καὶ μὴν τὸν Οἰκλέους γενναῖον παῖδα ζῶνθ' οἱ θεοὶ ἀναρπάσαντες εἰς τὸν ᾅδην αὐτῷ ὀχήματι, ἐκεῖνοι τιμήσουσι τὰ εἰκότα. Πολυνείκην δὲ τὸν Οἰδίποδος ἡμεῖς αὐτοὶ ἐπαινέσαντες, οὐκ ἂν ψευδοίμεθα· πρὶν γὰρ ἢ ἐλθεῖν εἰς Ἄργος, ἔνθα κατέφυγεν ἑκουσίᾳ φυγῇ, λιπὼν Θήβας, ἐμὸς ξένος ἦν· ἀλλ' οἶσθ' αὐτὸς, ὃ βούλομαι δρᾶσαι τούτοις;

ΘΗ. Ἓν μόνον οἶδα τὸ προσταττόμενον πράττειν.

ΑΔ. Καπανέα μὲν τὸν ἐκ Διὸς πληγέντα. . . .

ΘΗ. Τί δή; χωρὶς τοῦτον ὡς ἱερόν που θάψεις;

ΑΔ. Τοῦτο δοκεῖ μοι· τοὺς δ' ἄλλους συνάμα.

ΘΗ. Ποῦ δὲ ποιήσεις χωρὶς τὸ μνῆμα τούτου;

ΑΔ. Αὐτοῦ γ' ὀρύξας που οὐ πάνυ πόῤῥω τούτων.

ΘΗ. Ταῦτ' οὖν ἔργα εἰσὶ τῶν δούλων· ἡμῶν δὲ μετακομίσαι τὰ τῶν νεκρῶν σώματ' ἐπὶ τάδε, ἔνθα ταφῆναι δεῖ.

ΑΔ. Ὦ δύστηνοι μητέρες, πρόσιθ' ὑμεῖς τοῖς ἑαυτῶν τέκνοις τὸ πανύστατον ἤδη.

ΘΗ. Μηδαμῶς· οὐ γὰρ καλὸν τοῦτο λέγεις.

ΑΔ. Τίδ'; οὐχὶ δεῖ τὰς μητέρας θιγεῖν τῶν τέκνων;

ΘΗ. Οἰμώξουσι γὰρ πρὸς τὴν ὄψιν αὐτῶν ἠλλοιωμένων, πικρὰ γὰρ θέα αἷμα καὶ ὠτειλαὶ νεκρῶν.
πρὸς τί οὖν δεῖ λυπεῖσθαι τὰς ταλαιπώρους;

ΑΔ. Πέπεικάς με· μένετ' οὖν ὑμεῖς αὐτοῦ ὀλοφυρόμεναι, Θη-

---

» Πικρὰ γὰρ ὄψις, αἷμα κ' ὠτειλαὶ νεκρῶν.
» Πικρὰ γὰρ ὄψις αἱμάτων πέλει νεκρῶν.
» Πικρὰ γὰρ ὄψις τραυμάτων πέλει νεκρῶν.
Διερμηνευθείη δ' ἂν τὸ κείμενον οὕτω· πικρὰ γὰρ ἡ θέα τῶν νεκρῶν ταῖς μητε-

Θησεύς. ὅταν δὲ τούσδε προσθῶμεν πυρὶ,
Ὀστᾶ προσάξεσθ'. ὦ ταλαίπωροι βροτῶν,
Τί κτᾶσθε λόγχας καὶ κατ' ἀλλήλων φόνους
Τίθεσθε; παύσασθ', ἀλλὰ λήξαντες πόνων,
Ἄστη φυλάσσεθ' ἥσυχοι μεθ' ἡσύχων.
Σμικρὸν τὸ χρῆμα τοῦ βίου· τοῦτον δὲ χρὴ
Ὡς ῥᾷστα καὶ μὴ σὺν πόνοις διεκπερᾷν.

ΧΟ. Οὐκέτ' εὔτεκνος, οὐκέτ' εὔ- (Στρ.)
Παις, οὐδ' εὐτυχίας μέτε-
στίν μοι κουροτόκοις ἐν Ἀργείαις.
Οὐδ' Ἄρτεμις λοχία
Προσφθέγξαιτ' ἂν τὰς ἀτέκνους.
Δυσαίων δ' ὁ βίος,
Πλαγκτὰ δ' ὡσεί τις νεφέλα,
Πνευμάτων ὕπο δυσχίμων ἀΐσσω.
Ἑπτὰ ματέρες ἑπτὰ κού- (Ἀντ.)
Ρους ἐγεινάμεθ' αἱ ταλαί-
Πωροι κλεινοτάτους ἐν Ἀργείοις·
Καὶ νῦν ἄπαις, ἄτεκνος
Γηράσκω δυστηνότατος,
Οὔτ' ἐν τοῖς φθιμένοις,
Οὐ ζωοῖς ἀριθμουμένη,
Χωρίς δή τινα τῶνδ' ἔχουσα μοῖραν.
Ὑπολελειμμένα μοι δάκρυα (Ἐπῳδ.)
Μελέᾳ· παιδὸς ἐν οἴκοις
Κεῖται μνήματα, πένθιμοι
Κουραὶ καὶ στέφανοι κόμας,

τεῖ εὖ εἰπόντι πειθόμεναι· ἐπειδὰν δὲ καῇ τὰ σώματα, ἐλθοῦσαι, διαλέγεσθε τὰ ὀστᾶ. Ὦ ταλαίπωροι ἄνθρωποι, τί μάτην ταράσσεσθε, ὅπλα περιθέμενοι, καὶ ἀλλήλοις φόνους ἐπιβουλεύοντες; οὐ παύσεσθε; οὐκ ἀ-ἀφέξεσθε πόνων ματαίων, ἥσυχοι μεθ᾽ ἡσύχων κατοικοῦντες τὰς πόλεις; ὁ γὰρ βίος βραχύς. Τί οὖν οὐ ῥᾷστον καὶ ἥδιστον διανύομεν τοῦτον;

ΧΟ. Ἰώ μοι μοι· οὐκέτ᾽ εὔτεκνος, οὐδὲ καλλίπαις ἔγωγ᾽ ἡ τάλαινα ἐν Ἀργείαις, οὐκέτ᾽ εὐδαίμων ἐν μητράσι κατ᾽ Ἄργος· οὐδ᾽ ἡ λοχία Ἄρτεμις τὰς ἀτέκνους προσφθέγξεται· δυστυχὴς δ᾽ ἔμοιγ᾽ ὁ βίος τοῦγε λοιποῦ, καθάπερ νεφέλη ὑπὸ πνευμάτων χειμερινῶν, ἐν πολλαῖς οἰσθησομένη περιστροφαῖς.

Ἑπτὰ μητέρες ἴσους παῖδας ἐν Ἄργει εὐκλεεστάτους ἐγεινάμεθα αἱ ταλαίπωροι· ἀλλὰ νῦν διαγηράσκω ἄπαις ἀθλιωτάτη, μήτ᾽ ἐν νεκροῖς, μήτ᾽ ἐν τοῖς ζῶσιν ἀριθμουμένη, ἄλλην δέ τινα χωρὶς τούτων ἔχουσα τάξιν.

Οὐκέτ᾽ οὐδὲν οἴκοι μοι ὑπολείπεται, ἢ δακρύων τοῦ παιδὸς ὑπομνήματα, πένθιμοι κουραί, καὶ στέφανοι

ῥᾶσι, καὶ μάλισθ᾽ ἡ τελευταία, ἢ ἅμα τῷ θανάτῳ. 958. Ἀργείαις] ἐν ἄλλοις κεῖται Ἀργεία. 969. Δυστηνότατος] ἀρσενικῶς ἀναφερόμενον πρὸς τὸν Χορὸν, καίτοι ἀνωτέρω, μητέρες ἔφη πληθυντικῶς, καὶ κατωτέρω αὖθις, ἀριθμουμένη, ἐν θηλυκῷ ἑνικῶς. 975. Καὶ στέφανοι κόμης] ὅτι μὲν οἱ πενθοῦντες ἐκείροντο, πολλαχόθεν δῆλον, ἀλλ᾽ οἱ μὲν ἐπὶ τοῦ νεκροῦ ἐτίθουν τὸν βόστρυχον, ὡς φαίνεται καὶ παρὰ Σοφοκλεῖ ἐν Αἴαντι Μαστιγ. στίχ. 1185. οἱ δὲ ἀπῃώρουν ἐπὶ τῶν πυλῶν οἴκοι· ὡς Εὐριπίδης Ἀλκ. στίχ. 110. Χαίτα τ᾽ οὔτις ἐπὶ προθύροις τομαία» Ταύτας οὖν τὰς χαίτας τὰς ἐπὶ τῶν θυρῶν τάχ᾽ ἂν

Λοιβαί τε νεκύων φθιμένων,
Ἀοιδαὶ, τὰς χρυσοκόμας
Ἀπόλλων οὐκ ἐνδέχεται·
Γόοισιν δ' ὀρθρευομένα
Δάκρυσι, νοτερὰν ἀεὶ πέπλων
Πρὸς στέρνῳ πτύχα τέγξω.
Καὶ μὴν θαλάμας τάσδ' ἐσορῶ δὴ
Καπανέως ἤδη τύμβον θ' ἱερὸν,
Μελάθρων τ' ἐκτὸς
Θησέος ἀναθήματα νεκροῖς,
Κλεινήν τ' ἄλοχον τὴν τοῦ φθιμένου
Τοῦδε κεραυνῷ πέλας Εὐάδνην,
Ἣν Ἶφις ἄναξ παῖδα φυτεύει.
Τί ποτ' αἰθερίαν ἕστηκε πέτραν,
Ἣ τῶνδε δόμων ὑπερακρίζει,
Τήνδ' ἐμβαίνουσα κέλευθον;

## ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΕΥΑΔΝΗ, ΧΟΡΟΣ, ΙΦΙΣ, ΘΗΣΕΥΣ, ΠΑΙΣ

ΕΥ. Τί φέγγος, τίν' αἴγλαν (Στρ.)
Ἐδιφρεύετο Ἅλιος
Σελάνα τε κατ' αἰθέρα
Λαμπάδ', ἵν' ὠκυθόαι νύμφαι

κόμης, καὶ λοιβαὶ νεκρῶν, αἴτια ᾠδῶν, οἵας ὁ χρυσοκόμης Ἀπόλλων οὐ προσίεται ὅλως· ὄρθρῳ δ' αὖ ἐγειρομένη βαΐει, τὴν περὶ τὸ στῆθος ἐσθῆτα καταδεύσω τοῖς δάκρυσι.

Ἀλλ' ἤδη ὁρῶ τήν τε σορὸν καὶ τὸν τάφον τοῦ Καπανέως· τά τ' ἀναθήματα ἐκτεθειμένα, ἃ Θησεὺς προσφέρει τοῖς νεκροῖς κόσμον· ἴδε δὲ καὶ Εὐάδνη ἐκείνη ἡ κλεινὴ Καπανέως μὲν γυνὴ, θυγάτηρ δὲ Ἴφιος, τί δήποτε τήνδ' ἀναβαίνει βαδίζουσα, τὴν ἐπὶ τὴν πέτραν ἐκείνην, τὴν τῆς οἰκίας ταύτης ὑπερκειμένην; τίποτ' ἆρ' αὐτῇ τοῦτο βούλεται;

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

## ΕΥΑΔΝΗ, ΧΟΡΟΣ, ΙΦΙΣ, ΘΗΣΕΥΣ, ΠΑΙΣ

**ΕΥ.** Ὦ ἄστρον λαμπρὸν τῆς ἡμέρας ἥλιε, καὶ σὺ ἡ σελήνη ἡ λαμπὰς τῆς νυκτὸς ἐν λαμπρῷ τῷ αἰθέρι, ἔνθα αἱ

λέγοι στεφάνους. 976. Λοιβαὶ νεκύων φθιμένων] τοῦθ' ὅλως ἐν ἄλλοις οὐ κεῖται· εἶεν δ' ἂν τὸ, Λοιβαὶ, ἀοιδαὶ, οἷον θυσίαι, ἢ χοαὶ πένθιμοι τοῖς νεκροῖς, οὐχ Ἀπόλλωνι τῷ ἀοιδῷ προσήκουσαι (οὗτος γὰρ ὕμνων καὶ μελῶν εὐθύμων ἐστιν ἀοιδος) ἀλλ' αὐτῷ τῷ Ἅδῃ· ὡς ἀνωτέρω στίχ. 775. Ἄδραστος ἔφη. Ἄδου τε μολπὰς ἐκχέω δακρυῤῥόους. 993 Ἅλιος] οὕτως ἐξ ἄλλων ἀντὶ τοῦ Τάλας· τοῦτο γὰρ καὶ τῇ ἐννοίᾳ καὶ τῷ μέτρῳ προσῆκον 995. Λαμπάδ'] λέγουσι τινες δυϊκὸν εἶναι τοῦτο, Λαμπάδε, ἀναφέροντες αὐτὸ πρὸς τοὺς δύο Φωστῆρας· ἐμοὶ δὲ δοκεῖ ἐκληφθῆναι ἀντὶ ἐπιθέτου τῆς αἰθέρος· ὡς φαμὲν ἡ Ἑλλὰς φωνὴ, καὶ ὁ λῆρος Κλέων, οὕτω καὶ ἡ λαμπὰς αἰθὴρ, ὅ ἐστιν ὁ λαμπρὸς αἰ

Ἱππεύουσι δὶ ὀρφναίας,
Ἡνίκα γάμων
Τῶν ἐμῶν πόλις Ἄργους
Ἀοιδὰς εὐδαιμονίας
Ἐπύργωσε καὶ γαμέτα
Χαλκοτευχοῦς τε Καπανέως.
Προσέβαν δρομὰς ἐξ ἐμῶν
Οἴκων ἐκβακχευσαμένα,
Πυρὸς φῶς καθέξουσα, τάφον τε
Βατεύουσα τὸν αὐτὸν,
Ἐς Ἅδα καταλύσουσ'
Ἔμμοχθον
Βίοτον, αἰῶνός τε πόνους·
Ἥδιστος γάρ τοι θάνατος,
Συνθνήσκειν θνήσκουσι φίλοις,
Εἰ δαίμων τάδε δὴ κραίνοι.

ΧΟ. Καὶ μὴν ὁρᾷς τήνδ', ἧς ἐφέστηκας πύλας,
Πυρὰν, Διὸς θησαυρὸν, ἔνθ' ἔνεστι σὸς
Πόσις, δαμασθεὶς λαμπάσιν κεραυνίοις.

ΕΥ. Ὁρῶ δὴ τελευτὰν, (Ἀντ.)
Ἂν ἕστακα, τύχα δέ μοι
Ξυνάπτει ποδός· ἀλλὰ τῆς
Εὐκλείας χάριν ἔνθεν ὁρ-
Μάσω τᾶσδ' ἀπὸ πέτρας,
Πηδήσασα πυρὸς ἔσω,
Σῶμά τ' αἴθοπι φλογμῷ
Πόσει συμμίξασα φίλον,
Χρῶτα χρωτὶ πέλας θεμένα,
Περσεφονείας ἥξω θαλάμους,
Σὲ τὸν θανόντ' οὔποτ' ἐμᾷ
Προδοῦσα ψυχᾷ κατὰ γᾶς.
Ἴτω φῶς γάμοι τε!

ταχύπτεροι νύμφαι χορεύουσι νύκτωρ, τίνα ἡμέραν, τίνα αἴγλην ἐξηνύετε τότε τὴν οὐράνιον ἀψίδα περιδιφρεύοντες, ἡνίχ' ἡ πόλις τῶν Ἀργείων ἐξύμνει ἐμοί τε καὶ τῷ ἀρειμανεῖ Καπανεῖ τὸν ὑμέναιον; Νῦν δ' οὖν, οἷον μαινὰς οἴκοθεν ἤδη ἐκβακχευσαμένη, ἤνυσα· δεῦρο, τήν τε πυρὰν καθέξουσα τοῦ ἀνδρὸς, καὶ τελευτὴν δώσουσα τῷ πολυμόχθῳ βίῳ, ὡς ἐν τῷ αὐτῷ τοῦ ᾅδου καταλύσουσα μετ' ἐκείνου· τί γὰρ ἂν εἴη ἥδιον φίλοις, ἢ συνθνήσκειν ἀλλήλοις; θεὸς δέ μοι τοῦτο τελοίη.

ΧΟ. Καὶ μὴν ὁρᾷς τὴν πυρὰν τὸν τοῦ Διὸς θησαυρὸν, ὑπὸ τοὺς σοὺς πόδας οὖσαν· ἐνταῦθ' ἔσθ' ὁ σὸς ἀνὴρ ὁ ἀποσβολωθεὶς κεραυνῷ.

ΕΥ. Ὁρῶ δῆτα ἐφ' ἧς ἕστηκα τελευτῆς· ἡ τύχη μὲν ἡγεμών μοι πρὸς τοῦτο· ἀλλὰ χάριν εὐκλείας πράττει μοι ταῦτα, ἵν' ἀπὸ ταύτης τῆς πέτρας εἰς μέσην ἐκπηδήσασα τὴν πυρὰν, σῶμά τε σώματι καὶ χρωτὶ χρῶτα τὸν ἐμαυτῆς τῷ τοῦ ἀνδρὸς ἐν τῇ φλογὶ ἐφαρμόσασα, εἶμι εἰς τοὺς τῆς Περσεφόνης θαλάμους· Σὲ δ', ὦ φίλτατε Καπανεῦ, οὔποθ' ἑκοῦσα ἐπὶ γῆς προδώσω ἀποθανόντα· γάμοι δέ μοι ὑπόλοιποι καὶ βίος χαιρέτωσαν· εἶεν

θήρ. 1013. Διὸς θησαυρὸν] τὸ μὲν πύλας γράφουσι τινὲς πέλας. Θησαυρὸν δὲ οὐκ οἶδ' ἐφ' ὅτῳ τοῦτο καλεῖ εἰ μὴ εἴποι τις τὸ πῦρ τοῦ Διὸς, αὐτὸν τὸν κεραυνὸν, ὡς ἀνωτέρω στίχ. 935. 1016. Τυχα δε μοι] γραφειν δ' ἀξιοῦσι τινὲς

Εἴθε τινὲς εὐναὶ
Δικαίων ὑμεναίων
Ἐν Ἄργει
Φανεῖεν τέκνοισιν· ὁ σὸς δ᾽
Εὐναῖος γαμέτας
Συντηχθείη αὔραις ἀδόλοις
Γενναίας ἀλόχῳ ψυχᾶς.

ΧΟ. Καὶ μὴν ὅδ᾽ αὐτὸς σὸς πατὴρ βαίνει πέλας,
Γεραιὸς Ἶφις ἐς νεωτέρους λόγους,
Οὓς οὐ κατειδὼς, πρόσθεν ἀλγήσει κλύων.

ΙΦ. Ὦ δυστάλαινα, δυστάλας δ᾽ ἐγὼ γέρων,
Ἥκω, διπλοῦν τὸ πένθιμον δόμων ἔχων,
Τὸν μὲν θανόντα παῖδα Καδμείων δορὶ
Ἐτέοκλον ἐς τὴν πατρίδα ναυσθλώσων νεκρὸν,
Ζητῶν τ᾽ ἐμὴν παῖδ᾽, ἣ δόμων ἐξώπιος
Βέβηκε πηδήσασα, Καπανέως δάμαρ,
Θανεῖν ἐρῶσα σὺν πόσει· χρόνον μὲν οὖν
Τὸν πρόσθ᾽ ἐφρουρεῖτ᾽ ἐν δόμοις· ἐπεὶ δ᾽ ἐγὼ
Φυλακὰς ἀνῆκα τοῖς παρεστῶσιν κακοῖς,
Βέβηκεν· ἀλλὰ τῇδέ νιν δοξάζομεν
Μάλιστ᾽ ἂν εἶναι· φράζετ᾽, εἰ κατοίδατε.

ΕΥ. Τί τάσδ᾽ ἐρωτᾷς; ἥδ᾽ ἐγὼ πέτρας ἔπι,
Ὄρνις τὶς ὡσεὶ, Καπανέως ὑπὲρ πυρᾶς
Δύστηνον αἰώρημα κουφίζω, πάτερ.

ΙΦ. Τέκνον, τίς αὔρα; τίς στόλος; τίνος χάριν
Δόμων ὑπερβᾶσ᾽ ἦλθες εἰς τήνδε χθόνα;

---

οὐ τύχα. 1031. Ὁ σὸς] ἐν ἄλλοις δὲ, ὅσος· σκοτεινὸν δ᾽ οὖν τὸ χωρίον, εἴγε καὶ τὸ συντηχθείη (ἐς γὰρ τοῦτο μετέβαλον τὸ συντηχθείς, ὡς ἀνανταπόδοτον οὖσαν τὴν εὐθεῖαν) ἐστὶ ἀμφίβολον, πότερον παρὰ τὸ συντήκεσθαι, ἢ παρὰ

δέ μοι μόνον οἱ παῖδες ὀπίσω εὐδαίμονες, εὐδαιμόνων γάμων τυχόντες ἐν Ἄργει· τὸ δὲ σὸν σῶμα, τὸ ὁμόλεκτρόν μοι γεγενημένον, συντακείη ἐν αὔραις καθαραῖς τοῦ πυρὸς ἐμοὶ τῇ σῇ γυναικὶ, ἐκ γενναίας τοῦτο δεξαμένη ψυχῆς.

**ΧΟ.** Ἀλλ' ἴδε ὁ γεραιὸς Ἶφις, ὁ σὸς ἐκεῖνος πατὴρ ἐξανύτει δεῦρο μεταξὺ τῶν καινῶν τούτων λόγων· ὦ δύστηνος, ἐκεῖνος, οἷα νῦν ἀκούσας, ἀλγήσει.

**ΙΦ.** Ὦ δυστάλαινα, σύτε κἀγὼ ὁ πατὴρ ὁμοίως· ὃς διπλοῦν πένθος διώκων, ἥκω· τόν τε γὰρ Ἐτεόκλου τοῦ φιλτάτου παιδὸς νεκρὸν ἀφῖγμαι οἴκαδε κομισόμενος, καὶ τὴν παῖδα Εὐάδην, ταύτην δὴ τὴν τοῦ Καπανέως ζητήσων γυναῖκα· ἥτις ἐρῶσα συναποθανεῖν τῷ ἀνδρὶ, ἐξεπήδησεν οἴκοθεν ἐπὶ τάδε· τὸν γὰρ πρόσθεν χρόνον φρουρουμένη, τῆς φυλακῆς μικρὸν παραμεληθείσης ἐκ τῶν παρόντων κακῶν, ἀπέδρα λαθοῦσα, καὶ νῦν οἴομαι ὧδε εἶναι· ἀλλὰ φράζοιτ' ἄν μοι ὑμεῖς, εἴπῃ κατίδετ' ἐκείνην ἐνταῦθα.

**ΕΥ.** Ἥδ' ἐγώ εἰμι ὧδε, πάτερ, ὡς ὄρνις ὑπερπτάσα τῆς πέτρας ταύτης ἐπὶ τῆς πυρᾶς Καπανέως· κοὐδεῖ παρὰ τούτων πυνθάνεσθαι· ἀλλ' ἡ πτῆσις αὕτη αὐτίκα μάλα δάκρυσι δάκρυά σοι προσθήσει.

**ΙΦ.** Τίς αὔρα αὕτη; τίς ὁδὸς σφαλερά; τί δήποτ' ἐγκαταλιποῦσα τὰ οἴκοι, ἀφῖξαι, ὦ θύγατερ, δεῦρο;

---

τὸ συντάττεσθαι γίγνεται. 1052. Στόλος] ἐκ τοῦ Αὔρα συνάγεται, ὅτι περὶ τῆς ὁδοιπορίας αὐτῆς λέγει· καὶ παρακατιων στόλον λέγει τὸν τοῦ σώματος

ΕΥ. Ὀργὴν λάβοις ἂν, τῶν ἐμῶν βουλευμάτων
Κλύων· ἀκοῦσαι δ' οὔ σε βούλομαι, πάτερ.
ΙΦ. Τί δ'; οὐ δίκαιον, πατέρα τὸν σὸν εἰδέναι;
ΕΥ. Κριτὴς ἂν εἴης οὐ σοφὸς γνώμας ἐμῆς.
ΙΦ. Σκευῇ δὲ τῇδε τοῦ χάριν κοσμεῖς δέμας;
ΕΥ. Θέλει τι κλεινὸν οὗτος ὁ στόλος, πάτερ.
ΙΦ. Ὡς οὐκ ἐπ' ἀνδρὶ πένθιμος πρέπεις ὁρᾷν.
ΕΥ. Ἐς γάρ τι πρᾶγμα νεοχμὸν ἐσκευάσμεθα.
ΙΦ. Κἄπειτα τύμβῳ καὶ πυρᾷ φαίνῃ πέλας;
ΕΥ. Ἐνταῦθα γὰρ δὴ καλλίνικος ἔρχομαι.
ΙΦ. Νικῶσα νίκην τίνα; μαθεῖν χρῄζω σέθεν.
ΕΥ. Πάσας γυναῖκας, ἃς δέδορκεν Ἥλιος.
ΙΦ. Ἔργοις Ἀθάνας, ἢ φρενῶν εὐβουλίᾳ;
ΕΥ. Ἀρετῇ. πόσει γὰρ συνθανοῦσα κείσομαι.
ΙΦ. Τί φής; τί τοῦτ' αἴνιγμα σημαίνεις σαθρόν;
ΕΥ. Ἄσσω θανόντος Καπανέως τήνδ' ἐς πυράν.
ΙΦ. Ὦ θύγατερ, οὐ μὴ μῦθον ἐπὶ πολλοὺς ἐρεῖς.
ΕΥ. Τοῦτ' αὐτὸ χρῄζω πάντας Ἀργείους μαθεῖν.
ΙΦ. Ἀλλ' οὐδὲ τοί σοι πείσομαι δρώσῃ τάδε.
ΕΥ. Ὅμοιον· οὐ γὰρ μὴ κίχῃς μ' ἑλὼν χερί.
Καὶ δὴ παρεῖται σῶμα, σοὶ μὲν οὐ φίλον,
ἡμῖν δὲ καὶ τῷ συμπυρουμένῳ πόσει.
ΧΟ. Ἰὼ! γύναι, δεινὸν ἔργον ἐξειργάσω.
ΙΦ. Ἀπωλόμην δύστηνος, Ἀργείων κόραι.
ΧΟ. Ἒ ἔ! σχέτλια τάδε παθὼν,
Τὸ πάντολμον ἔργον ὄψει τάλας.

---

κόσμον. 1060, Πρέπεις ὁρᾷν] ἀντὶ τοῦ ὁρᾶσθαι· οὐ πρέπει σοὶ ὁρᾶσθαι κεκοσμημένην ἐν τῷ πενθεῖν τὸν ἄνδρα· οὕτω καὶ παρὰ Θουκυδίδῃ, ἄξιος θαυμάζειν ἀντὶ τοῦ θαυμάζεσθαι· ἐν ἄλλοις παραλλάττει πολὺ ἡ γραφὴ ὧδε.

ΕΥ. Οὐ γὰρ ἂν βουλοίμην, ὦ πάτερ, τἀμὰ καταμαθεῖν σε βουλεύματα· οὐ γὰρ πράως οἴσεις ἀκούσας.

ΙΦ. Τί δέ; οὐ χρὴ τὸν πατέρα εἰδέναι ταῦτα;

ΕΥ. Οὐ γὰρ ἂν κρίνοις γε δικαίως τὸ πρᾶγμα.

ΙΦ. Ἡ δὲ σκευὴ αὕτη, δ' ἧς κοσμεῖς τὸ σῶμα;

ΕΥ. Ἔχει τὶ τέλος πρὸς εὔκλειαν, ὦ πάτερ.

ΙΦ. Ἀλλ' οὐκ ἂν ἐμπρέποι θρηνούσῃ σοι τὸν ἄνδρα.

ΕΥ. Πρὸς τὶ νέον βλέπουσαν ὁ κόσμος φέρει.

ΙΦ. Ἔπειτα τολμᾷς φαίνεσθαι πρὸς τῷ τάφῳ;

ΕΥ. Δεῖ γάρ με νῦν τὴν καλλίστην νικᾷν νίκην.

ΙΦ. Τίνα φὴς ταύτην; βούλομαι γὰρ εἰδέναι.

ΕΥ. Νικᾷν γυναῖκας τὰς ὑφ' ἥλιον πάσας.

ΙΦ. Πότερον, ἔργοις τῶν χειρῶν, ἢ φρονήσει;

ΕΥ. Ἀρετῇ γ' αὐτῇ, σὺν τῷ ἀνδρὶ θανοῦσα.

ΙΦ. Τί φὴς, ὦ τέκνον, τίς σαθρὸς οὗτος λόγος;

ΕΥ. Εἰς τὴν Καπανέως πυρὰν μέλλω πηδήσειν, πάτερ.

ΙΦ. Μὴ, τέκνον, ἐπὶ πολλῶν τοιαῦτα λέγε.

ΕΥ. Τοῦτ' αὐτὸ θέλω πάντας μαθεῖν Ἀργείους.

ΙΦ. Οὐ συγχωρήσω σοι τὸ ἀτόπημα τοῦτο.

ΕΥ. Ταὐτὸν ἂν εἴη· τί γὰρ ἂν δράσειας, μὴ δυνάμενος εἴργειν; ἀλλ' ὅρα, ὅπως εἰσπηδήσω νῦν εἰς τὴν φλόγα, σοὶ μὲν εὖ οἶδ' ὅτι μὴ κεχαρισμένα ποιοῦσα, ἐμαυτῇ δὲ καὶ τῷ ἀνδρὶ καὶ μάλιστα φίλα.

ΧΟ. Ἰὼ, ὡς δεινὸν τοῦτ' ἐποίησας γύναι.

ΙΦ. Ἀργεῖαι γυναῖκες, ἀπόλωλα τάλας.

ΧΟ. Αἶ, αἶ, αὐτοῖς ὀφθαλμοῖς πάντολμον ἔργον εἶδες.

---

Πενθίμῳ πρέπει σ' ὁρᾶν. 1079. Ὄψει] ἐκληπτέον τοῦθ' ὡς ὄνομα μᾶλλον· οἷον σχέτλια ὃ ἐστι πάντολμον ἔργον τῇ ὄψει τυγχάνεις παθών.

ΙΦ. Οὐκ ἄν τιν εὕροιτ' ἄλλον ἀθλιώτατον.
ΧΟ. Ἰὼ τάλας!
Μετέλαχες τύχας Οἰδιπόδα, γέρον,
Μέρος καὶ σὺ, καὶ πόλις ἐμὰ τλάμων.
ΙΦ. Οἴ μοι· τί δὴ βροτοῖσιν οὐκ ἔστιν τόδε,
Νέους δὶς εἶναι καὶ γέροντας αὖ πάλιν:
Ἀλλ' ἐν δόμοις μὲν ἤν τι μὴ καλῶς ἔχῃ,
Γνώμαισιν ὑστέραισιν ἐξορθούμεθα,
Αἰῶνα δ' οὐκ ἔξεστιν· εἰ δ' ἦμεν νέοι
Δὶς καὶ γέροντες, εἴ τις ἐξημάρτανεν,
Διπλοῦ βίου λαχόντες, ἐξωρθούμεθ' ἄν.
Ἐγὼ γὰρ ἄλλους εἰσορῶν τεκνουμένους,
Παίδων τ' ἐραστὴς ἦν, πόθῳ τ' ἀπωλλύμην.
Εἰ δ' ἐς τόδ' ἦλθον, κἀξεπειράθην τεκὼν,
Οἷον στέρεσθαι πατέρα γίγνεται τέκνων,
Οὐκ ἄν ποτ' ἐς τόδ' ἦλθον, εἰς ὃ νῦν, κακόν.
Ὅστις φυτεύσας καὶ νεανίαν τεκὼν
Ἄριστον, εἶτα τοῦδε νῦν στερίσκομαι.
Εἶεν· τί δὴ χρὴ τὸν ταλαίπωρόν με δρᾷν;
Στείχειν πρὸς οἴκους; κᾆτ' ἐρημίαν ἴδω
Πολλὴν μελάθρων, ἀπορίαν τ' ἐμῷ βίῳ.
Ἢ πρὸς μέλαθρα τοῦδε Καπανέως μόλω;
Ἥδιστα πρὶν γε δῆθ', ὅτ' ἦν παῖς ἥδε μοι·
(Ἀλλ' οὐκέτ' ἐστίν·) ἥ γ' ἐμὴν γενειάδα
Προσῆγετ' ἀεὶ στόματι, καὶ κάρα τόδε
Κατεῖχε χειρί· πατρὶ δ' οὐδὲν ἥδιον
Γέροντι θυγατρός· ἀρσένων δὲ μείζονες
Ψυχαὶ, γλυκεῖαι δ' ἧσσον ἐς θωπεύματα.
Οὐχ ὡς τάχιστα δῆτά μ' ἄξετ' ἐς δόμους,
Σκότῳ δὲ δώσετ', ἔνθ' ἀσιτίαις ἐμὸν
Δέμας γεραιὸν συντακεὶς, ἀποφθερῶ;

ΙΦ. Τίς ποτ' ἂν ἐμοῦ ἀθλιώτερος εἴη;

ΧΟ. Ἰὼ τάλας, τῆς τοῦ Οἰδίποδος τύχης, ὡς ἔοικε, συμμετέσχες τῇ πόλει καὶ αὐτὸς τὸ σὸν μέρος.

ΙΦ. Οἴμοι· τί δήποτ' οὐ δέδοται τοῖς ἀνθρώποις δὶς τὸ τοῦ βίου στάδιον διανύειν, ἵν' ἐμπειρίᾳ διορθοῖμεν ἐν τῷ δευτέρῳ τὰ πρόσθεν ἡμαρτημένα; τὰ μὲν γὰρ ἔξω καὶ τὰ οἴκοι, εἴτι μὴ καλῶς ἡμῖν εἴη πεπραγμένον, δευτέραις ἐπανορθοῖμεν φροντίσι· τὸν δὲ χρόνον οὐκ ἄν. εἰ δὲ δὶς ἡβῶμεν, ῥᾷς' ἂν τὰ πρόσθεν ἡμαρτημένα ἐν τῷ δευτέρῳ ἐξωρθούμεθα βίῳ· αὐτίκα γὰρ ἐγὼ, ὁρῶν πολλοὺς θάλλοντας εὐτεκνίᾳ, ἐτηκόμην τῷ πόθῳ πατὴρ γενέσθαι τέκνων· πεῖραν δὲ τούτων λαβὼν, καὶ μαθὼν, οἷον ἐγγίνεται πάθος τῷ ἀποστερουμένῳ, οὐκ ἂν δεύτερον εἰς τοῦτο ἦλθον, ὥς' εὔξασθαι αὖθίς ποτε ποιήσασθαι τέκνωσιν· ἄριστον γὰρ παῖδα φύσας, νῦν ἀπεςέρημαι τούτου· τί οὖν χρή με δρᾶν; ἐπανελθεῖν οἴκαδε; καὶ πῶς ἀνέξομαι εὑρὼν αὐτοῦ ἐρημίαν καὶ ἀπορίαν βίου; ἀλλ' ἐς τὴν τοῦ Καπανέως τούτου ἔλθω οἰκίαν; ἥδιστά γε ἂν ἦλθον, ὁπότε περιῆν ἡ θυγάτηρ· ἥ τὴν ἐμὴν περιλαμβάνουσα κεφαλὴν τῇ χειρὶ, προσῆγε τῇ ἑτέρᾳ τὸ γένειον τῷ στόματι φιλῆσαι· πατρὶ γὰρ γεραιῷ θυγατρὸς οὐδὲν ἥδιον· εἴγ' οἱ ἄῤῥενες μείζους μὲν καὶ ἀῤῥενωποὶ τὰς ψυχάς· οὐκ ἐπαγωγοὶ δὲ γέροντας θωπεύμασι τέρπειν. Οὐκοῦν ὡς τάχιστ' ἀπαγαγόντες με οἴκαδε, κατακλείσατέ πη ἐν σκότῳ, ἔνθ' ἀποκαρτερήσας, συντακήσομαι ἀσιτίᾳ; τί γάρ μοι κέρδος

Τί μ' ὠφελήσει παιδὸς ὀστέων θιγεῖν;
Ὦ δυσπάλαιστον γῆρας, ὡς μισῶ σ' ἔχων!
Μισῶ δ' ὅσοι χρήζουσιν ἐκτείνειν βίον,
Βρωτοῖσι καὶ ποτοῖσι καὶ μαγεύμασι
Παρεκτρέποντες ὀχετὸν, ὥστε μὴ θανεῖν·
Οὓς χρῆν, ἐπειδὰν μηδὲν ὠφελῶσι γῆν,
Θανόντας ἔῤῥειν, κἀκποδὼν εἶναι νέοις.

ΗΜ. Ἰώ.
Τάδε δὴ παίδων καὶ δὴ φθιμένων
Ὀστᾶ φέρεται· λάβετ', ἀμφίπολοι,
Γραιας ἀμενοῦς, (οὐ γὰρ ἔνεστιν
Ῥώμη παίδων ὑπὸ πένθους)
Πολλοῦ δὲ χρόνου ζώσας μέτα δὴ,
Καταλειβομένας τ' ἄλγεσι πολλοῖς.
Τί γὰρ ἂν μεῖζον τοῦδ' ἔτι θνατοῖς
Πάθος ἐξεύροις,
Ἢ τέκνα θανόντ' ἐσιδέσθαι;

ΠΑ. Φέρω, φέρω (Στρ. ά.)
Τάλαινα μᾶτερ, ἐκ πυρὸς πατρὸς μέλη,
Βάρος μὲν οὐκ ἀβριθὲς ἀλγέων ὕπερ,
Ἐν δ' ὀλίγῳ τἀμὰ πάντα συνθείς.

ΗΜ. Ἰὼ, ἰώ!
Πᾶ δάκρυα φέρεις φίλα
Ματρὶ τῶν ὀλωλότων,
Σποδοῦ τε πλῆθος ὀλίγον ἀντὶ σωμάτων
Εὐδοκίμων δή ποτ' ἐν Μυκήναις;

ΠΑ. Παπαὶ, παπαί! (Ἀντ. ά.)
Ἐγὼ δ' ἔρημος ἀθλίου πατρὸς τάλας,
Ἔρημον οἶκον ὀρφανεύσομαι λαβὼν,
Οὐ πατρὸς ἐν χερσὶ τοῦ τεκόντος.

τῶν τοῦ παιδὸς ὀστέων ψαῦσαι; ὦ δύστηνον γῆρας, ὡς μήποτ' ὤφειλον εἰς σὲ ἐληλακέναι· μισῶ τοίνυν τοὺς ἐκ πάσης μηχανῆς τὸν ἑαυτῶν βίον ἐθέλοντας παρατείνειν, βρωτοῖς τε καὶ ποτοῖς, καὶ ἄλλαις τισὶ μαγγανείαις παρεκτρέποντας ἄλλῃ τὸν ἐπὶ τὸν θάνατον ὀχετὸν, δέον, ὡς μηκέτ' αὐτοὺς ἐπὶ γῆς χρησίμους ὄντας, ἐκποδῶν γενέσθαι τοῖς νέοις.

ΗΜ. Ἰώ· ἰδοὺ φέρεται τὰ τῶν τεθνεώτων ὀστᾶ· λάβεσθέ μου, ὦ ἀμφίπολοι, λάβεσθε γραὸς, ὑπό τε τῶν ἐτῶν καὶ τοῦ πάθους τῶν παίδων ἀσθενοῦς καὶ ἀβληχρᾶς ἐς τοὔσχατον γεγενημένης· τί γὰρ κακὸν γένοιτ' ἂν μεῖζον ἀνθρώποις, ἢ τοὺς τῶν τέκνων νεκροὺς ὁρᾶν προτεθειμένους;

ΠΑ. Φέρω, ὦ μῆτερ δύστηνε, ἰδοὺ φέρω τὰ τοῦ πατρὸς ὀστᾶ, βάρος μὲν πολὺ ἀλγεῖν· ἐν δὲ σμικρῷ ἀγγείῳ πάντα τὰ ἐμαυτοῦ συλλέξας φίλα.

ΗΜ. Ἰὼ, ἰώ· δάκρυα φίλα φέρεις, ὦ παῖ, τῇ μητρὶ, βραχεῖαν σποδὸν ἀντὶ σωμάτων ἀρίστων ἐν Μηκύναις γεγονότων.

ΠΑ. Παπαὶ, παπαί· ἔρημος ἐγὼ πατρὸς καταλελειμμένος κοὐκέτ' ἐν ἀγκάλαις ἐκείνου ὢν, ὀρφανίαν ὑποίσω.

---

1113. Νώτοισι καὶ στρωμναῖσι] ἀντὶ τούτου γέγραφα ὡς ἐν ἄλλοις κεῖται, βρωτοῖσι καὶ ποτοῖσι. 1121. Ἀμενοῦς] μὴ ἐχούσης μένος δύναμιν. Το δὲ λάβετ' αμειβον λάβεσθ'. 1123. Ζώσας] οὕτως ἀντὶ τοῦ σώζεις· τοῦτο δὲ ὥσπερ καὶ το ἑπόμενον

ΗΜ. Ἰὼ, ἰώ!
Ποῦ δὲ πόνος ἐμῶν τέκνων;
Ποῦ νυχευμάτων χάρις,
Τροφαί τε ματρὸς, ἄυπνά τ' ὀμμάτων τέλη
Καὶ φίλιαι προσβολαὶ προσώπων;

* * *

ΠΑ. Βεβᾶσιν, οὐκέτ' εἰσί σοι, μᾶτερ, τέκνα, (Στρ. β'.)
Βεβᾶσιν· αἰθὴρ ἔχει νιν ἤδη
Πυρὸς τετακότας σποδῷ·
Ποτανοὶ δ' ἤνυσαν τὸν Ἅδαν.
Πάτερ, σὺ μὲν τῶν σῶν κλύεις τέκνων γόους·
Ἆρ' ἀσπιδοῦχος ἔτι ποτ' ἀντιτίσομαι
Σὸν φόνον;
ΑΔ. Εἰ γὰρ γένοιτο τέκνον!
ΠΑ. Ὅταν θεοῦ θέλοντος, ἔλθῃ μοι δίκα (Ἀντ. β'.)
Πατρῷος· οὔπω κακὸν τόδ' εὕδει.
ΧΟ. Αἲ αἶ! γόων ἅλις τύχας,
Ἅλις δ' ἀλγέων ἐμοὶ πάρεστιν.
ΠΑ. Ἆρ' ἔσθ' ὅτ' Ἀσωποῦ με δέξεται γάνος
Χαλκέοισιν ὅπλοις Δαναϊδῶν στρατηλάταν,
Τοῦ φθιμένου πατρὸς ἐκδικαστάν;

* * *

Ἔτ' εἰσορᾷν σε, πάτερ, ἐπ' ὀμμάτων δοκῶ (Στρ. γ'.)
Φίλον φίλημα παρὰ γένυν τιθέντα σόν.
Λόγων δὲ παρακέλευσμα σῶν
Ἀέρι φερόμενον οἴχεται.
ΑΔ. Δυοῖν δ' ἄχη, ματέρι τ' ἔλιπε,
Σέ τ' οὔποτ' ἄλγη πατρῷα λείψει.

ΗΜ. Ἰὼ, ἰώ· ποῦ μοι ὠδῖνες τῶν τέκνων; ποῦ δ' ἡ χάρις τῶν νυκτερινῶν ἀσπασμάτων; ποῦ τροφαὶ μητρὸς, ἄϋπνία τ' ὀμμάτων, καὶ παρειῶν παρειαῖς προσβολαί;

ΠΑ. Φροῦδοί σοι, μῆτερ, παῖδες ᾤχοντ' ἀποστάντες· ἀναλωθέντες δ' ἐν τῷ πυρὶ, ἀπῄεσαν εἰς τὸν Ἅδην· Ὦ πάτερ ἀκούεις μου ἴσως τοὺς λόγους· ἆρα τίσομαί σοι τὸν φόνον, ἐπειδὰν τάχισθ' οἷός τε ὦ ἀσπίδα φέρειν;

ΑΔ. Γένοιτό σοι, ὦ παῖ, τυχεῖν τούτου.

ΠΑ. Ἡνίκα σὺν θεοῖς ἔλθοι μοι καιρὸς, ἐν ᾧ δίκην λήψομαι τοῦ πατρῴου θανάτου· τὸ γὰρ κακὸν τοῦτο οὔποτ' ἂν σβαίη ῥαδίως.

ΧΟ. Αἶ, αἶ· πολλά μοι πάρεστι κλαίειν, πολλὰ δὲ θρηνεῖν.

ΠΑ. Ἆρ' ἔσθ' ὅτ' Ἀσωποῦ με δέξεται γάνος στρατηγὸν τῶν Ἑλλήνων σὺν ὅπλοις, ὥστε δίκην τοῦ πατρῴου φόνου λαβεῖν; Ὦ πάτερ, σὲ μὲν δοκῶ μοι ἔθ' ὁρᾷν, φίλημά μοι τῷ προσώπῳ διδόντα· ἀλλ' οἱ λόγοι, οὓς ἔλεγές μοι, ἀπέπταν φροῦδοι εἰς τὸν αἰθέρα· ἀποθανὼν δὲ, μέγαν ἔλιπες πόνον.

ΑΔ. Ἀμφοτέροις ὑμῖν ἀποθανὼν βάρος ἀφῆκε μέγα· τῇ τε γὰρ μητρὶ λύπη ἔσται, καὶ σε ὁ πόνος οὐδέποτε λείψει.

---

καταλειβομένης σύνταξον πρὸς τὸ Γραίας ἀνωτέρω· τα δ' ἄλλα διὰ μέσου. 1142. Νυχευμάτων χάρις] τὰς νυκτερινὰς φησὶ φροντίδας καὶ φιλήματα τῶν παίδων. εἰ μὴ διέφθαρται· ἄλλοθι γὰρ οὐκ ἐχρήσατο τῇ λέξει. 1157. Ἆρ' ἔσθ' ὅτ'] τοῦτο οὕτως ὑπό τινος διορθωθὲν ἐδεξάμην ἀντὶ τοῦ. Στάσω ποῦ με· ἔστι δὲ γάνος ἡ τοῦ ὕδατος λάμψις, τέρψις· ὡς δ' αὔτως διορθώθη καὶ τὸ Στρατηλατῶν εἰς τὸ στρατηλάταν κατὰ τὸ ἑπομένως, ἐκ δικαστάν. 1184. Δυοῖν] μὴ εἰδὼς ὅπως συμβιβάσω τοῦτο, ἀπέδωκα αὐτὸ τῷ Ἀδράστῳ ἀπὸ τοῦ στόματος λαβὼν

ΧΟ. Ἔχω τοσόνδε βάρος, ὅσον μ' ἀπώλεσεν. (Ἀντ. γ'.)
Φέρ', ἀμφὶ μαστὸν ὑποβάλω σποδόν.
ΠΑ. Ἔκλαυσα, τόδε κλύων ἔπος
Στυγνότατον· ἔθιγέ μου φρενῶν.
ΧΟ. Ὦ τέκνον, ἔβας· οὐκέτι φίλον
Φίλας ἄγαλμ' ὄψομαί σε ματρός.
ΘΗ. Ἄδραστε, καὶ γυναῖκες Ἀργεῖαι γένος,
Ὁρᾶτε παῖδας τούσδ' ἔχοντας ἐν χεροῖν
Πατέρων ἀρίστων σώμαθ', ὧν ἀνειλόμην.
Τούτοις ἐγώ σε καὶ πόλις δορούμεθα.
Ὑμᾶς δὲ τῶνδε χρή χάριν μεμνημένους
Σώζειν, ὁρῶντας, ὧν ἐκύρσατ' ἐξ ἐμοῦ.
Παισίν θ' ὑπεῖπον τοῖσδε τοὺς αὐτοὺς λόγους,
Τιμᾶν πόλιν τήνδ', ἐκ τέκνων ἀεὶ τέκνοις
Μνήμην παραγγέλοντας, ὧν ἐκύρσατε.
Ζεὺς δὲ ξυνίστωρ, οἵ τ' ἐν οὐρανῷ θεοὶ,
Οἵων ὑφ' ἡμῶν στείχετ' ἠξιωμένοι.
ΑΔ. Θησεῦ, ξύνισμεν πάνθ', ὅσ' Ἀργείων χθόνα
Δέδρακας ἐσθλὰ, δεομένην εὐεργετῶν,
Χάριν τ' ἀγήρων ἕξομεν· γενναῖα γὰρ
Παθόντες, ὑμᾶς ἀντιδρᾶν ὀφείλομεν.
ΘΗ. Τί δή ποθ' ὑμῖν ἄλλ' ὑπουργῆσαί με χρή;
ΑΔ. Χαῖρ'. ἄξιος γὰρ καὶ σὺ, καὶ πόλις σέθεν.
ΘΗ Ἔσται τάδ'. ἀλλὰ καὶ σὺ τῶν αὐτῶν τύχοις.
ΑΘ. Ἄκουε, Θησεῦ, τούσδ' Ἀθηναίας λόγους,

---

τοῦ παιδός. 1166. Ἔχω τοσόνδε βάρος] ἀποδιδόασι τοῦτο τῷ τοῦ Ἴφιος ἔγ-

ΧΟ. Ἀλλ᾽ ἔχω τοσοῦτον βάρος, ὅσον ἀπώλεσέ με, ἔχω τὴν σποδὸν, ἣν φέρε τῷ ἐμαυτῆς ἐγκατάθωμαι κόλπῳ·

ΑΔ. Φεῦ, φεῦ· ὡς ἄλγιστόν μοι τὸ ῥῆμα τοῦτο, ὡς πικρῶς τῆς ἐμῆς καρδίας καθήψατο.

ΧΟ. Ὦ τέκνον, οἴχῃ ἀφ᾽ ἡμῶν· οὐκέτι τὸ φίλτατον ἄγαλμα τῇ μητρὶ ὄψομαί σε.

ΘΗ. Ἄδραστε, καὶ ἡμεῖς αἱ γυναῖκες αἱ τῶν τεθνεώτων μητέρες, ὁρᾶτε τοὺς παῖδας τούτους ἔχοντας ἐν ἀγκάλαις τὴν τῶν ἑαυτῶν πατέρων σποδόν· οὓς ἐγὼ παραδέδωκα τάφῳ· τούτους οὖν ἐγώ τε καὶ ἡ πόλις τῶν Ἀθηναίων ὑμῖν δωρούμεθα· ὑμᾶς δὲ χρὴ αὐτούς τε τὴν χάριν εἰς ἡμᾶς ἀπομνημονεύειν, καὶ τοῖς παισὶ ταὐτὰ ὑμῖν προπαρήγγειλα τοῖσδε τιμᾶν Ἀθηναίους, εἰς τέκνα τέκνων τὴν μνήμην, ὧν εὖ τυγχάνετε πεπονθότες, διαδιδόντας. Ζεὺς δὲ καὶ οἱ ἄλλοι θεοὶ ἴσωσαν, οἷα παρ᾽ ἡμῶν πράξαντες, ἄπιτε.

ΑΔ. Ναὶ, Θησεῦ, σύνισμεν πάνθ᾽, ἃ εὖ κἀν καιρῷ πεποίηκας Ἄργος· καὶ ἡ χάρις τούτων ἀποκείσεται ἐσαεὶ ἀνάγραπτος παρ᾽ ἡμῖν· οἷον γὰρ ἔρανον ἐσμὲν εἰληφότες, τοιοῦτον ὀφείλομεν ἀποδοῦναι.

ΘΗ. Τί οὖν ὑπόλοιπόν μοι ὑμῖν χαρίσασθαι;

ΑΔ. Χαῖρε· ἄξιος γὰρ εἶ τοῦτ᾽ ἔχειν σὺν πᾶσιν Ἀθηναίοις.

ΘΗ. Δέχομαι· εἴη δὲ καὶ σοὶ τυχεῖν τούτου.

ΑΘ. Ἄκουε, Θησεῦ, Ἀθηνᾶς κελευούσης, ἃ χρή σε δρῶντα,

---

ματι οὐ καλῶς· Ἶρις γὰρ δοκεῖ προαναχωρῆσαι ὅσον εἰκάσαι ἐκ τῶν εἰρημέ-

Ἃ χρή σε δρᾶσαι, δρῶντα δ' ὠφελεῖν τάδε·
Μὴ δῷς τάδ' ὀστᾶ τοῖσδ' ἐς Ἄργειαν χθόνα
Παισὶν κομίζειν, ῥᾳδίως οὕτω μεθείς.
Ἀλλ' ἀντὶ τῶν σῶν καὶ πόλεως μοχθημάτων
Πρῶτον λάβ' ὅρκον. τόνδε δ' ὀμνύναι χρεὼν
Ἄδραστον· οὗτος κύριος, τύραννος ὤν,
Πάσης ὑπὲρ γῆς Δαναΐδῶν ὁρκωμοτεῖ.
Ὁ δ' ὅρκος ἔσται, μή ποτ' Ἀργείους χθόνα
Ἐς τήνδ' ἐποίσειν πολέμιον πανteυχίαν,
Ἄλλων τ' ἰόντων, ἐμποδὼν θήσειν δόρυ.
Ἢν δ' ὅρκον ἐκλιπόντες, ἔλθωσιν πόλιν,
Κακῶς ὀλέσθαι πρόςρεπ' Ἀργείων χθόνα.
Ἐν ᾧ δὲ τέμνειν χρὴ σφάγιά σ', ἄκουέ μου·
Ἔστιν τρίπους σοι χαλκόπους εἴσω δόμων,
Ὃν Ἰλίου ποτ' ἐξαναστήσας βάθρα,
Σπουδὴν ἐπ' ἄλλην Ἡρακλῆς ὁρμώμενος,
Στῆσαί σ' ἐφεῖτο Πυθιλὴν πρὸς ἐσχάραν.
Ἐν τῷδε λαιμοὺς τρεῖς τριῶν μήλων τεμὼν,
Ἔγγραψον ὅρκους τρίποδος ἐν κοίλῳ κύτει,
Κἄπειτα σώζειν θεῷ δὸς, ᾧ Δελφῶν μέλει,
Μνημεῖά θ' ὅρκων, μαρτύρημά θ' Ἑλλάδι.
Ἣ δ' ἂν διοίξῃς σφάγια, καὶ τρώσῃς φόνον,
Ὀξύστομον μάχαιραν ἐς γαίας μυχοὺς
Κρύψον παρ' αὐτὰς ἑπτὰ πυρκαιὰς νεκρῶν.
Φόβον γὰρ αὐτοῖς, ἤν ποτ' ἔλθωσιν πόλιν,
Δειχθεῖσα θήσει, καὶ κακὸν νόστον πάλιν.
Δράσας δὲ ταῦτα, πέμπε γῆς ἔξω νεκρούς.
Τεμένη δ', ἵν' αὐτῶν σώμαθ' ἡγνίσθη πυρὶ,
Μέθες παρ' αὐτὴν τριόδον Ἰσθμίας θεοῦ.

χρησίμως χρήσασθαι τοῖς παροῦσι· μὴ μεθῇς οὕτω ῥᾷςα τοῖσδε τοῖς παισὶ τὰ ὀςᾶ κομίσασθαι οἴκαδε πρὶν ἢ Ἄδραστον, πρῶτον καὶ τύραννον Ἀργείων ὄντα, ὑπὲρ πάντων ὀμόσαι, ἦ μὴν μήτ' Ἀργείους αὐτοὺς ἐπιέναι ἐπ' Ἀθήνας πολέμῳ, καὶ ἄλλου αὖ ἐπιόντος, κωλύσειν· παραβάντας δὲ ταῦτα, πρόστρεπ' αὐτοὺς κακοὺς κακῶς ἀπολέσθαι· δεῖ δὲ καὶ ἐντεμεῖν ἐπὶ τούτοις ἐν τρίποδι χαλκῷ· ὃς κεῖται οἴκοι· Ἡρακλῆς γὰρ, ὁπότ' ἐξελὼν Τροίαν, σπουδὴν ἔχων πρόςτι, δέδωκέ σοι τοῦτον ἀναθεῖναι εἰς τὸ ἐν Δελφοῖς ἱερόν· Ἐν τούτῳ τοίνυν τρεῖς τεμὼν οἶς, ἐγχάραξον πρὸς τῷ πυθμένι αὐτοῦ τοὺς ὅρκους. γράψας δὲ, δὸς τῷ τῶν Δελφῶν κηδομένῳ θεῷ φυλάττειν μνημεῖά τε τῶν ὅρκων, καὶ πᾶσαν τὴν Ἑλλάδα ποιούμενος μάρτυρα· ἔνθα δὲ σφαγιάσεις, κατόρυξον τὴν μάχαιραν παρ' αὐτῇ τῇ πυρᾷ τῶν ἑπτά· ἣν γάρ ποτε παρασπονδήσαντες, ἐπίωσιν ἐφ' ὑμᾶς οἱ Ἀργεῖοι, ἀναφανεῖσα ἐκείνη, ἐπισείσει αὐτοῖς τὸν φόβον, καὶ κακοὺς κακῶς ἐξελάσει ἀπὸ τῆς χώρας πάλιν εἰς τὴν ἑαυτῶν ἀπιέναι· ταῦτα δὲ πάντα ποιήσας, πέμπε τὰ ὀςᾶ, ἧς ἄρχεις ἔξω. ἔνθα δὲ ἡγνίσθη τὰ σώματα τῷ πυρὶ, τέμενος ἔσω πρὸς αὐτῇ τῇ τριόδῳ τῆς Ἰσθμίας θεοῦ. καὶ ταῦτα μὲν πρὸς σέ·

---

νων αὐτῷ ἀνωτέρω.' στίχ. 1107. καὶ ἑξῆς. 1215. Ἰσθμίας θεοῦ] ἐν ἄλλοις κεῖται, Ἰσθμίαν θεῷ. ἀλλὰ καὶ τοῦτ' ὕποπτον· λέγουσι δὲ Λευκοθέαν εἶναι τὴν

Σοὶ μὲν τάδ' εἶπον· Παισὶ δ' Ἀργείων λέγω·
Πορθήσεθ' ἡβήσαντες Ἰσμηνοῦ πόλιν,
Πατέρων θανόντων ἐκδικάζοντες φόνον,
Σύ τ' ἀντὶ πατρὸς, Αἰγιαλεῦ, στρατηλάτης
Νέος καταστὰς, παῖς τ' ἀπ' Αἰτωλῶν μολὼν
Τυδέως, ὃν ὠνόμαζε Διομήδην πατήρ.
Ἀλλ' οὐ φθάνειν χρὴ συσκιάζοντας γένυν,
Καὶ χαλκοπληθῆ Δαναϊδῶν ὁρμᾶν στρατὸν
Ἑπτάστομον πύργωμα Καδμείων ἔπι.
Πικροὶ γὰρ αὐτοῖς ἥξετ', ἐκτεθραμμένοι
Σκύμνοι λεόντων, πόλεος ἐκπορθήτορες.
Κοὐκ ἔστιν ἄλλως. Ἐπίγονοι δ' ἀν' Ἑλλάδα
Κληθέντες, ᾠδὰς ὑστέροισι θήσετε.
Τοῖον στράτευμα σὺν θεῷ πορεύσετε.

ΘΗ Δέσποιν' Ἀθάνα, πείσομαι λόγοισι σοῖς·
Σὺ γάρ μ' ἀνορθοῖς, ὥστε μὴ ξαμαρτάνειν.
Καὶ τόνδ' ἐν ὅρκοις ζεύξομαι· μόνον σύ με
Ἐς ὀρθὸν ἵστη· σοῦ γὰρ εὐμενοῦς πόλει
Οὔσης, τὸ λοιπὸν ἀσφαλῶς οἰκήσομεν·

ΧΟ Στείχωμεν, Ἄδρασθ', ὅρκια δῶμεν
Τῷδ' ἀνδρὶ, πόλει τ'. ἄξια δ' ἡμῖν
Προμεμοχθήκασι σέβεσθαι.

πρὸς δὲ τοὺς τῶν Ἀργείων παῖδας ἐκεῖνα. ἴσθ' ὑμεῖς, ἂμ ἡβήσαντες, ἐξαιρήσεσθε θήβας, τὸν πατρῷον τίοντες φόνον. σύ τε γὰρ, ὦ Αἰγιαλεῦ, ϛρατηγὸς ἀντὶ τοῦ πατρὸς γενόμενος, καὶ Διομήδης ὁ Τυδέως ἀπ' Αἰτωλῶν τότ' ἐλθὼν, οὐκ ἂν φθαίητε ἐκφύσαντες γένειον, καὶ ϛρατεύσετε ἐπὶ τὴν Καδμείαν. πικροὶ γὰρ ἐκείνοις πορθηταὶ τῆς πόλεως ἥξετε, ὡς σκύμνοι λεόντων ἐπ' ἐκείνην ἐκτεθραμμένοι· ταῦτα δ' οὐκ ἄλλως ἕξει. Ἐπίγονοι δ' ἐκ τούτου ὄνομα λαβόντες παρ' Ἕλλησι, πολλοῖς πολλῶν ὕμνων ὑποθέσεις ἐν τοῖς ὕστερον παρέξετε χρόνοις· τοιοῦτος ἔσται ὑμῖν σὺν θεῷ ὁ ϛόλος ἐκεῖνος.

ΘΗ. Δέσποιν' Ἀθηνᾶ, πείθομαι πᾶσι τοῖς προστεταγμένοις· σὺ γάρ ἔμοιγ' ἡγεμὼν, ὥστε μὴ σφάλλεσθαι· δήσω δὲ καὶ Ἄδραστον ὅρκοις, ὡς τὸ εἰκός· Σὺ δὲ εἴης μοι ἐν ἅπασιν εὐμενὴς, κἀν τοῖς καθήκουσιν κυβερνῆτίς τε καὶ διδάσκαλος· οὕτω γὰρ ἂν τὸν ἅπαντα αἰῶνα εὐδαιμόνως τὴν πόλιν οἰκοῖμεν.

ΧΟ. Ἄγε, Ἄδραστε, προηγοῦ ἡμῖν πρὸς τοὺς ὅρκους· δεῖ γὰρ δὴ τιμᾷν Ἀθηναίους, ἄξια ὑπὲρ ἡμῶν προηγωνισμένους.

---

Ἰσθμίαν ταύτην θεὰν, οὐ πιθανῶς. 1226. Ἀλλ' οὐ φθάνειν] οὕτως ἄλλος μετέβαλεν ἀντὶ τοῦ φθονεῖν, ἵνα ᾖ διερμηνευθὲν ὧδ' ἔχον· πρὶν ἢ φθάσαι συσκιάσα τὴν γένυν, χρὴ ἐξορμᾷν τὸν ϛρατὸν ἐπὶ Θήβας.

ΔΗΜΟΣΙΑ ... ΒΙΒΛΙΟΘΗΚΗ ΒΑΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

# ΙΦΙΓΕΝΕΙΑ
## Η ΕΝ ΑΥΛΙΔΙ.

ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΓΑΜΕΜΝΩΝ.

ΠΡΕΣΒΥΤΗΣ.

ΧΟΡΟΣ.

ΜΕΝΕΛΑΟΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΙΦΙΓΕΝΕΙΑ.

ΑΧΙΛΛΕΥΣ.

ΘΕΡΑΠΩΝ.

ΑΓΓΕΛΟΣ.

# ΙΦΙΓΕΝΕΙΑ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

**ΑΓΑΜΕΜΝΩΝ, ΠΡΕΣΒΥΤΗΣ, ΧΟΡΟΣ, ΜΕΝΕΛΑΟΣ.**

ΑΓ. Ὦ ΠΡΕΣΒΥ, δόμων τῶνδε πάροιθεν
Στεῖχε.
ΠΡ. Στείχω· τί δὲ καινουργεῖς,
Ἀγάμεμνον ἄναξ;
ΑΓ. Πεύσῃ.
ΠΡ. Σπεύδω.
Μάλα τοι γῆρας τοὐμὸν ἄϋπνον,
Καὶ ἐπ᾽ ὀφθαλμοῖς ὀξὺ πάρεστιν.
ΑΓ. Τίς ποτ᾽ ἄρ᾽ ἀστὴρ ὅδε πορθμεύει;
ΠΡ. Σείριος ἐγγὺς τῆς ἑπταπόρου
Πλειάδος ἄσσων ἔτι μεσσήρης.
ΑΓ. Οὔκουν φθόγγος γ᾽ οὔτ᾽ ὀρνίθων,

---

8. Πλειάδος] λέγεται δὲ Πλειὰς καὶ πληθυντικῶς πλειάδες, ἀστερισμός τις

# ΙΦΙΓΕΝΕΙΑ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

ΑΓΑΜΕΜΝΩΝ, ΠΡΕΣΒΥΤΗΣ, ΧΟΡΟΣ, ΜΕΝΕΛΑΟΣ.

ΑΓ. Ω ΓΕΡΩΝ ἔξελθε μικρὸν τῆς σκηνῆς.

ΠΡ. Ἰδοὺ ἐγὼ, βασιλεῦ Ἀγάμεμνον, τίποτε πολυπραγμονεῖς;

ΑΓ. Αὐτίκα μάλα μαθήσῃ.

ΠΡ. Πρόθυμος ἐγώ σοι ποιεῖν ὅ,τι ποτὲ κελεύεις. οἶσθα γὰρ καὶ γέροντα ὄντα με σπουδαῖον περὶ σὲ ἀεὶ γεγενημένον.

ΑΓ. Ἀλλά τις οὗτος τῶν ἀςέρων περιοδεύει;

ΠΡ. Σείριος, ὦ δέσποτα· ὃς ἐγγὺς τῆς ἑπταπόρου πλειάδος ἐν μεσουρανήματι ἤδη κατατείνει πρὸς δύσιν.

ΑΓ. Ὡς πολλὴν ὁρῶ ἡσυχίαν, μήτ᾽ ὀρνίθων ἀδόντων, μή-

ἐξ ἑπτὰ ἀστέρων συγκείμενος ἐν οὐρανῷ ἐπὶ τῶν ὤμων τοῦ Ζωδίου Ταύρου ὁ δὲ Σείριος, ἀςὴρ λαμπρὸς ὁ προσγειότατος πάντων, κείμενος εἰς τὸ ζώδιον

Οὔτε θαλάσσης· σιγαὶ δ' ἀνέμων
Τόνδε κατ' Εὔριπον ἔχουσιν.

ΠΝ. Τί δὲ σὺ σκηνῆς ἐκτὸς ἀΐσσεις,
Ἀγάμεμνον ἄναξ;
Ἔτι δ' ἡσηχία τῇδε κατ' Αὖλιν,
Καὶ ἀκίνητοι φυλακαὶ τειχέων.
Στείχωμεν ἔσω.

ΑΓ Ζηλῶ σε, γέρον,
Ζηλῶ δ' ἀνδρῶν, ὃς ἀκίνδυνον
Βίον ἐξεπέρασ' ἀγνὼς, ἀκλεής.
Τοὺς δ' ἐν τιμαῖς ἧσσον ζηλῶ.

ΠΡ. Καὶ μὴν τὸ καλόν γ' ἐνταῦθα βίου.

ΑΓ. Τοῦτο δέ γ' ἐστὶν τὸ καλὸν σφαλερόν·
[Καὶ] τό, τε φιλότιμον
Γλυκὺ μὲν, λυπεῖ δὲ προσιςάμενον.
Τοτὲ μὲν τὰ θεῶν οὐκ ὀρθωθέντ'
Ἀνέτρεψε βίον·
Τοτὲ δ' ἀνθρώπων γνῶμαι πολλαὶ
Καὶ δυσάρεστοι διέκναισαν.

ΠΡ. Οὐκ ἄγαμαι ταῦτ' ἀνδρὸς ἀριστέος.
Οὐκ ἐπὶ πᾶσίν σ' ἐφύτευσ' ἀγαθοῖς,
Ἀγάμεμνον, Ἀτρεύς.
Δεῖ δέ σε χαίρειν καὶ λυπεῖσθαι.
Θνητὸς γὰρ ἔφυς· κἂν μὴ σὺ θέλῃς,
Τὰ θεῶν οὕτω βουλόμεν' ἔσται.
Σὺ δὲ λαμπτῆρος φάος ἀμπετάσας,
Δέλτον τε γράφεις

τε θαλάσσης ἠχούσης, τῶν ἀνέμων ἔνγε τῷ Εὐρίπῳ τούτῳ ἀκριβῶς κοπασάντων.

ΠΡ. Σὺ δ' εἴποις μοι ἄν, ὦ ἄναξ, τί ποτέ σοι βούλεται, ἐκτὸς γενόμενον τῆς σκηνῆς, τὰ τοιαῦτα περιεργάζεσθαι; ἡσυχία γὰρ πᾶσα ἐν τῇ Αὐλίδι, καὶ αἱ τῶν τειχῶν φυλακαὶ ἔτ' ἀκίνητοι ὅλως. εἰσίωμεν τοίνυν.

ΑΓ. Ζηλῶ σε, γέρον· ζηλῶ δὲ καὶ, ὃς ταπεινὸν μὲν καὶ ἀγνῶτα, ἀκίνδυνον δὲ καὶ ἤρεμον διήνυσε βίον· τοὺς δὲ πρὸς φιλοτιμίαν ζῶντας οὐ λίαν ἀσπάζομαι.

ΠΡ. Τί φῄς; καὶ μὴν τὸ καλὸν τοῦ βίου ἐν τῷ τιμᾶσθαι.

ΑΓ. Ἀλλὰ τὸ καλὸν τοῦτ' ἔσφηλε πολλοὺς, καὶ τὸ φιλότιμον οὐ μᾶλλον θέλγει τῇ παρουσίᾳ, ἢ λυπεῖ ταῖς φροντίσι· τά τε γὰρ πρὸς θεοὺς οὐκ ὀρθῶς πολλάκις γενόμενα, τὸν βίον ἀνέτρεψε, καὶ τὸ τῶν ἀνθρώπων ἄλλων ἄλλ' ἀξιούντων, δυσάρεστον διακναίει.

ΠΡ. Οὐκ ἀνδρὸς ἀξίωμ', οἷον αὐτὸς, ἔχοντος, τοιαῦτ' ἐνθυμεῖσθαι· οὐ γὰρ ἐπὶ ῥητοῖς Ἀτρεὺς ἔσπειρέ σοι, ὥστε πάντως ἀπολαύειν τῶν ἀγαθῶν· ἀλλὰ δεῖ θνητῷ πεφυκότι κἀπὸ τῆς ἑτέρας μερίδος μῖγμά τι ταῖς εὐτυχίαις προσεῖναι· τοῦτο γὰρ καὶ ἄκοντί σοι τὸ τῶν θεῶν ἐστι βούλημα· σὺ δὲ τεταραγμένῳ ἔοικας ὅλως· νῦν μὲν γὰρ γράμματα ταῦτα τὰ ἀνὰ χεῖράς σοι φαίνῃ

Κύνα· ὥς' ἀπέχουσι πολὺ ἀπ' ἀλλήλων. 24. Τὰ θεῶν] πότερον, ἃ ἡμεῖς ὀφείλομεν τοῖς θεοῖς ἀποδοῦναι, ἢ ἃ αἰτοῦμεν παρ' ἐκείνων ἡμῖν γενέσθαι; τὸ πρῶτον μᾶλλον. 35. Γράφεις] ἀντὶ γέγραφας· ἐντὸς γὰρ τῆς σκηνῆς ὑπὸ λύ-

Τήνδ', ἣν πρὸ χερῶν ἔτι βαστάζεις,
Καὶ ταὐτα πάλιν γράμματα συγχεῖς,
Καὶ σφαγίζεις, λύεις τ' ὀπίσω,
Ῥίπτεις τε πέδῳ πεύκην, θαλερὸν
Κατὰ δάκρυ χέων·
Καὶ τῶν ἀπόρων οὐδενὸς ἐνδεῖς
Μὴ οὐ μαίνεσθαι· τί πονεῖς; τί πονεῖς;
Τί νέον, τί νέον περὶ σοι, βασιλεῦ;
Φέρε. κοίνωσον μῦθον ἐς ἡμᾶς.
Πρὸς δ' ἄνδρ' ἀγαθόν τε φράσεις·
Σῇ γάρ μ' ἀλόχῳ τότε Τυνδάρεως
Πέμπεν φερνὴν,
Συννυμφοκόμον τε δίκαιον.

ΑΓ. Ἐγένοντο Λήδᾳ Θεστιάδι τρεῖς παρθένοι,
Φοίβη, Κλυτεμνήστρα τ', ἐμὴ ξυνάορος,
Ἑλένη τε· ταύτης οἱ τὰ πρῶτ' ὠλβισμένοι
Μνηστῆρες ἦλθον Ἑλλάδος νεανίαι.
Δειναὶ δ' ἀπειλαὶ καὶ κατ' ἀλλήλων φθόνος
Συνίσταθ', ὅστις μὴ λάβοι τὴν παρθένον.
Τὸ πρᾶγμα δ' ἀπόρως εἶχε Τυνδάρεῳ πατρὶ,
Δοῦναί τε, μὴ δοῦναί τε, τῆς τύχης θ' ὅπως
Ἅψαιτ' ἄριστα· καί νιν εἰσῆλθεν τάδε,
Ὅρκους συνάψαι δεξιάς τε συμβαλεῖν
Μνηστῆρας ἀλλήλοισι, καὶ δι' ἐμπύρων
Σπονδὰς καθεῖναι κἀπαράσασθαι τάδε,
Ὅτου γυνὴ γένοιτο Τυνδαρὶς κόρη,
Τούτῳ συναμυνεῖν, εἴ τις ἐκ δόμων λαβὼν
Οἴχοιτο, τόν τ' ἔχοντ' ἀπωθοίη λέχους,
Κἀπιστρατεύσειν καὶ κατασκάψειν πόλιν,

γράφων ὑπὸ φωτὶ νῦν δ' εἱλίσσων καὶ ἐξειλίσσων ταῦτα, καὶ παντοίως μεταβαλλόμενος· καὶ τέλος ῥίψας αὐτά τε καὶ τὴν δᾷδα κατὰ γῆς, δακρύεις, τὴν πρὸς τὴν μανίαν κατὰ τοὺς ἀμηχάνοις συμφοραῖς περιπεπτωκότας, δοκῶν βαδίζειν· τίς ἡ ἀγωνία αὕτη; τί σοι νέον συνέβη; οὐ φθάνοις εἰπὼν τοῦθ' ἡμῖν πιστοῖς ἐκ πολλοῦ σοι γεγενημένοις χρόνου; φερνὴ γὰρ τῇ σῇ γυναικὶ, καὶ συννυμφοκόμος τυγχάνω σοι δεδομένος παρὰ Τυνδάρεω.

**ΑΓ.** Τυνδάρεω καὶ Λήδας ἐγένοντο θυγατέρες τρεῖς, Φοίβη, Κλυταιμνῆστρα ἡ ἐμὴ γυνὴ, καὶ τρίτη ἡ Ἑλένη· ταύτην δὲ οἱ ἑκασταχοῦ τῆς Ἑλλάδος τὰ πρῶτα φέροντες νεανίαι, ἀφίκοντο μνηστευσόμενοι· καὶ πολλὴ ἦν ἀπειλὴ εἰς χεῖρας ἐλεύσεσθαι, εἴτις αὐτὸς ἀποτύχοι· ἀμηχανοῦντι δὲ τῷ πατρὶ ὅ,τι πράττοι, ἐπῆλθεν αὐτῷ ὅρκοις τοὺς μνηστῆρας συνάψαι, ὥστε δεξιὰς συμβαλόντας ἀλλήλοις, καὶ σπείσαντας δι' ἐμπύρων, ὑποσχέσθαι συναμυνεῖν τῷ λαχόντι, εἴτις ἔξωθεν, κἂν βάρβαρος κἂν Ἕλλην ᾖ οὗτος, λαβὼν τὸ γύναιον ἀποδράσειεν, τόν τε λαβόντα ἀφαιρήσεσθαι τὴν γυναῖκα, κἀπὶ τὴν πόλιν τὴν ἐκείνου συνεπιόντας, κατασκάψειν ἐκείνην

---

γνω ἦν γεγραφώς. 39. Πεύκην] τὴν δᾷδα, ἢ αὐτὴν τὴν ἐπιστολὴν λέγει· ἦν γὰρ, ὡς ἔοικεν, ἐκ τοῦ φλοιοῦ τῆς πεύκης, ὡς κἀν τῷ τῆς φιλύρας ἔγραφον. 59. Ἐμπύρων] ἴδε Ἀνδρ. στίχ. 1116. 63 Φθόνος] ἐν ἄλλοις κεῖται Πόνος. 64. Ἀπωθείη] ἐν ἄλλοις, ἀπώσεσθαι οὐ καλῶς. 66. Εὖ δέ πως] τῇ τέχνῃ καὶ σο-

Ἕλλην' ὁμοίως βάρβαρόν θ', ὅπλων μέτα.
Ἐπεὶ δ' ἐπιστώθησαν, εὖ δέ πως γέρων
Ὑπῆλθεν αὐτοὺς Τυνδάρεως πυκνῇ φρενὶ,
Δίδωσ' ἑλέσθαι θυγατρὶ μνηστήρων ἕνα,
Ὅπου πνοαὶ φέροιεν Ἀφροδίτης φίλαι.
Ἡ δ' εἵλεθ', (ὥς γε μή ποτ' ὤφελεν λαβεῖν!)
Μενέλαον. ἐλθὼν δ' ἐκ Φρυγῶν ὁ τὰς θεὰς
Κρίνας ὅδ', ὡς ὁ μῦθος ἀνθρώπων ἔχει,
Λακεδαίμον', ἀνθηρὸς μὲν εἱμάτων στολῇ,
Χρυσῷ τε λαμπρὸς, βαρβάρῳ χλιδήματι,
Ἐρῶν ἐρῶσαν ᾤχετ' ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βούσταθμ', ἔκδημον λαβὼν
Μενέλαον· ὁ δὲ καθ' Ἑλλάδ' οἰστρήσας μόνος,
Ὅρκους παλαιοὺς Τυνδάρεω μαρτύρεται,
Ὡς χρὴ βοηθεῖν τοῖσιν ἠδικημένοις.
Τοὐντεῦθεν οὖν Ἕλληνες ᾄξαντες δορὶ,
Τεύχη λαβόντες, στενόπορ' Αὐλίδος βάθρα
Ἥκουσι τῆσδε, ναυσὶν ἀσπίσιν θ' ὁμοῦ
Ἵπποις τε πολλοῖς ἅρμασίν τ' ἠσκημένοι.
Κἀμὲ στρατηγεῖν κᾆτα Μενέλεω χάριν
Εἵλοντο, σύγγονόν γε· τἀξίωμα δὲ
Ἄλλος τις ὤφελ' ἀντ' ἐμοῦ λαβεῖν τόδε!
Ἠθροισμένου δὲ καὶ ξυνεστῶτος στρατοῦ,
Ἥμεσθ', ἀπλοίᾳ χρώμενοι κατ' Αὐλίδα.
Κάλχας δ' ὁ μάντις ἀπορίᾳ κεχρημένοις
Ἀνεῖλεν, Ἰφιγένειαν, ἣν ἔσπειρ' ἐγὼ,
Ἀρτέμιδι θῦσαι τῇ τόδ' οἰκούσῃ πέδον,

πολέμῳ· γενομένων δ' οὕτω τῶν ὅρκων, καὶ οὕτω τέ-γνῃ ὑποδραμὼν Τυνδάρεως τοὺς μνηστῆρας, ἐπέτρεψε τῇ θυγατρὶ, πρὸς ὃν ἂν ἐκείνων θέλγηται μᾶλλον, τοῦτον ἑαυτῇ ἑλέσθαι νυμφίον· ἡ δὲ εἵλετο Μενέλαον, ὡς μήποτ' ὤφειλε· Προϊόντος δὲ τοῦ χρόνου Πάρις ὁ Πριάμου ὁ ταῖς τρισὶ θεαῖς περὶ κάλλους δικάσας, ὡς λόγος, ἐλθὼν ἐκ Φρυγίας εἰς Λακεδαίμονα, περιῤῥέων μὲν ἐσθῆτος ἀβρότητι, ἀστράπτων δὲ τῷ χρυσῷ, καὶ ὅλως βαρβαρικῇ ἐντρυφῶν ἐπιδείξει, ἔρωτι τῷ τῆς Ἑλένης ἁλοὺς, ἀνθαλούσης κἀκείνης, λαβὼν αὐτὴν, ἀποδημοῦντος Μενελάου, ᾤχετο εἰς τὴν Ἴδην· ὁ δὲ, πληγεὶς πρὸς τὴν ἀκοὴν, σπεύσας περιήει τὴν Ἑλλάδα, τοὺς Τυνδάρεω ἐπιβοώμενος ὅρκους, ἀξιῶν τοὺς ὀμωμοκότας ἀμύνειν· οἱ δὲ παραχρῆμα ἀναπηδήσαντες εἰς τὰ ὅπλα, συνηθροίσθησαν ὧδε, ὅπλοις τε καὶ ναυσὶν ἵπποις τε καὶ ἅρμασιν ἐῤῥωμένοι, κἀμὲ εἵλοντο στρατηγὸν κατὰ χάριν Μενελάου σὺν αὐτῷ Μενελάῳ· ἀλλ' ὤφειλεν ἄλλος τις ἀντ' ἐμοῦ τὸ ἀξίωμα δέξασθαι τοῦτο· καὶ νῦν τοσοῦτος στρατὸς, ἀπλοίας οὔσης, καθήμεθ' ὧδε. Κάλχας δ' ὁ μάντις, χρησάμενος τῷ θεῷ πρὸς τὸ ἄπορον, ἀνεῖλε θῦσαί με δεῖν Ἀρτέμιδι τῇ ἐνταῦθα Ἰφιγένειαν τὴν ἐμαυτοῦ θυγατέρα· οὕτω γὰρ πλοῦν τε

φία τῶν ὅρκων. 76. Ἔκδημον λαβὼν] μὴ εὑρὼν αὐτὸν ἐπιδημοῦντα· ἦν γὰρ Μενέλαος εἰς Κρήτην ἀποδεδημηκώς· τὸ δὲ Μόνος ἑπομένως, τὴν ἀπορίαν καὶ χρείαν αὐτοῦ δηλοίη ἄν. 80. Ἄξαντες] αἴξαντες, ἐκ τοῦ αἴσσω· τὸ δ' ὄρει ἐν ἄλλοις κεῖται, ποσί. 84. Κάτα] διορθοῦν πειρῶνταί τινες εἰς τὸ, Κάρ-

Καὶ πλοῦν τ' ἔσεσθαι καὶ κατασκαφὰς Φρυγῶν
Θύσασι, μὴ θύσασι δ' οὐκ εἶναι τάδε.
Κλύων δ' ἐγὼ ταῦτ', ὀρθίῳ κηρύγματι
Ταλθύβιον εἶπον πάντ' ἀφιέναι στρατὸν,
Ὡς οὔ ποτ' ἂν τλὰς θυγατέρα κτανεῖν ἐμήν.
Οὗ δή μ' ἀδελφὸς, πάντα προσφέρων λόγον,
Ἔπεισε τλῆναι δεινά· κἀν δέλτου πτυχαῖς
Γράψας, ἔπεμψα πρὸς δάμαρτα τὴν ἐμὴν,
Πέμπειν Ἀχιλλεῖ θυγατέρ' ὡς γαμουμένην,
Τό τ' ἀξίωμα τἀνδρὸς ἐκγαυρούμενος,
Συμπλεῖν τ' Ἀχαιοῖς οὕνεκ' οὐ θέλοι, λέγων,
Εἰ μὴ παρ' ἡμῶν εἶσιν ἐς Φθίαν λέχος.
Πειθὼ γὰρ εἶχον τήνδε πρὸς δάμαρτ' ἐμὴν,
Ψευδῆ συνάψας ἀντὶ παρθένου γάμον.
Μόνοι δ' Ἀχαιῶν ἴσμεν, ὡς ἔχει τάδε,
Κάλχας, Ὀδυσσεὺς, Μενέλεώς θ'. ἃ δ' οὐ καλῶς
Ἔγνων τότ', αὖθις μεταγράφω καλῶς πάλιν
Ἐς τήνδε δέλτον, ἣν κατ' εὐφρόνης σκιὰν
Λύοντα καὶ συνδοῦντά μ' εἰσεῖδες, γέρον.
Ἀλλ' εἶα χώρει, τάσδ' ἐπιστολὰς λαβὼν,
Πρὸς Ἄργος· ἃ δὲ κέκευθε δέλτος ἐν πτυχαῖς,
Λόγῳ φράσω σοι πάντα τἀγγεγραμμένα·
Πιστὸς γὰρ ἀλόχῳ τοῖς τ' ἐμοῖς δόμοισιν εἶ.

ΠΡ. Λέγε, καὶ σήμαιν', ἵνα καὶ γλώσσῃ
Σύντονα τοῖς σοῖς γράμμασιν αὐδῶ.

---

τα, Τἄκρα ἀλλ' ἔστιν αὐτὸ τοῦτο, Κατά, παραβιάσαντος τοῦ μέτρου 97.

ἔσεσθαι οὔριον, καὶ ἅλωσιν Τροίας· ἄλλως δὲ φροῦδα πάντα· Πληγεὶς οὖν ἐγὼ πρὸς τὴν ἀκοὴν, ἐκέλευσε Ταλθύβιον κηρῦξαι διαλυθῆναι τὸν στρατὸν, ὡς οὐκ ἂν ἀνεξόμενος τὴν ἐμαυτοῦ θυγατέρα φονεῦσαι· ἀλλ' ὁ ἀδελφὸς, παντοίως μὲ τοῖς λόγοις ὑποδραμὼν, ἔπεισε τελευτῶν τολμῆσαι τὸ πρᾶγμα· καὶ δὴ γράψας ἔπεμψα πρὸς τὴν γυναῖκα πέμψαι μοι ὡς τάχιστα Ἰφιγένειαν, ὡς δῆθεν συζευξομένην Ἀχιλλεῖ τῷ τῆς Θέτιδος, ἀνδρὶ γεγενημένῳ ἀρίστῳ· μὴ γὰρ ἐθέλειν ἐκεῖνον συμπλεῖν ἐπὶ Τροίαν, πρὶν ἢ τὴν παῖδα ἀγαγέσθαι εἰς Φθίαν· τοιούτῳ γὰρ κλέμματι ᾤήθην κατασοφίσασθαι· καὶ οἶδε μὲν τὰ πραττόμενα τῶν Ἑλλήνων ἄλλος μὲν οὐδεὶς, πλὴν Κάλχας, Ὀδυσσεύς τε, καὶ Μενέλαος οὑμὸς ἀδελφός. Ταῦτ' οὖν νῦν ἐγὼ μεταγνοὺς, καλῶς νῦν ποιῶν, μετέγραψα τὰ γράμματα ταῦτα, ἃ αὐτός ἑώρακάς με ἄρτι πρὸς τὴν τῆς νυκτὸς σκιὰν συνδοῦντα καὶ λύοντα· οὐκοῦν ἄνυε λαβὼν τὰ γράμματα πρὸς τὸ Ἄργος· ἵνα δὲ εἰδὼς τὰ ἐπεσταλμένα, ὁμολογῇς καὶ αὐτὸς ἀπὸ στόματος, εἴτι σε πρὸς ταῦτ' ἐρωτῴη ἐκείνη, ταῦτ', εἰδώς σε πιστὸν ἐν πᾶσι γεγενημένον, οὐκ ἂν ἀποκρύψαιμι.

ΠΡ. Λέγε γὰρ, ἵνα σύμφων' ἔχοιμι λέγειν τοῖς ἐπεσταλμένοις

---

Οὐ δὴ] ὅπου δή· ἐν ἄλλοις δὲ κεῖται, οὗ μή. 102. Τοὔνεκα οὐ θέλοι] ὅτι οὐκ ἐθέλοι, ἀνθ' ὧν οὐκ ἐθέλοι συμπλεῖν Ἀχαιοῖς. 105. Ἀντὶ παρθένου] εὕρηται δὲ καὶ σύνθετον ἀντιπαρθένου οὐ καλῶς· καὶ ἐν ἄλλοις ἀμφὶ παρθένου βούλεται δὲ εἰπεῖν, ὅτι προφάσει τοῦ ποιῆσαι τὴν κόρην ὕπανδρον ἀντὶ ἀγάμου, ἔπεισέ

ΑΡ. Πέμπω σοι πρὸς ταῖς πρόσθεν
Δέλτοις, ὦ Λήδας ἔρνος,
Μὴ στέλλειν τὰν σὰν ἶνιν πρὸς
Τὰν κολπώδη πτέρυγ' Εὐβοίας,
Αὖλιν Ἀκλύσταν.
Εἰς τὰς ἄλλας ὥρας γὰρ δὴ
Παιδὸς δαίσομεν ὑμεναίους.
ΠΡ. Καὶ πῶς Ἀχιλεὺς, λέκτρων ἀμπλακὼν,
Οὐ μέγα φυσῶν θυμὸν ἐπαίρει
Σοὶ, σῇ τ' ἀλόχῳ;
Τόδε καὶ δεινόν· σήμαιν', ὅ,τι φής.
ΑΓ. Ὄνομ' οὐκ ἔργον παρέχων Ἀχιλεὺς,
Οὐκ οἶδε γάμους, οὐδ' ὅ,τι πράσσομεν,
Οὐδ' ὅτι κείνῳ παῖδ' ἐπεφήμισα,
Νυμφείους εἰς ἀγκώνων
Εὐνὰς ἐκδώσειν λέκτροις.
ΠΡ. Δεινά γε τολμᾷς, Ἀγάμεμνον ἄναξ,
Ὃς τῷ τῆς θεᾶς σὴν παῖδ' ἄλοχον
Φατίσας, ἦγες σφάγιον Δαναοῖς.
ΑΓ. Οἴ μοι, γνώμας ἐξέσταν!
Αἶ, αἶ! πίπτω δ' εἰς ἄταν.
Ἀλλ' ἴθ' ἐρέσσων σὸν πόδα, γήρᾳ
Μηδὲν ὑπείκων.
ΠΡ. Σπεύδω, βασιλεῦ.
ΑΓ. Μὴ νῦν μήτ' ἀλσώδεις ἵζου
Κρήνας, μήθ' ὕπνῳ θελχθῇς.
ΠΡ. Εὔφημα θρόει.

**ΑΓ.** Ἐπέςαλκά σοι γράψας, ὦ τέκνον Λήδας, πέμψαι μοί Ἰφιγένειαν εἰς Αὐλίδα· νῦν δ' ἀπολέλυσο τούτου· καὶ ὁ γάμος τῆς παρθένου ἀναβαλέσθω ἡμῖν εἰς ἕτερον καιρόν·

**ΠΡ.** Τὶ δ' Ἀχιλεὺς, ἀνὴρ θερμουργὸς, οὐκ ὀργισθήσεταί σοι ἀποτυχὼν τῆς παρθένου; ἢ οὐ δεινόν σοι δοκεῖ εἶναι τοῦτο; τί ποτε φής;

**ΑΓ.** Ἀχιλλέως μὲν τῷ ὀνόματι μόνῳ καλῶς ἡμεῖς ἐχρησάμεθα πρὸς τὰ πράγματα· ἐκεῖνος δὲ οἶδε τῶν πραττομένων οὐδὲν, οὔτε γάμους, οὔθ' ὑπόσχεσιν ἔχει λείψεσθαι τὴν παρθένον.

**ΠΡ.** Ὡς τολμηρὰ δοκεῖ μοι πεπρᾶχθαί σοι ταῦτ', ὦ ἄναξ· πῶς γὰρ οὒ, ὃς ἐπιφημήσας ἐκδώσειν τὴν κόρην ἀνδρὶ ἐκ θεοῦ γεγονότι, εἶτ' ἄγεις αὐτὴν εἰς σφαγὴν, χαριζόμενος Ἕλλησιν;

**ΑΓ.** Οἶδα γνώμης σφαλείς· ἀλλ' οἴμοι, οἵοις αὖθις περιπίπτω δεινοῖς· ἀλλὰ σύγε ἴθι κατατείνων σπουδῇ. γήρᾳ μηδὲν ἐνδιδούς.

**ΠΡ.** Σπεύσω, ὦ βασιλεῦ, ὅσον μοι πάρεστι σθένος.

**ΑΓ.** Μήθ' ὑπὸ ἄλσει, μήτ' ἐπὶ κρήνης πη καθεσθεὶς, μήθ' ὕπνῳ ὅλως ὑπείκων.

**ΠΡ.** Ἔχ' ἡσύχως.

---

τὴν μητέρα πέμψαι αὐτήν. 121. Ἀκλύσταν] ἥσυχον, ἀκύμαντον. 125. Ἐπαίρει] γραπτέον μᾶλλον, ἐπαρεῖ. 127. Τὸ δὲ καὶ δεινόν· σήμαιν' ὅ,τι φὴς] τοῦτ' ἀποδέδοται εἰς τὸ αὐτὸ τοῦ πρεσβύτου πρόσωπον, καὶ ἄμεινον οὕτω· 130. ἐπεφήμισα] ἐν ἄλλοις ἐπέφησα· ἴσως γραπτέον, ἐπένευσα· ἄλλως δ' ὕποπτον τοὔνομα τοῦτο ἀντὶ τοῦ Ὑπεσχόμην· ὁμοίως δὲ καὶ τὸ, Ἐνδώσειν, ἔγραψα ἄμεινον ἐκδώσειν· καὶ ὁ μὲν νοῦς φανερός· τὸ δὲ ὕφος, περίφρασις ὅλως

ΑΓ. Πάντῃ δὲ πόρον σχιστὸν ἀμείβων,
Λεῦσσε, φυλάσσων, μή τίς σε λάθῃ
Τροχαλοῖσιν ὄχοις παραμειψαμένη,
Παῖδα κομίζουσ' ἐνθάδ', απήνη
Δαναῶν πρὸς ναῦς.

ΠΡ. Ἔσται τάδε.

ΑΓ. Κλήθρων δ' ἐξόρμα.
Ἢν γάρ νιν πομπαῖς ἀντήσῃς,
Πάλιν ἐξορμάσεις τοὺς χαλινοὺς,
Ἐπὶ Κυκλώπων ἱεὶς θυμέλας.

ΠΡ. Πιστὸς δὲ φράσας τάδε, πῶς ἔσομαι,
Λέγε, παιδὶ σέθεν τῇ σῇ τ' ἀλόχῳ;

ΑΓ. Σφραγῖδα φύλασσ', ἣν ἐπὶ δέλτῳ
Τήνδε κομίζεις· ἴθι· λευκαίνει
Τόδε φῶς ἤδη λάμπουσ' ἠὼς,
Πῦρ τε τεθρίππων τῶν Ἀελίου·
Σύλλαβε μόχθων.
Θνητῶν δ' ὄλβιος εἰς τέλος οὐδεὶς,
Οὐδ' εὐδαίμων·
Οὔπω γὰρ ἔφυ τις ἄλυπος·

ΧΟ. Ἔμολον ἀμφὶ παρακτίαν (Στρ. α')
Ψάμαθον Αὐλίδος ἐναλίας,
Εὐρίπου διὰ χευμάτων
Κέλσασα, στενόπορθμον
Χαλκίδα, πόλιν ἐμὰν, προλιποῦσ',
Ἀγχιάλων ὑδάτων τροφὸν
Τᾶς κλεινᾶς Ἀρεθούσας,

ΑΓ. Ἐν δὲ τῷ πορεύεσθαι κατὰ πᾶσαν τὴν ὁδὸν φύλασσε πανταχοῦ, μήσε λάθῃ τὸ ὄχημα το ἐπὶ ταδε τὴν παῖδα κομίζον παραμειψάμενον.

ΠΡ. Ἀμέλει, καὶ ταῦτ' ἔςαι.

ΑΓ. Ἔξελθε· ἣν δὲ καθ' ὁδὸν πῃ ἀπαντήσῃς ἐκείνῃ, περιαγαγὼν τὰς ἡμιόνους, πέμψεις αὐτὴν πάλιν εις τὴν Κυκλωπίαν.

ΠΡ. Ταῦτα δ' εἰπὼν πρὸς σοῦ, πῶς ἂν ἀξιόπιστος γενοίμην τοῖς ἐκεῖ; τοῦτο γὰρ δεῖμε μάλιστ' εἰδέναι.

ΑΓ. Σφραγῖδα τήνδε τὴν ἐπὶ τῆς δέλτου δείξας ἐκείναις· ἀλλ' ἴθι κατατείνων· ὁρῶ γὰρ ἤδη καὶ τὴν Ἠῶ ἐξ ἀνατολῆς ἀρχομένην ὑπογελᾶν, πρόδρομον τῶν τοῦ ἡλίου γιγνομένην ἀκτίνων· συναντιλαβοῦ δέ μοι τῶν πόνων ἐν τῷ παρόντι, ὡς ἐν τῷ βίῳ μηδένα ὁρῶ ἐς τέλος εὐδαιμονοῦντα, ἄλλων ἐπ' ἄλλοις τῶν ἀνθρώπων πασχόντων.

ΧΟ. Χαλκίδα τὴν ἐμὴν ςενόπορθμον προλιποῦσα πατρίδα, τῆς τῶν παραλίων ὑδάτων τῆς κλεινῆς Ἀρεθούσης τροφὸν, εἰς τὰς τῆς Αὐλίδος ταύτας ἀκτὰς, τὰς τοῦ

---

ποιητική· οἷον εἰς νυμφείους εὐνὰς τῶν περιπλοκῶν, ἢ ἀγκαλῶν, ὠλένων. 145. Τροχαλοισιν (ἴσ. τροχαλοῖσιν) ὄχοις] εὐκινήτοις τροχοῖς· τὸ γὰρ ὄχοις ἐνταῦθα τὸ μέρος μᾶλλον ἀντὶ τοῦ ὅλου σημαίνει. 150. Πομπαῖς] ἣν γὰρ πεμπομένη, εἴτουν ἀγομένῃ αὐτῇ ἐπὶ τάδ' ἀπαντήσῃς, ἐπιςρέψας τοὺς χαλινοὺς, πέμψεις αὐτὴν πάλιν· Θυμέλας δὲ οὐ βωμοὺς ἐνταῦθα νοεῖ, ἀλλὰ τὸ ἔδαφος τῶν Μυκηνῶν, ἃς ἔκτισαν Κύκλωπες. Ἴδε Ὀρέστης. 954. 168. Ἀρεθούσας πηγῆς] ἦσαν δὲ Ἀρέθουσαι τέσσαρες, ἐν Συρακούσῃ, ἐν Σμύρνῃ, ἐν Ἰθάκῃ, καὶ ἐν Χαλ-

Ἀχαιῶν στρατιὰν ὡς καὶ ἴδοιμ' ἂν
Ἀχαιῶν τε πλάτας ναυσιπόρους
Ἡμιθέων, ὡς ἐπὶ Τροί-
Αν ἐλάταις χιλιόναυσιν
Τὸν ξανθὸν Μενέλαον·
Ἁμέτεροι πόσεις
Ἐνέπουσ' Ἀγαμέμνονα τ' εὐπατρίδαν
Στέλλειν ἐπὶ τὰν Ἑλέναν,
Ἀπ' Εὐρώτα δονακοτρόφου
Πάρις ὁ βουκόλος ἂν ἔλαβεν,
Δῶρον τᾶς Ἀφροδίτας,
Ὅτ' ἐπὶ κρηναίαισι δρόσοις
Ἥρα Παλλάδι τ' ἔριν, ἔριν
Μορφᾶς ἁ Κύπρις ἔσχεν.
Πολύθυτον δὲ δι' ἄλσος Ἀρ- (Ἀντ. ά.)
Τέμιδος ἤλυθον ὀρομένα,
Φοινίσσουσα παρῆδ' ἐμὰν
Αἰσχύνᾳ νεοθαλεῖ,
Ἀσπίδος ἔρυμα καὶ κλισίας
Ὁπλοφόρους Δαναῶν θέλουσ'
Ἵππων τ' ὄχλον ἰδέσθαι.
Κατεῖδον δὲ δύ' Αἴαντε συνέδρω
Τὸν Οἰλέως Τελαμῶνός τε γόνον,
Τῆς Σαλαμῖνος στέφανον,
Πρωτεσίλαόν τ' ἐπὶ θάκοις
Πεσσῶν ἡδομένους μορ-
Φαῖσι πολυπλόκοις,
Παλαμίδεά θ', ὃν τέκε παῖς ὁ Ποσει-
Δῶνος, Διομήδεά θ' ἡ-
Δοναῖς δίσκου κεχαρημένον.
Παρὰ δὲ, Μηριόνην, Ἄρεος
Ὄζον, θαῦμα βροτοῖσι,

Εὐρίπου ῥοὰς παραλλάττουσα, ἀφικόμην, τόν τε στρατὸν καὶ τὰς ναῦς ὀψομένη τῶν ἡμιθέων Ἑλλήνων· οὓς Μενέλαός τε καὶ Ἀγαμέμνων οἱ τοῦ Ἀτρέως ἐπάξουσιν, ὥς φασιν οἱ ἡμέτεροι σύζυγοι, ἐπὶ Τροίαν χιλίαις ναυσὶν ὑπὲρ τῆς Ἑλένης· ἣν Πάρις ἥρπασεν ἀπὸ τοῦ Εὐρώτα, δῶρον αὐτὴν οἱ δούσης τῆς Ἀφροδίτης, ὁπότ' ἐδικάζετο παρ' αὐτῷ ἐν ταῖς κρήναις τῆς Ἴδης πρὸς τὴν Ἥραν καὶ Ἀθηνᾶν περὶ κάλλους.

Διελθοῦσα δὲ διὰ τοῦ πολυθύτου τῆς Ἀρτέμιδος ἄλσους, ἠρυθρίασα τὴν παρειὰν, αἰσχυνθεῖσα τῷ ὑπὸ πάντων ὁρᾶσθαι· πόθος γὰρ ὑπέφλεγέ με ἰδεῖν τὸ στρατόπεδον καὶ τὰς σκηνὰς τῶν Ἑλλήνων, καὶ τῶν ἵππων τὸ πλῆθος· ἔνθα κατεῖδον πρῶτον μὲν τοὺς Αἴαντας ἄμφω, τόντ' Οϊλέως καὶ τὸν Τελαμῶνος, Σαλαμῖνος τὸ κλέος, καὶ Πρωτεσίλαον αὐτὸν σύντρεις καθεζομένους, καὶ τῇ τῶν πολυμόρφων πεσσῶν παιδιᾷ ἐντρυφῶντας· πρὸς δὲ τούτοις Παλαμίδην τε τὸν Ποσειδῶνος καὶ Διομήδην μάλ' ἡδέως δισκεύοντας· καὶ παρὰ τούτοις, Μυριόνην αὐτὸν, βλάστημα Ἄρεως, θαυμαστὸν ἐν τοῖς ἄλλοις ἰδεῖν· Λαερτιάδην τε τὸν Ἰθάνης ἡγε-

κίδι. 171. Ὡς ἐπὶ Τροίαν] γεγράφθω, οὓς ἐπὶ Τροίαν, ὡς κεῖται ἐν ἄλλοις. 184. Ὀρομένα] οὕτως· ἐν ἄλλοις γὰρ κεῖται ὀρωμέναν. 196. Παῖς ὁ Ποσειδῶνος

Τὸν ἀπὸ νησαίων τ' ὀρέων
Λαέρτα τόκον, ἅμα δὲ Νι-
Ρέα, κάλλιστον Ἀχαιῶν.
Τὸν ἰσάνεμόν τε ποδοῖν (Ἐπῳδ. ά.)
Λαιψηροδρόμον Ἀχιλῆα,
Τον ἁ Θέτις τέκε καὶ
Χείρων ἐξεπόνασεν,
Εἶδον αἰγιαλοῖσι
Παρά τε κροκάλαις δρόμον ἔχοντα σὺν ὅπλοις·
Ἅμιλλαν δ' ἐπόνει ποδοῖν
Πρὸς ἅρμα τέτρωρον ἑλίσ-
Σων περὶ νίκας·
Ὁ δὲ διφρηλάτας βοᾶτ'
Εὔμηλος Φερητιάδας,
Ὧ καλλίστους εἰδόμαν
Χρυσοδαιδάλτους στομίοισι πώλους
Κέντρῳ θεινομένους, τοὺς μὲν μέσ-
Σους ζυγίους, λευκοστίκτῳ τριχὶ
Βαλιούς, τοὺς δ' ἔξω σειραφόρους,
Ἀντήρεις καμπαῖσι δρόμων,
Πυῤῥότριχας, μονόχαλα δ' ὑπὸ σφυρὰ
Ποικιλοδέρμονας· οἷς παρεπάλλετο
Πηλείδας σὺν ὅπλοισι παρ' ἄντυγα
Καὶ σύριγγας ἁρματείους.
Ναῶν δ' εἰς ἀριθμὸν ἤλυθον (Στρ. β'.)
Καὶ θέαν ἀθέσφατον,
Τὰν γυναικείαν ὄψιν ὀμμάτων
Ὡς πλήσαιμι, μείλινον ἁδονάν.
Καὶ κέρας μὲν ἦν δεξιὸν πλάτας ἔχων
Φθιώτας ὁ Μυρμιδόνων Ἄρης

μόνα καὶ Νηρέα τὸν κάλλει προὔχοντα πάντων ἐν τῷ ϛρατοπέδῳ.

Ἐπὶ δὲ τούτοις εἶδον Ἀχιλλέα αὐτὸν, ὃν Θέτις μὲν ἔτεκεν ἡ θεός· ἐξεπαίδευσε δὲ Χείρων κούφῳ ποδὶ ἐπὶ τοῦ αἰγιαλοῦ διασταδιεύοντα ἔνοπλον ἰσοταχῶς τοῖς ἀνέμοις· ἦν δ' αὐτῷ ὁ ἀγὼν τοῖς ποσὶ κινουμένῳ παντοίως πρὸς ἅρμα τέθριππον περὶ νίκης. Εὔμηλος δ' ὁ Ἀδμήτου διφριλατῶν, ἀνεβόα, ἐλαύνων καλλίϛους ἵππους καὶ χρυσοπάστοις χαλινοῖς διαπρέποντας· τοὺς μὲν μέσους καὶ ὑπὸ τῇ ζεύγλῃ, λευκοϛίκτους· τοὺς δὲ παρασείρους, καὶ ἔξωθεν ταῖς τῶν δρόμων καμπαῖς ἀντερέσσοντας, τὸ μὲν ὅλον πυῤῥότριχας, ποικίλους δὲ κάτωθεν μόνον τὰ σφυρά. οἷς παρέθει ὁ τοῦ Πηλέως σὺν ὅπλοις παρὰ τὴν ἄντυγα, καὶ τὰς σύριγγας τοῦ ὀχήματος, φιλοτιμούμενος μάλιϛα πρὸς τὴν νίκην.

Ἐλθοῦσα δὲ κἀπὶ τὰς ναῦς, εἰς ἀμήχανον ἀριθμὸν, καὶ θέαν ἀνέκφραϛον, ἐνέπλησα γυναικεῖαν ὄψιν ἡδονῆς ἀμυθήτου. εἶχον δὲ κέρας μὲν τὸ δεξιὸν τοῦ ϛρατοπέδου Μυρμιδόνες οἱ μετ' Ἀχιλλέως πεντήκοντα ναυσίν. αἷς

Ναύπλιος οὗτος ὁ περιβόησος ὁ Ποσειδῶνος καὶ Ἀμυμώνης. 212. Ἑλίσσων παντοίως ἑαυτὸν σχηματίζων πρὸς τὸ νικᾷν. 214. Εὔμηλος] οὗ πατὴρ Ἄδμητος· οὗ Φέρης· οὗτος δὲ ὁ Εὔμηλος ἐστιν ὁ ἐν τῇ Ἀλκήστιδι (στίχ. 400) εἰσαγόμενος παῖς. 228. Μείλινον ἡδονὴν] ἀντὶ μειλίνου ἡδονῆς. Το δὲ μείλινον, οἱ μεν παρα το μέλι, μέλινον, μείλινον· οἱ δὲ διορθοῦσι, μείλιχον. 230. Ὁ Φθιώτης Ἄρης] Ἀχιλλεύς· τὸ δὲ Πλάτας ἀντὶ τοῦ Ναῦς, το μέρος ἀντὶ τοῦ ὅλου· εἰμὴ γενική ἐστι τοῦτο, οἷον τῆς πλάτης, ἀντὶ τοῦ ϛρατοπέδου, ναυϛάθμου· ἔταξε δε Ἀχιλλέα μεν, ἐν τῷ δεξιῷ· Αἴαντα δὲ, ἐν τῷ εὐωνύμῳ, ὡς ἐρύματα τοῦ παντος ϛρατοπέδου δια το ἀνδρεῖον αὐτῶν, Ὁμήρῳ συμφώνως.

Πεντήκοντα ναυσὶ θουρίαις.
Χρυσέαις δ' εἰκόσιν
Κατ' ἄκρα Νηρῆδες ἔστασαν θεαὶ,
Πρύμναις σῆμ' Ἀχιλλείου στρατοῦ.
Ἀργείων δὲ ταῖσδ' ἰσήρετμοι (Ἀντ. β'.)
Νᾶες ἔστασαν πέλας.
Ὧν ὁ Μηκιστέως στρατηλάτας
Παῖς ἦν Ταλαὸς, ὃν τρέφει πατήρ·
Καπανέως τε παῖς Σθένελος· Ἀτθίδος γ' ἄγων
Ἑξήκοντα νῆας ὁ Θησέως
Παῖς ἑξῆς ἐναυλόχει, θεὰν
Παλλάδ' ἐν μωνύχοις
Ἔχων πτερωτοῖσιν ἅρμασιν θετὸν
Εὔσημόν τε φάσμα ναυβάταις.
Τῶν Βοιωτῶν δ' ὅπλισμα, ποντίας (Στρ. γ'.)
Πεντήκοντα νῆας εἰδόμαν
Σημείοις εὖ 'στολισμένας·
Τοῖς δὲ Κάδμος ἦν χρύσεον δράκοντ' ἔχων
Ἀμφὶ ναῶν κόρυμβα·
Λήϊτος δ' ὁ γηγενὴς
Ἆρχε ναΐου στρατοῦ·
Φωκίδος τ' ἀπὸ χθονός·
Λοκρὰς δὲ τοῖσδ' ἴσας ἄγων
Ναῦς ἦλθ' Οϊλέως τόκος, κλυτὰν
Θρονιάδ' ἐκλιπὼν πόλιν.
Ἐκ Μυκήνας δὲ τᾶς Κυκλωπίας (Ἀντ. γ'.)
Παῖς Ἀτρέως ἔπεμπε ναυάτας
Ναῶν ἑκατὸν ἠθροισμένους.

ἐπίσημον ἦν ἐπὶ τῶν πρωρῶν τοῦ τοῦ Ἀχιλλέως ϛρατοῦ Νηρηΐδες, ἐν χρυσαῖς ἀπεικασμέναι εἰκόσιν.

Ἐχόμενοι δὲ τούτων αἱ τῶν Ἀργείων ἦσαν ἴσαι ἀριθμῷ, ὧν ϛρατηγὸς ἦν Ταλαὸς ὁ τοῦ Μηκεϛέως· καὶ Σθένελος ὁ τοῦ Καπανέως· τῶν δ' αὖ Ἀττικῶν ἑξήκοντα οὐσῶν ἐφεξῆς ἐστρατήγει παῖς ὁ τοῦ Θησέως, ἐπίσημον ναύταις ἔχων ἐπὶ τῶν πρωρῶν τὴν Παλλάδα ἐπι τεθρίππου πτερωτοῦ.

Ἐπὶ δὲ τούτοις ὥρμουν αἱ τῶν Βοιωτῶν, πεντήκοντα αὗται τὸν ἀριθμὸν, ἐπίσημον ἔχουσαι Κάδμον, χρυσοῦν φέροντα δράκοντα ἐπὶ τῶν πρωρῶν. ϛρατηγὸς δ' αὐτῶν ἐστι Λήϊτος ὁ Σπαρτός· ἴσας δὲ ταῖσδε τυγχάνει ἀγαγὼν Λοκροῖς καὶ ὁ τοῦ Οἰλέως, ἐλθὼν ἐκ Φωκίδος, τὸ Θρόνιον ἐκλιπών.

Ἐκ δ' αὖ τῶν Μυκηνῶν Ἀγαμέμνων ἔπεμψε στρατὸν

---

240. Ἑξήκοντα] πεντήκοντα Ὅμηρος· ὁ δὲ ποιητὴς ἐπλεόνασε ταῖς δέκα, ὡς φιλαθήναιος· πτερωτὰ δὲ ἅρματα ἐνταῦθα ἴσως τὰ πλοῖα λέγει διὰ τά ἱϛία. τὸ δὲ, Μωνύχοις, οὐκ οἶδ' ἀνθ' ὅτου προσέθηκεν, ἐπὶ τῶν ἵππων ταττόμενον· εἰμήτι καὶ ἵππων εἰκὼν ἦν αὐτοῦ, καὶ ἡ θεὸς ἐπὶ ἅρματος ὀχουμένη. Παῖς δὲ Θησέως ἦν Ἀκάμας, ἢ ὁ Δημοφῶν· καίτοι Ὅμηρος Μενεσθέα ϛρατηγὸν Ἀθηναίων ἐποίησεν. 248. Σημείοις εὖ 'ϛολισμένας] ἐν ἄλλοις δὲ, Σημείοις ἐστολισμέναι, κεῖται. 250. Ὁ γηγενὴς] ὁ ἐκ τῶν ὀδόντων τοῦ δράκοντος καταγόμενος, ὁ Σπαρτός. ἴδε Φοιν 938. 252. Φωκίδος] τοῦτ' οὐ καλῶς συνάπτοιτ' ἂν πρὸς τὰ εἰρημένα· διὸ στίξαντας μετὰ τὸ, ϛρατοῦ, γραπτέον ἂν εἴη οὕτω

» Φωκίδος δ' ἀπὸ χθονὸς,
» Λοκροῖσι ταῖςδε ἴσας ἄγων
» Ναῦς Οϊλέως τόκος, κλυτάν.

Καὶ τὰ λοιπά· ἵνα ᾖ· ὁ τόκος τοῦ Οἰλέως ὁ ἀπὸ τῆς Φωκίδος, ἄγων (ἐστὶ

Σὺν δ' Ἄδραστος ἦν ταγὸς, ὡς φίλος φίλῳ,
Τᾶς φυγούσας μέλαθρα
Βαρβάρων χάριν γάμων
Πρᾶξιν Ἑλλὰς ὡς λάβοι.
Ἐκ Πύλου δὲ Νέστορος
Γερηνίου κατειδόμαν
Πρύμνας σῆμα ταυρόπουν ὁρᾶν,
Τὸν πάροικον Ἀλφεόν.
Αἰνιάνων δὲ δώδεκα στόλοι (ἐπῳδ. β'.)
Ναῶν ἦσαν, ὧν ἄναξ Γουνεὺς
Ἄρχε· τῶνδε δ' αὖ πέλας
Ἤλιδος δυνάστορες,
Οὓς Ἐπειοὺς ὠνόμαζε πᾶς λεώς·
Εὔρυτος δ' ἄνασσε τῶνδε·
Λευκήρετμον δ' Ἄρη
Τάφιον ἦγεν, ὧν Μέγης
Ἄνασσε, Φυλέως λόχευμα,
Τὰς Ἐχίνας λιπὼν
Νήσους ναυβάταις ἀπροσφόρους.
Αἴας δ' ὁ Σαλαμῖνος ἔντροφος
Δεξιὸν κέρας πρὸς τὸ λαιὸν ξύναγε·
Τῶν ἄσσον ὥρμει πλάταισιν

---

Λοκροῖς (ναῦς) ἴσας ταῖσδε (ταῖς τῶν Βοιωτῶν ἀνωτέρω)· 249. Ἄδραστος] Ἄδραστος μὲν οὐδεὶς φίλος ὢν Ἀγαμέμνονος μνημονεύεται· διὸ διορθοῦσι τοῦτο εἰς τὸ, Ἄτρεςος, ἵνα ᾖ αὐτὸς Μενέλαος πιθανῶς. 262. Πρᾶξιν] εἴπραξιν, ἀπαίτησιν. δίκην. 265. Ὁρᾶν] κατὰ τὴν ὄψιν εἶδον τὰς πρύμνας παρεχούσας τοῖς ὁρῶσι σῆμα ταύρου ἐν ὀνόματι τοῦ Ἀλφειοῦ ποταμοῦ τοῦ παραῤῥέοντος

ναυτικὸν νεῶν ἑκατόν· ᾧ συστράτηγος ἦν Ἄδραςος ὡς φίλος φίλῳ, ὅπως ἂν ἡ Ἑλλὰς τὴν τῆς Ἑλένης, τοὺς τῶν βαρβάρων γάμους προελομένης, τίσαιτο φυγήν. Ἐκ δὲ τούτων εἶδον τὰς ἐκ Πύλου τοῦ Νέστορος ναῦς, ἐπίσημον ἐχούσας τὸν ἐκ γειτόνων Ἀλφειὸν ταυρόπουν ὅλως ἐπί τῶν πρωρῶν παριστάμενον.

Αἰνιάνων δ' αὖ πάλιν ἦσαν νῆες δυωκαίδεκα· ὧν ἦρχε Γουνεύς· ἐχομένως δὲ τούτων οἱ ἐκ τῆς Ἤλιδος, οὓς Ἐπειοὺς οἱ πολλοὶ ὀνομάζουσι τετάχαται στρατηγοὶ, Εὔρυτος δὲ ἦν ἄρχων. Μέγης δὲ ὁ Φυλέως ἄγει τὴν λευκήρετμον δύναμιν τῶν Ταφίων, ὧν ἄρχει, τὰς Ἐχινάδας νήσους λιπὼν, ἃς δυσορμοτάτας εἶναί φασι τοῖς πλωϊζομένοις· ἐπὶ δὲ τούτοις Αἴας ὁ Σαλαμίνιος, τὸ εὐώνυμον κέρας πρὸς τὸ δεξιὸν κατὰ τὰς ἐσχάτας

---

Πύλον· φιλοῦσι δὲ οἱ ποιηταὶ ταύροις τοὺς ποταμοὺς ἀπεικάζειν, ὡς καὶ τὸν ὠκεανὸν ταυρόκρανον ὠνόμασεν (Ὀρέστ. 1372.), καὶ ταυρόποδας καλοῦσι διὰ τὸ μυκᾶσθαι ἴσως, ὡς καὶ Ὅμηρος (Ἰλ. φ'. 237.) μεμυκὼς ἠΰτε ταῦρος, περὶ ποταμοῦ εἶπε· ἢ διὰ τὸ ἱερεύειν ταύρους τοῖς ποταμοῖς· ἢ καὶ διὰ τὸ ἑλικοειδῶς ῥεῖν τοὺς ποταμοὺς, καὶ οἷον κέρατα σχηματίζοντας ταυρικά. 267. Σότλοι νεῶν] στόλος ἐνταῦθα τὸ διῆκον διὰ τοῦ πλοίου ξύλον μέχρι τῆς πρώρας, ὅπου ἐστὶ τὸ ῥάμφος τοῦ πλοίου, ὃ καὶ ἀκροστόλιον λέγεται. ἐξέλαβε δὲ τὸ μέρος ἀντὶ τοῦ ὅλου. 273. Λευκήρετμον ἄρη] ἡ συνθήκη δὲ οὕτω. Μέγης δὲ ἦγε τὸν λευκήρετμον Ἄρην τῶν Ταφίων, ὧν ἤνασσε· τὸ δὲ Ἐχίνας Ἐχίδνας, καὶ Ἐχινάδας ἐν ἄλλοις κεῖται· 280. Τῶν ἄσσον ὥρμει] σκοτεινὸν τὸ χωρίον τῇ πλημμύρᾳ τῶν ὀνομάτων· δοκεῖ μοι δὲ εὐοδοῦσθαι ὡδί· Αἴας δὲ συνῆγε τὸ δεξιὸν κέρας πρὸς τὸ λαιὸν ἢ μᾶλλον, τὸ λαιὸν (τὸ ἑαυτοῦ) πρὸς τὸ δεξιὸν (ἐν) ταῖς ἐσχάταις ναυσὶ (τῶν ἄλλων) ὧν ἐγγὺς ὥρμει, συμπλέκων (αὐτὰς ταῖς ἑαυτοῦ)

Ἐσχάταισι συμπλέκων
Δώδεκ' εὐστροφωτάταισι ναυσίν·
Ὡς ἄϊον, καὶ ναυβάταν
Εἰδόμαν λεών·
Ὦ τις εἰ προσαρμόσει
Βαρβάρους βάριδας,
Νόστον οὐκ ἀποίσεται.
Ἔνθα δάϊον εἰδόμαν
Νάϊον πόρευμα,
Τα δὲ κατ' οἴκους κλύουσα, συγκλήτου
Μνήμην σώζομαι στρατεύματος.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

## ΠΡΕΣΒΥΤΗΣ, ΜΕΝΕΛΑΟΣ, ΑΓΑΠΕΜΝΩΝ, ΧΟΡΟΣ.

ΠΡ. Μενέλαε, τολμᾷς δεῖν', ἅ σ' οὐ τολμᾷν χρεών.
ΜΕ. Ἄπελθε· λίαν δεσπόταισι πιστὸς εἶ.
ΠΡ. Καλὸν γέ μοι τοὔνειδος ἐξωνείδισας.
ΜΕ. Κλάοις ἂν, εἰ πράσσοις, ἃ μὴ πράσσειν σε δεῖ.
ΠΡ. Οὐ χρῆν σε λῦσαι δέλτον, ἣν ἐγὼ ''φερον.
ΜΕ. Οὐδὲ σὲ φέρειν δεῖ πᾶσιν Ἕλλησιν κακά.
ΠΡ. Ἄλλοις ἁμιλλῶ ταῦτ'. ἄφες δὲ τήνδ' ἐμοί.

δώδεκα εὐστροφωτάταις ναυσί· 288. Ἔνθα δάϊον εἰδόμην] ἐν ἄλλοις κεῖται, ἔνθα δ' ἄϊον, εἰδόμην, ὡς ἀνωτέρω μικρόν. 292. Τολμᾷς δεινὰ] ἐξιόντι τῷ

τῶν ἄλλων ναῦς, ὧν ἐχομένως ὥρμει, δυωκαίδεκα ταῖς ἑαυτοῦ ταχείαις ἑξῆς συνῆπτεν.

Οὕτω δὴ ἐγὼ ἤκουσά τε καὶ εἶδον τὸν ναυτικὸν τοῦτον στρατόν· ᾧτινι εἴτις τῶν βαρβάρων συμμίξειε ναυσὶν, οὐκ ἂν χαίρων ἀπονοστήσειεν εἰς τὴν ἑαυτοῦ. ἐνταῦθα γὰρ εἶδον φοβερὰν ναυτικὴν ἐκστρατείαν· ὥς εἴποτ' ἐμπέσοι λόγος οἴκοι περὶ τούτων, ἔσαι μοι μνήμη παντὸς τοῦ συλλεγέντος στρατεύματος.

---

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΠΡΕΣΒΥΤΗΣ, ΜΕΝΕΛΑΟΣ, ΑΓΑΜΕΜΝΩΝ, ΧΟΡΟΣ.

ΠΡ. Μενέλαε, ἀδικεῖς, τολμῶν, ἃ μὴ χρή.

ΜΕ. Ἔῤῥ' ἀπ' ἐμοῦ· λίαν γὰρ πιστὸς δοκεῖς εἶναι δεσπόταις.

ΠΡ. Καλὸν γέ μου τὸν ἔπαινον τόνδε κατεῖπας.

ΜΕ. Ἀλλ οἰμώξειας ἂν, εἰ πράττοις, ἃ μὴ δεῖσε.

ΠΡ. Οὐ δεῖσε τὴν Ἐπιστολὴν ταύτην λῦσαι.

ΜΕ. Οὐ δεῖσε πᾶσιν Ἕλλησι κακὰ φέρειν.

ΠΡ. Ἄλλοις δεῖ ταῦτα λέγειν· τὴν δὲ δέλτον ἄφες.

---

πρέσβει, ἐφ' ᾧ ἀπελθεῖν εἰς Ἄργος κομίσοντα τὴν ἐπιστολὴν κατὰ τὸ κεκελευσμένον. ἀπαντᾷ αὐτῷ Μενέλαος, καὶ πειρᾶται ἀποσπάσασθαι τὰ γράμματα τῆς ἐκείνου χειρός. 298. Ἄλλως Ἀμιλλῶ] ἄμεινον δ' ἦν, Ἀμιλλᾷ, ἐν ριστικῷ· ὁ δὲ νοῦς, μάτην ἂν εἴη ἀγωνίζεσθαι πρὸς ἐμὲ περὶ τούτου· ἢ μεταβλητέον καὶ τὸ, ἄλλως εἰς τὸ, ἄλλοις, (ὡς καὶ ἔγραψα) ἵν' ᾖ πρὸς ἄλλους ἀ-

ΜΕ. Οὐκ ἂν μεθείμην.
ΠΡ. Οὐδ' ἔγωγ' ἀφήσομαι.
ΜΕ. Σκήπτρῳ τάχ' ἆρα σὸν καθαιμάξω κάρα.
ΠΡ. Ἀλλ' εὐκλεές τοι δεσποτῶν θνήσκειν ὕπερ.
ΜΕ. Μέθες· μακροὺς δὲ, δοῦλος ὢν, λέγεις λόγους.
ΠΡ. Ὦ δέσποτ', ἀδικούμεσθα. σὰς δ' ἐπιστολὰς
Ἐξαρπάσας ὅδ' ἐκ χερῶν ἐμῶν βίᾳ,
Ἀγάμεμνον, οὐδὲν τῇ δίκῃ χρῆσθαι θέλει.
ΑΓ. Ἔα, τίς [δῆτ'] ἐν πύλαισι θόρυβος καὶ λόγων ἀκοσμία;
ΠΡ. Οὑμὸς, οὐχ ὁ τοῦδε μῦθος κυριώτερος λέγειν.
ΑΓ. Σὺ δὲ τί τῷδ' ἐς ἔριν ἀφῖξαι, Μενέλεως, βίᾳ τ' ἄγεις;
ΜΕ. Βλέψον εἰς ἡμᾶς, ἵν' ἀρχὰς τῶν λόγων ταύτας λάβω.
ΑΓ. Μῶν τρέσας οὐκ ἀνακαλύψω βλέφαρον, Ἀτρέως γεγώς;
ΜΕ. Τήνδ' ὁρᾷς δέλτον, κακίστων γραμμάτων ὑπηρέτιν;
ΑΓ. Εἰσορῶ, καὶ πρῶτα ταύτην σῶν ἀπάλλαξον χερῶν.
ΜΕ. Οὔ, πρὶν ἂν δείξω γε Δαναοῖς πᾶσι τἀγγεγραμμένα.
ΑΓ. Ἦ γὰρ οἶσθ', ἃ μή σε καιρὸς εἰδέναι, σήμαντρ' ἀνείς;
ΜΕ. Ὥστε σ' ἀλγῦναί γ', ἀνοίξας, ἃ σὺ κάκ' εἰργάσω λάθρα.
ΑΓ. Ποῦ δὲ κἄλαβές νιν; ὦ θεοὶ, σῆς ἀναισχύντου φρενός.
ΜΕ. Προσδοκῶν σὴν παῖδ' ἀπ' Ἄργους, εἰ στράτευμ' ἀφίξεται.
ΑΓ. Τί δέ σε τἀμὰ δεῖ φυλάσσειν; οὐκ ἀναισχύντου τόδε;
ΜΕ. Ὅτι τὸ βούλεσθαί μ' ἔκνιζε. σὸς δὲ δοῦλος οὐκ ἔφυν.
ΑΓ. Οὐχὶ δεινά; τὸν ἐμὸν οἰκεῖν οἶκον οὐκ ἐάσομαι;
ΜΕ. Πλάγια γὰρ φρονεῖς, τὰ μὲν νῦν τὰ δὲ πάλαι, τὰ δ' αὐτίκα.

---

μιλλῶ περὶ τούτων· πρὸς ἐμὲ δ' σύ. 307. Οὑμὸς] ἀσυνάρτητον τοῦτο δοκεῖ εἶναι· φαίνεται δὲ, ὅτι ἑκατέρων βουλομένων ἀποκρίνασθαι πρὸς Ἀγαμέμνονα

ΜΕ. Οὐκ ἂν μεθείην.

ΠΓ. Οὐδ' ἂν ἐγὼ ἀφεθείην.

ΜΕ. Οὗτος τῷ σκήπτρῳ σου κατάξω! τὸ κρανίον.

ΠΡ. Καὶ μὴν γενναῖον δεσποτῶν ὑπερθνήσκειν.

ΜΕ. Ἄφες· οὐ γὰρ δεῖ μακρὰ τοὺς δούλους λέγειν.

ΠΡ. Ὦ δέσποτ' Ἀγάμεμνον, ἀδικεῖ οὗτος, ἐξαρπάσας τὰ γράμματα τῶν ἐμῶν χειρῶν βίᾳ, χαίρειν εἰπὼν τῇ δίκῃ.

ΑΓ. Τίς ὁ θόρυβος ἔξω καὶ ἅμιλλα λόγων αὕτη;

ΠΡ. Ἐμοὶ δὲ μᾶλλον, ἢ τούτῳ προθήκει λέγειν.

ΑΓ. Μενέλαε, τίποτ' εἰς ἅμιλλαν ἦλθες λόγων, βίᾳ οὕτω τὸν ἐμὸν περικόπτων οἰκέτην;

ΜΕ. Ἄγε σὺ πρῶτον ἀνάβλεψον εἰς ἡμᾶς, ἵν' ἀπὸ τοιούτων ἄρξωμαι προοιμίων.

ΑΓ. Καὶ μὴν, εἰ Ἀτρέως τυγχάνω γεγονὼς, οὐκ ἄν σε φοβηθείην.

ΜΕ. Ορᾷς τήνδε τὴν ἐπιστολὴν, οἷα κακὰ ἐγκλείει;

ΑΓ. Ἔγωγε· ἀλλ' ὡς τάχιστ' ἀπαλλάττου σὺ ταύτης.

ΜΕ. οὐκ ἂν, εἰ μὴ ἐκφήναιμι πρῶτον πᾶσι τὰ γεγραμμένα.

ΑΓ. Μῶν λύσας τὴν σφραγῖδα, ἀνέγνως, ἅ σε οὐ δεῖ εἰδέναι;

ΜΕ. Πῶς γὰρ οὔ; ὥςε δοῦναι σε δίκην, ἐφ' οἷς τοιαῦτα λάθρα κακουργῶν ἐφωράθης.

ΑΓ. Ποῦ δ' ἔλαβες αὐτήν; ὦ θεοὶ, τῆς σῆς ἀναισχυντίας.

ΜΕ. Τὴν σὴν καραδοκῶν θυγατέρα, εἰ ἥξοι δεῦρο.

ΑΓ. Τίσοι τῶν ἐμῶν μέλει; πῶς οὐκ ἀναίσχυντον τοῦτο;

ΜΕ. Τοῦτο γὰρ ἔμοιγ' ἦν βουλομένῳ· μῶν δοῦλος σὸς ἔφυν;

ΑΓ. Ἀλλ' οὐ δεινὸν τοῦτο τῶν ἐμαυτοῦ μὴ δεσπόζειν;

ΠΕ. Λοξὰ γάρ σου τὰ βουλεύματα καὶ παλίρροα πάντα, ἄλλοτ' ἄλλως δίκην Εὐρίπου τουτουῒ μεταβαλλομένου.

ΑΓ. Ἐκκεκόμψευσαι· πονηρὸν γλῶσσ' ἐπὶ φθόνον σοφή.
ΜΕ. Νοῦς δέ γ' οὐ βέβαιος ἄδικον κτῆμα, κοὐ σαφὲς φίλοις·
Βούλομαι δέ σ' ἐξελέγξαι, καὶ σὺ μήτ' ὀργῆς ὕπο
Ἀποτρέπου τἀληθὲς, οὔτοι καταινῶ λίαν σ' ἐγώ.
Οἶσθ', ὅτ' ἐσπούδαζες ἄρχειν Δαναΐδαις πρὸς Ἴλιον.
Τῷ δοκεῖν μὲν οὐχὶ χρήζων, τῷ δὲ βούλεσθαι θέλων,
Ὡς ταπεινὸς ἦσθ', ἁπάσης δεξιᾶς προσθιγγάνων,
Καὶ θύρας ἔχων ἀκλήστους τῷ θέλοντι δημοτῶν,
Καὶ διδοὺς πρόσρησιν ἑξῆς πᾶσι, κεἰ μή τις θέλοι,
Τοῖς τρόποις ζητῶν πρίασθαι τὸ φιλότιμον ἐκ μέσου;
Κᾆτ' ἐπεὶ κατέσχες ἀρχὰς, μεταβαλὼν ἄλλους τρόπους,
Τοῖς φίλοισιν οὐκέτ' ἦσθα τοῖς πρὶν, ὡς πρόσθεν, φίλος,
Δυσπρόσιτος, ἔσω τε κλήθρων σπάνιος; ἄνδρα οὐ χρεὼν
Τὸν ἀγαθὸν, πράσσοντα μεγάλα, τοὺς τρόπους μεθιστάναι,
Ἀλλὰ καὶ βέβαιον εἶναι τότε μάλιστα τοῖς φίλοις,
Ἡνίκ' ὠφελεῖν μάλιστα δυνατός ἐστιν εὐτυχῶν.
Ταῦτα μέν σε πρῶτ' ἐπῆλθον, ἵνα σε πρῶθ' εὕρω κακόν.
Ὡς δ' ἐς Αὖλιν ἦλθες αὖθις, χὠ Πανελλήνων στρατὸς,
Οὐδὲν ἦσθ', ἀλλ' ἐξεπλήσσου τῇ τύχῃ τῇ τῶν θεῶν,
Οὐρίας πομπῆς σπανίζων. Δαναΐδαι δ' ἀφιέναι
Ναῦς διήγγελλον, μάτην δὲ μὴ πονεῖν ἐν Αὐλίδι.
Ὡς δ' ἄνολβον εἶχες ὄμμα σύγχυσίν τε, μὴ νεῶν
Χιλίων ἄρχων, Πριάμου τε πεδίον ἐμπλήσας δορός!

---

προλαβεῖν βούλεται τὸ γερόντιον. 325. Οὔτοι καταινῶ] ἐν ἄλλοις οὐδ' εἰκανιῶ.

ΑΓ. Κομψεύῃ τῷ λόγῳ· ἀλλὰ γλῶσσα ἐπὶ φθόνῳ σοφὴ γενομένη, μέγιςον ἀνθρώποις κακόν.

ΜΕ. Ἐμοὶ δὲ τὸ δίϐουλα πρὸς φίλους φρονεῖν, καὶ μὴ ἁπλᾶ λέγειν ἄδικον μάλιςα. καὶ δὴ αὐτίκα μάλ' ἐξελέγξωσε· σὺ δὲ πράως ἀποδέχου, ἀκούων ἀληθῆ λέγοντός μου· οὐ γὰρ ἂν ἐπαίνους ἀκούσαις. τῷ γὰρ τῆς ςρατηγίας ἐπὶ Τροίαν κνιζόμενος ἔρωτι, μέμνησαι, ὅσον ἐσπουδάρχεις; δοκήσει μὲν ἀπέχεσθαι τῆς ἀρχῆς προσποιούμενος, τῇ δὲ ϐουλήσει ἀμφοτέραις ἀντιποιούμενος. ἢ οὐκ οἶσθ' οἷα ἐπλάττου τότε προσάγων, καὶ δεξιούμενος πάντας, καὶ παντὶ τῷ ϐουλομένῳ εἰσιέναι παρεχόμενος ἄδειαν, καὶ πρόσρησιν ἑξῆς πᾶσι δοὺς καὶ μὴ θέλοντί τῳ, παντὶ τρόπῳ, ὥσπερ ἐξ ἀγορᾶς, διώκων τὴν ςρατηγίαν; ἐπειδὴ δὲ τάχις' ἔτυχες ταύτης, μεταϐαλὼν οὐκέτ' ἦσθα ὁ αὐτὸς φίλος φίλοις, δυσπρόσιτός τε καὶ ϐαρὺς γενόμενος ὅλως, καὶ σπάνιος ἔξω φαίνεσθαι; καί τοι οὐκ ἐχρῆν ἄνδρ' ἀγαθὸν καὶ μεγάλοις ἐπιχειροῦντα, μεταϐάλλειν τοὺς τρόπους· ἀλλ' ἡνίκ' ἂν οἷός τε ᾖ ἐν τῷ εὐτυχεῖν φίλους ὠφελεῖν, τηνικαῦτα βέϐαιον αὐτοῖς μάλιστ' εἶναι· ταῦτα μὲν τῆς σῆς κακίας προοίμια· ἔνθα πρῶτον κακὸς ἐφάνης· ὡς δ' αὖ ἤλθομεν εἰς Αὐλίδα, καὶ τοῖς Ἕλλησιν ἐδόκει διαλύεσθαι ἕκαστον οἴκαδε, καὶ μὴ μάτην διατρίϐειν ἐνταῦθα, καὶ αὐτοῦ μικρὸς καὶ οὐδαμηνὸς διεγνώσθης ὤν, κἀκτετηκὼς τὸ ὄμμα, ἐκπλαγεὶς τῇ ἀπλοίᾳ, οὐκ εὖ σοι τῶν παρὰ τῶν θεῶν προχωρούντων. οὕτω δὲ ἐκπιπτούσης σοι τῆς ἀξίας, δεινὸν ποιησάμενος, εἰ μὴ ἐμπλήσειας ταῖς χιλίαις ναυσὶ τὸ τοῦ Πριά-

Κἀμὲ παρεκάλεις, τί δράσω; τίνα πόρον δ' εὕρω ποθέν;
Ὥςε μὴ ςερέντα σ' ἀρχῆς ἀπολέσαι καλὸν κλέος. 346
Κᾆτ' ἐπεὶ Κάλχας ἐν ἱεροῖς εἶπε σὴν θῦσαι κόρην
Ἀρτέμιδι, καὶ πλοῦν ἔσεσθαι Δαναΐδαις, ἡσθεὶς φρένας,
Ἄσμενος θύσειν ὑπέςης παῖδα· καὶ πέμπεις ἑκὼν,
Οὐ βίᾳ, (μὴ τοῦτο λέξῃς,) σῇ δάμαρτι, παῖδα σὴν
Δεῦρ' ἀποστέλλειν, Ἀχιλλεῖ πρόφασιν ὡς γαμουμένην.
Κᾆθ' ὑποστρέψας λέληψαι, μεταβαλὼν ἄλλας γραφὰς,
Ὡς φονεὺς οὐκέτι θυγατρὸς σῆς ἔσῃ μάλιστά γε. 353
Οὗτος αὑτός ἐστιν αἰθὴρ, ὃς τάδ' ἤκουσεν σέθεν.
Μυρίοι δέ τοι πεπόνθασ' αὐτὸ πρὸς τὰ πράγματα· 355
Ἐκπονοῦσ' ἔχοντες, εἶτα δ' ἐξεχώρησαν κακῶς.
Τὰ μὲν ὑπὸ γνώμης πολιτῶν ἀσυνέτου, τὰ δ' ἐνδίκως,
Ἀδύνατοι γεγῶτες αὐτοὶ διαφυλάξασθαι πόλιν.
Ἑλλάδος μάλιστ' ἔγωγε τῆς ταλαιπώρου στένω,
Ἣ θέλουσα δρᾷν τι κεδνὸν βαρβάρους τοὺς οὐδένας 360
Καταγελῶντας ἐξανήσει διὰ σὲ καὶ τὴν σὴν κόριν.
Μηδέν' ἂν χρέος ἕκατι προστάτην θείμην χθονὸς,
Μηδ' ὅπλων ἄρχοντα· νοῦν χρὴ τὸν ςρατηλάτην ἔχειν
Πόλεως· ὡς ἄρχων ἀνὴρ πᾶς, ξύνεσιν ἢν ἔχων τύχῃ.

---

352. Λέληψαι] ἐν ἄλλοις, λέλαψαι. καὶ λέλησαι κεῖται. 356. Ἐκπονοῦσιν ἔχοντες] σπουδαρχοῦσι μὲν κατ' ἀρχὰς, εἶτ' ἐν τῷ πράττειν ἀφίςανται· δοκεῖ δὲ ἐναλλαγὴ τῶν ὀνομάτων εἶναι, ἐκπονοῦσιν ἔχοντες, ἀντὶ τοῦ ἐκπονοῦντες ἔχουσιν, ὅ ἐστι, ἀμφὶ πόνους ἔχουσι, σπουδαρχοῦσι. καίτοι ἐν ἄλλοις κεῖται, Ἐκπονοῦσ' ἑκόντες· ὃ καὶ ἄμεινον ἴσως. 362. Χρέους ἕκατι] κατὰ χρέος συγγενείας, ἢ φιλίας, ἢ ὁτιοῦν· σὺ δὲ μὴ παρέλθῃς τὴν γνώμην ταύτην ἐπιπολαίως, ὁρῶν τὰ νῦν τῶν Ἑλλήνων πράγματα, ὅπως φέρονται μάτην· οὐ γὰρ οὔτε ἄρχοντα, οὔτε ἐπίσκοπον, οὐχ ἱερέα, οὐ διδάσκαλον, οὐδ' ὄντινουν αἱρε-

μου πεδίον, συνεβουλεύου κἀμοὶ, τί δράσω; τίν' ἂν εὕροιμι μηχανὴν, ὥστε τῆς παρούσης μὴ στερηθῆναι δόξης, τῆς ἀρχῆς ἐκπεσόντα; καὶ ἐπειδὴ Κάλχας ἀνεῖπε πλοῦν ἡμῖν ἔσεσθαι, τὴν σαυτοῦ θυγατέρα εἰ θύσεις Ἀρτέμιδι, ἄσμενος τὴν θυσίαν ὑπέστης· καὶ παραχρῆμ' ἑκὼν, οὐ βίᾳ (οὐ γὰρ ἂν εἴποις τοῦτο) ἐπέστειλας τῇ σαυτοῦ γυναικὶ πέμψαι σοὶ τὴν παρθένον δεῦρο προφάσει Ἀχιλλεῖ συναρμόσειν· νῦν δὲ μεταβαλὼν, γράφεις ἕτερα· καὶ φὴς μὴ ἂν ἀνέξεσθαι φονεὺς τῆς κόρης γενέσθαι· καὶ μαρτυρεῖ με τῷ λόγῳ αὐτὸς ὁ αἰθὴρ, αὐτοῦ σοῦ τοῦτ' ἀκούσας· μυρίοι γεμὴν ταὐτά σοι πρὸς τὰ πράγματα φαίνονται πεπονθότες· πρῶτον μὲν γὰρ σπουδαρχοῦσιν ὅλῳ θυμῷ· ἔπειτα δ' ἐν τῷ ἔργῳ ἀφίςανται, ὁτὲ μὲν ἀσυνέτοις πολίταις ἀσυνέτως πειθόμενοι· ὁτὲ δὲ καὶ σωφρόνως, συνειδότες μὴ ἂν δυνηθῆναι αὐτοὶ δι ἑαυτῶν πόλιν διακυβερνῆσαι· ἐγὼ δὲ θρηνῶ τὴν Ἑλλάδα· ἥτις ὁρμηθεῖσα ἐπὶ πρᾶξιν γενναίαν, βαρβάρων μηδενῶν καταγελώντων αὐτῆς ςῆσαι τρόπαιον εὐκλεὲς ἐς τὸν ἔπειτα χρόνον, ἀποςήσεται νῦν τούτου διὰ σὲ καὶ τὴν σὴν θυγατέρα· διὸ βουλοίμην ἂν ἔγωγε μηδέποτ' ἐξ ὅτου δήποτε χρέους μήτ' ἄρχοντα πόλεως, μήτε στρατηγὸν ἀναγκασθῆναι ἑλέσθαι· δεῖ γὰρ δὴ τὸν σρατηγὸν εἶναι ἄριστον· οὐκοῦν πᾶς ἀνὴρ ἄρχων ἔσται, εἰ τύχοι μόνον σύνεσιν ἔχων·

---

σης γενομένη, προϊστήσε τῶν ἄλλων ἐν τοῖς κοινοῖς, ἀλλὰ χάρις, κολακεία, συγγένεια, καὶ κέρδος αἰσχρὸν κρατεῖ πάντων, ὥστε ἡ μοχθηρία καταδῦσα καὶ εἰς τὰ ἄδυτα, ἐπ' αὐτοῦ τοῦ θρόνου τοῦ θεοῦ ἐν μέσῳ τῶν ἀοράτων ἀγγέλων, οὐδὲν ποιεῖ, ἢ πραγματευομένη τὰ θεῖα, κιβδηλοῖ το καθαρὸν καὶ σεμνὸν τῆς ἁπλουςάτης ἱερᾶς ἡμῶν πίστεως· ὥσθ' ὥσπερ ἐν νομίσμασι παρασήμοις μὴ εἰδέναι σαφῶς, τί καθαρὸν, καὶ τί μή· ἀλλ' ἥλικει ποθ' ἡμῖν ὁ θεος, φῶς ἐλευ·

ΧΟ. Δεινὸν κασιγνήτοισι γίνεσθαι λόγους
Μάχας θ,' ὅταν πότ' ἐμπέσωσιν εἰς ἔριν.

ΑΓ. Βούλομαί σ' εἰπεῖν κακῶς εὖ βραχέα, μὴ λίαν ἄνω
Βλέφαρα πρὸς τἀναιδὲς ἀγαγὼν, ἀλλὰ σωφρονεστέρως,
Ὡς ἀδελφὸν ὄντ'· ἀνὴρ γὰρ χρηστὸς αἰδεῖσθαι φιλεῖ·
Εἰπέ μοι, τί δεινὰ φυσᾷς, αἱματηρὸν ὄμμ' ἔχων;
Τίς ἀδικεῖ σε; τοῦ κέχρησαι; λέκτρα χρήστ' ἐρᾷς λαβεῖν;
Οὐκ ἔχοιμ' ἂν σοι παρασχεῖν· ὧν γὰρ ἐκτήσω, κακῶς
Ἦρχες. εἶτ' ἐγὼ δίκην δῶ σῶν κακῶν, ὁ μὴ σφαλείς;
Ἦ δάκνει σε τὸ φιλότιμον τοὐμόν; ἀλλ' ἐν ἀγγάλαις
Εὐπρεπῆ γυναῖκα χρήζεις, τὸ λελογισμένον παρεὶς
Καὶ τὸ καλὸν, ἔχειν; πονηροῦ φωτὸς ἡδοναὶ κακαί.
Εἰ δ' ἐγὼ γνοὺς πρόσθεν οὐκ εὖ, μετετέθην εὐβουλίᾳ,
Μαίνομαι; σὺ μᾶλλον, ὅς τις, ἀπολέσας κακὸν λέχος,
Ἀναλαβεῖν θέλεις, θεοῦ σοι τὴν τύχην διδόντος εὖ.
Ὤμοσαν τὸν Τυνδάρειον ὅρκον οἱ κακόφρονες
Φιλόγαμοι μνηστῆρες. ἡ δέ γ' Ἐλπὶς, οἶμαι μὲν, θεὸς
Ἐξέπραξεν αὐτὸ μᾶλλον, ἢ σὺ, καὶ τὸ σὸν σθένος.
Οὓς λαβὼν στράτευέ γ'. οἶμαι, εἴσῃ μωρίᾳ φρενῶν

---

θερίας ποθεν καὶ νοῦν παρασχών! 367. Κακῶς εὖ] σύνταξον οὕτω. βούλομαι εὖ εἰπεῖν σε κακῶς βραχέα· το δὲ Εὖ ἐκληφθήτω ἀντὶ τοῦ δικαίως· τὸ δὲ, Λίαν ἄνω, ἐν ἄλλοις κεῖται Λίαν ἂν ὦ, οὐ καλῶς. 374. Ἐξέπραξεν] ἐν ἄλλοις κεῖται Κἀξέπραξεν, οὐ καλῶς, ἢ γραπτέον, Κατέπραξεν· ὁ γαρ κατάρχων Καὶ περιττός. 383. Οἶμαι δ' εἴσῃ μωρίᾳ φρενῶν] ἐν ἄλλοις δὲ κεῖται, Οὓς λαβων, στράτευέ γ', οἶμαι, μωρίᾳ τῇ σῇ φρενῶν, οὐ καλῶς. Τὸ δὲ Εἴσῃ ουκ ἀπὸ τοῦ εἴδω τοῦ γινώσκω, ἀλλ' ἐκ τοῦ Εἶμι, ἢ Εἴσομαι, τοῦ πορεύομαι· οὗ καὶ παρ' Ὁμήρῳ ἐστιν εὑρεῖν μέλλοντα εἴσομαι, καὶ Εἰσάμην (Ἰλ. Λ'. στίχ. 367. καὶ Μ. 118.

ΧΟ. Δεινὸν ἔρις ἀδελφοῖς ἐμπεσοῦσα· λόγων γὰρ ἅμιλλα μάχην πολλάκις τίκτει.

ΑΓ. Βούλομαί σε καλῶς εἰπεῖν μίκρ' ἄττα, δικαίως μὲν, μετριώτερον δὲ, ὡς ἀδελφὸν ὄντα, ἵνα μήτις ἀναίδειαν ἡμῶν καταγνῷ· αἰσχροῦ γὰρ ἀνδρὸς τὴν αἰδῶ ἀφαιρεῖσθαι. Οὐκοῦν δεῦρ' εἰπὲ ἡμῖν τίπαθ' οὕτω φυσᾷς, πῦρ ὅλως βλέπων; τίς ἀδικεῖ σε; τίνος δέῃ; γυναικὸς καλῆς; ἀλλ' οὐκ ἔχω σοι δοῦναι· ἧς γὰρ ἔτυχες ἀνὴρ γεγονὼς, εὑρέθης κακὸς φύλαξ γεγενημένος· εἶτ' ἐμὲ δεῖ δοῦναι δίκην τούτων, ἐν οἷς οὐκ εἰμὶ τὸ παράπαν ἐξημαρτηκώς; μῶν τοὐμὸν φιλότιμον δάκνει σε; ἢ γύναιον πάγκαλον καὶ κομψὸν ἐπιθυμεῖς ἐν ἀγκάλαις βαςάζειν, μηδένα λόγον τοῦ ὀρθοῦ καὶ σεμνοῦ ποιησάμενον; ἀλλ' ἴσθι, ὡς τῶν πονηρῶν καὶ αἱ ἡδοναὶ εἰσὶ πονηραί· εἰ δὲ μεταβουλευσάμενον ἐμὲ νῦν καλῶς τῶν πρὶν κακῶς ἐγνωσμένων, μαίνεσθαι φὴς, πόσῳ μᾶλλον δίκαιος εἶ τοῦτ' αὐτὸ σεαυτοῦ καταγνῶναι; ὃς κακὸν γύναιον ἀφαιρεθεὶς, εὖ τούτου σοι παρὰ θεοῦ προχωρήσαντος, νῦν σπουδὴν ποιῇ ἀνακτήσασθαι τοῦτο; οἶδα μὲν οὖν και τοὺς φιλογάμους καὶ κακοβούλους μνηστῆρας τὸν παρὰ Τυνδάρεω ὀμωμοκότας ὅρκον, ἀλλὰ τοῦτ' οὐκ ἔστιν οὔτε τῆς σῆς ἀξίας, οὔτε τῆς δυνάμεως ἔργον. πόθεν γάρ; ἀλλ' ἡ Ἐλπὶς θεὸς τοῦτο κατέπραξέ σοι· σὺ δ' ἀναλαβὼν ἐκείνους, εἰ βούλει, ποιοῦ τὴν ἐκστρατείαν, καὶ εἴσῃ γ', οἶμαι, ὅση μωρίᾳ ποιήσεις τοῦτο·

(οὐ γὰρ ἀσύνετον τὸ θεῖον, ἀλλ' ἔχει συνιέναι)
Τοὺς κακῶς παγέντας ὅρκους καὶ συνηναγκασμένους.
Τἀμὰ δ' οὐκ ἀποκτενῶ 'γὼ τέκνα· καὶ τὸ σὸν μὲν εὖ
Πέρα δίκης ἔσται, κακίστης εὐνίδος τιμωρία,
Ἐμὲ δὲ συντήξουσι νύκτες ἡμέραι τε δακρύοις,
Ἄνομα δρῶντα κοὐ δίκαια παῖδας, οὓς ἐγεινάμην.
Ταῦτά σοι βραχέα λέλεκται καὶ σαφῆ καὶ ῥᾴδια·
Εἰ δὲ μὴ βούλει φρονεῖν σὺ, τἄμ' ἐγὼ θήσω καλῶς.

ΧΟ, Οἵδ' αὖ διάφοροι τῶν πάρος λελεγμένων
Μύθων, καλῶς δ' ἔχουσι, φείδεσθαι τέκνων.

ΜΕ. Αἲ αἴ! φίλους ἄρ' οὐχὶ κεκτήμην τάλας;

ΑΓ. Εἰ τοὺς φίλους γε μὴ θέλεις ἀπολλύναι.

ΜΕ. Δείξεις δὲ ποῦ μοι πατρὸς ἐκ ταὐτοῦ γεγώς;

ΑΓ. Συσσωφρονεῖν γὰρ ἀλλ' οὐ συννοσεῖν ἔφυν.

ΜΕ. Ἐς κοινὸν ἀλγεῖν τοῖς φίλοισι χρὴ φίλους.

ΑΓ. Εὖ δρῶν παρακάλει μ', ἀλλὰ μὴ λυπῶν ἐμέ.

ΜΕ. Οὐκ' ἄρα δοκεῖ σοι τάδε πονεῖν σὺν Ἑλλάδι;

ΑΓ. Ἑλλὰς δὲ σὺν σοὶ κατὰ θεὸν νοσεῖ τινα.

ΜΕ. Σκήπτρων νυν αὔχει, σὸν κασίγνητον προδούς·

---

ἵνα ᾖ οὕτως, οἶμαι δὲ ὡς στρατεύσῃ ἐκεῖσε σὺν πολλῇ μωρίᾳ. 384. Οὐ γὰρ ἀσύνετον] ὁ στίχος οὗτος ἐν ἄλλοις οὐ κεῖται· καὶ τὸ ἑπόμενον τὸ, τοὺς κακῶς πεπηγότας ὅρκους συνάπτεται οὕτως ἀνωτέρω πρὸς τὸ Εἴσῃ ἀντὶ τοῦ γνώσῃ λαμβανόμενον οὕτω· μήτι οὖν κατὰ τοῦτο ἐκληπτέον τὸ, Οὐ γάρ . . . συνιέναι, ὡς διάμεσον ὅλως; 386. Τὸ σὸν εὖ] τὸ σὸν εὐτυχὲς καὶ ἐπιθυμητόν ἐστιν δίκην λαβεῖν, ὧν ἔπαθες ἀφαιρεθεὶς τὸ γύναιον ἀλλὰ τοῦθ' ἡμῖν, εἰ διὰ τῆς ἀπωλείας τῆς ἐμῆς γένοιτο θυγατρὸς, ἄδικόν ἐστι, μέγ' ἀντὶ μικροῦ ἀπολέσασι. τὸ δὲ Πέρα δίκης, παρὰ δίκης ἐν ἄλλοις κεῖται. 397. Συσσωφρονεῖν

τὸ γὰρ θεῖον οὐχ οἷον μὴ συνιέναι τὸ τῶν ὅρκων ἀσύνετον καὶ κατηναγκασμένον· ἐμὲ δὲ ἴσθι οὐκ ἂν ἀποκτενοῦνθ' ἑκόντα τὴν ἐμαυτοῦ θυγατέρα· ὃ μὲν γὰρ εὖ ἕξειν σοι δοκεῖ, κακὸν τίσασθαι γύναιον, τοῦτ' ἄδικον ἔσται. ἐγὼ δὲ, εἰ οὓς ἐγεινάμην τολμήσαιμι ἀδικῆσαι, νύκτωρ καὶ μεθ' ἡμέρας ἔσομαι τηκόμενος δάκρυσι, Ταῦτα μὲν πρὸς σὲ, ὡς μάλιστα μὲν βραχέα, μάλιστα δὲ σαφῆ καὶ ῥάδια· εἰ δέσοι μὴ ἀρέσκοι, μηδὲ βούλοιο εὖ φρονεῖν, ἄλλος λόγος οὗτος· ἐγὼ δὲ πειράσομαι εὖ θέσθαι τὰ κατ' ἐμαυτόν.

ΧΟ. Ἀντίφθογγα ὅλως ταῦτα τοῖς εἰρημένοις, εὖ κελεύοντα φείδεσθαι τέκνων.

ΜΕ. Αἶ, αἶ, οὐκ ἄρ' ἀληθεῖς ἦσαν ἔμοιγε φίλοι.

ΑΓ. Μῶν δεῖσε οὕτω τοὺς φίλους ἀπολλύναι;

ΜΕ. Πῶς δὲ γνώσομαί σε ἀδελφὸν ἐμοὶ ὄντα;

ΑΓ. Συσσωφρονεῖν σοι, ἀλλ' οὐ συννοσεῖν ἱραοῦμαι.

ΜΕ. Δεῖ δὴ τοὺς φίλους συμπάσχειν γε τοῖς φίλοις.

ΑΓ. Πάντως, εἰ εὖ δρῶν, ἀλλ' οὐ λυπῶν τοῦτο λέγεις.

ΜΕ. Οὐκοῦν ἀναδύσῃ τὸν ἀγῶνα τῶν Ἑλλήνων;

ΑΓ. Ἑλλὰς συννοσεῖ σοι θεοῦ οὐκ οἶδ' ὑφ' ὅτου.

ΜΕ. Ἐπειδὴ τοίνυν τὸν σαυτοῦ προδοὺς ἀδελφὸν, σεμνύνῃ

σοι] καὶ τούτου ἐν ἄλλοις παραλλάττει ἡ γραφή· ὁ δὲ νοῦς ἀμφοτέρων ὁ αὐτός· σωφρονοῦντί σοι γὰρ βούλομαι συσσωφρονεῖν· νοσοῦντι δὲ, καὶ κακῶς φρο-

*

Ἐγὼ δ' ἐπ' ἄλλας εἶμι μηχανάς τινας,
Φίλους τ' ἐπ' ἄλλους.

ΑΓ. Ὦ Πανελλήνων ἄναξ,
Ἀγάμεμνον· ἥκω παῖδά σοι τὴν σὴν ἄγων,
Ἣν Ἰφιγένειαν ὠνόμαζες ἐν δόμοις.
Μήτηρ δ' ὁμαρτεῖ, σῆς Κλυταιμνήστρας δέμας,
Καὶ παῖς Ὀρέστης· ὥστε τερφθείης ἰδὼν,
Χρόνον παλαιὸν δωμάτων ἔκδημος ὤν.
Ἀλλ' ὡς μακρὰν ἔτεινον, Εὔρυτον παρὰ
Κρήνην ἀναψύχουσι θηλύπουν βάσιν,
Αὐταί τε πῶλοί τ'· ἐς δὲ λειμώνων χλόην
Καθεῖμεν αὐτὰς, ὡς βορᾶς γευσαίατο.
Ἐγὼ δὲ πρόδρομος σῆς παρασκευῆς χάριν
Ἥκω· πέπυσται γὰρ στρατὸς, ταχεῖα δὲ
Διῆξε φήμη παῖδα σὴν ἀφιγμένην.
Πᾶς δ' ἐς θέαν ὅμιλος ἔρχεται δρόμῳ,
Σὴν παῖδ' ὅπως ἴδωσιν· οἱ δ' εὐδαίμονες
Ἐν πᾶσι κλεινοὶ καὶ περίβλεπτοι βροτοῖς.
Λέγουσι δ' ὑμέναιός τις, ἢ τί πράσσεται;
Ἢ πόθον ἔχων θυγατρὸς Ἀγαμέμνων ἄναξ
Ἐκόμισε παῖδα; τῶν δ' ἂν ἤκουσας τάδε·
Ἀρτέμιδι προτελίζουσι τὴν νεανίδα,
Αὐλίδος ἀνάσσῃ· τίς νιν ἄξεταί ποτε;
Ἀλλ' εἶα, τἀπὶ τοῖσιδ' ἐξάρχου κανᾶ·
Στεφανοῦσθε κρᾶτα, καὶ σὺ, Μενέλεως ἄναξ,

---

νοῦντι. εὖ συννοσήσω· ἀρετὴ μὲν γὰρ φίλους συνάπτει, κακία δὲ διϊστᾷ. 410 Εὔρυτον] εἴη ἂν καὶ κύριον ὄνομα τοῦτο ἀντὶ τοῦ Καλλιρρόη. 423. Προτελί-

τῷ σκήπτρῳ μόνῳ, ἀνάγκη ἐπ' ἄλλους τρεπόμενον φίλους, ἕτερα μηχανᾶσθαι.

ΑΓ. Ἀγάμεμνον, ἄναξ συμπάντων Ἑλλήνων, ἥκω σοι Ἰφιγένειαν ἄγων τὴν σὴν θυγατέρα· ἀκολουθεῖ δὲ καὶ Κλυταιμνήστρα ἡ μήτηρ, καὶ Ὀρέστης ὁ παῖς· οὓς ἥδιςʼ ἂν ἴδοις, διὰ χρόνου ἑωρακώς· ἀλλ' ἐπειδὴ τυγχάνουσι πολλὴν ὁδὸν διανύσασαι, ἀναπαύονται, κατὰ τὴν Καλλιῤῥόην κρήνην, τοὺς σφῶν αὐτῶν ἁπαλοὺς ἀναψύχουσαι πόδας, αὐταί τε καὶ οἱ ἵπποι· οὓς χιλοῦμεν ἤδη ἐν τῷ λειμῶνι· ἐγὼ δὲ προὔδραμον ἐρῶν σοι παρασκευάσασθαι τὰ πρὸς ὑποδοχήν· ὡς γὰρ ταχεῖα διῆξε φήμη τὴν σὴν ἀφικέσθαι παῖδα, ἅπας ὁ ςρατὸς ἀκούσας μετέωρος ἦν, καὶ ἤδη πᾶς δρόμου ἔχεται αὐτὴν θεασόμενος· κλεινὸν γὰρ παρὰ πᾶσι τὸ εὔδαιμον καὶ περίβλεπτον· τῶν δὲ καθ' ὁδὸν ἀπαντώντων οἱ μὲν πυνθάνονται ἀποροῦντες, πρὸς τί ταῦτα; πότερον, γάμος, ἢ τί τὰ γιγνόμενα; ἢ πόθος ἁπλοῦς τῷ πατρὶ τὴν κόρην ἄγει; οἱ δ' αὖ προτελίσειν σε μέλλειν φασὶ τὴν παρθένον Ἀρτέμιδι τῇ τῆς Αὐλίδος πολιούχῳ· ἆρα τίνι ἔςαι γυνή ποτε; Ἀλλ' ἄγε, ἔπειγε, ἐναρχέσθω τὰ κανᾶ· ὑμεῖς δὲ ςεφανοῦσθε, καὶ σύ, ὦ Μενέλαε εὐτρέ-

---

ζουσι] πρὶν ἢ τὸν γάμον γενέσθαι, θυσίαν τινά, ἐν ᾗ καὶ δῶρα ἐπέμποντο, εἰώθεσαν ποιεῖν οἱ ἀρχαῖοι, ὃ προτελίζειν ἐκάλουν, καὶ προτέλεια, καὶ τὴν ἡμέραν, καθ' ἣν ἐπράττοντο ταῦτα, προτελείαν· ὁ δ' οὖν ποιητὴς ἐνταῦθα ὑπαινίττεται τὴν θυσίαν τῆς παρθένου. 425. Ἐξάρχου κανᾶ] εὐτρέπιζε τὰ κανᾶ· ὅ ἐστι τίθει ἐν κανοῖς τὰ πρὸς θυσίαν ἐπιτήδεια τοὺς ὀλοχύτας, ὅ ἐστι, τὰς κριθάς, καὶ τὴν μάχαιραν· ὁ γὰρ Ἄγγελος ἐνταῦθα, καὶ μὴ εἰδώς, προμαντεύει τὰ ἐσόμενα·

Ὑμέναιον εὐτρέπιζε, καὶ κατὰ στέγας
Λωτὸς βοάσθω καὶ ποδῶν ἔστω κτύπος.
Φῶς γὰρ τόδ' ἥκει μακάριον τῇ παρθένῳ.

ΑΓ. Ἐπῄνεσ'· ἀλλὰ στεῖχε δωμάτων ἔσω·
Τὰ δ' ἄλλ', ἰούσης τύχης, ἔσται καλῶς. —
Οἴ μοι! τί φῶ δύστηνος; ἄρξομαι πόθεν;
Ἐς οἷ' ἀνάγκης ζεύγματ' ἐμπεπτώκαμεν!
Ὑπῆλθε δαίμων, ὥςτε τῶν σοφισμάτων
Πολλῷ γενέσθαι τῶν ἐμῶν σοφώτερος.
Ἡ δυσγένεια δ' ὡς ἔχει τι χρήσιμον!
Καὶ γὰρ δακρῦσαι ῥᾳδίως αὐτοῖς ἔχει,
Ἄνολβά τ' εἰπεῖν· τῷ δὲ γενναίῳ φύσιν
Ἄναντα ταῦτα· προστάτην γε τοῦ βίου
Τὸν δῆμον ἔχομεν, τῷ τ' ὄχλῳ δουλεύομεν·
Ἐγὼ γὰρ ἐκβαλεῖν μὲν αἰδοῦμαι δάκρυ,
Τὸ μὴ δακρῦσαι δ' αὖθις αἰδοῦμαι τάλας,
Ἐς τὰς μεγίστας συμφορὰς ἀφιγμένος.
Εἶεν, τί φήσω πρὸς δάμαρτα τὴν ἐμήν;
Πῶς δέξομαί νιν; ποῖον ὄμμα συμβαλῶ;
Καὶ γάρ μ' ἀπώλεσ' ἐπὶ κακοῖς, ἅ μοι πάρος,
Ἐλθοῦσ' ἄκλητος· εἰκότως δ' ἅμ' ἕσπετο
Θυγατρὶ νυμφεύσουσα, καὶ τὰ φίλτατα
Δώσουσ', ἵν' ἡμᾶς ὄντας εὑρήσει κακούς.
Τὴν δ' αὖ τάλαιναν παρθένον (τί παρθένον;
Ἅδης νιν, ὡς ἔοικε, νυμφεύσει τάχα)
Ὡς ᾤκτισ'! οἶμαι γάρ νιν ἱκετεῦσαι τάδε.

---

ἴδε κατωτέρω στίχ. 1575. 432. Πόθεν] ἐν ἄλλοις, σέθεν κεῖται. 439. Ἄναντα ταῦτα].

πιζε τὸν ὑμέναιον· ἠχείτω δ' αὐλὸς ἔνδον, καὶ πόδες κροτούντων· εὐδαίμων γὰρ ἥκει τῇ παρθένῳ ἡ παροῦσα ἡμέρα.

ΑΓ. Ἐπαινῶ ταῦτα· ἀλλ' εἴσελθε εἰς τὸ δῶμα· ἃ δ' ἀκόλουθα ἐςὶ, πάντα καλῶς ἔςαι, οὕτω τῆς τύχης ἀγούσης· ἀλλ οἴμοι τῷ δυςήνῳ, τί ποτε φῶ; ἄρξομαι δὲ πόθεν; ὢ, ἐν οἵοις ἀμηχάνοις καὶ ἀλύτοις δεσμοῖς ἐμπεπτώκαμεν! εὖ γάρ με ὑπελθοῦσα ἡ τύχη, ἐφάνη τῶν ἐμῶν σοφισμάτων πολλῷ ὑπερτέρα γεγενημένη· ὡς ζηλῶ τοὺς ἐν δυσγενείᾳ γεγενημένους, ὡς πολὺ τὸ ἐλεύθερον ἔχοντας ἐν τοῖς ἀλγεινοῖς· καὶ γὰρ καὶ κλαίειν αὐτοῖς ῥάδιον ἔςαι, καὶ ἄκοσμα, εἴπου τύχοι, προφέρειν οὐ πάνυ μεμπτόν· τοῖς δὲ εὐγενέσιν οὐκ ἔςι ταῦτα· τῷ γὰρ δήμῳ σπουδάζοντες ζῆν, ὥς' ἀρέσκειν, δουλεύομεν ἐκείνῳ· αὐτίκα γὰρ ὁ τάλας ἐγὼ αἰδοῦμαι μὲν ἐκβαλεῖν δάκρυ· αἰδοῦμαι δὲ πάλιν καὶ μὴ δακρῦσαι, μεγίστοις ἤδη δεινοῖς περιπεπτωκώς· εἶεν· τί δ' ἐρῶ πρὸς τὴν γυναῖκα; πῶς ὑποδέξομαι; ποίοις δ' ὄμμασιν ὄψομαι; ἐλθοῦσα γὰρ ἄκλητος ἀπώλεσέ με, ἐφ' οἷς νῦν ἀλγῶ· ἔδει γὰρ ἄρα συναπάραι τῇ θυγατρὶ ἐκείνην νυμφεύσουσάν τε καὶ ἐκδώσουσαν τῷ νυμφίῳ, ἔνθ' ἡμᾶς ἐξελέγξει προδότας γεγενημένους. οἰκτείρω δ' οὐχ ἧττον καὶ τὴν τάλαιναν ἐκείνην παρθένον (τί παρθένον φημὶ, ἣν Ἅδης, ὡς ἔοικεν, αὐτίκα νυμφεύσεται;) ἐρεῖ γὰρ ἴσως ἱκετεύουσα ταῦτα. Τί ποιεῖς πάτερ; τὴν σαυτοῦ

---

οὕτω καλῶς, ἐν ἄλλοις δὲ κεῖται, ἅπαντα ταῦτα· εἴη δ' ἂν καὶ ὁ ἑπόμενος Τε αἰτιολογικὸς ἀντὶ τοῦ Γάρ. 470. Τὸν δῆμον] οὕτω μᾶλλον ἐξ ἄλλων ἀντὶ τοῦ τὸν ὄγκον.

Ὦ πάτερ, ἀποκτενεῖς με; τοιούτους γάμους
Γήμειας αὐτὸς, χὤστις ἔστι σοι φίλος.
Παρὼν δ' Ὀρέστης ἐγγὺς ἀναβοήσεται
Οὐ συνετὰ συνετῶς· ἔτι γάρ ἐστι νήπιος.
Αἲ, αἴ! τὸν Ἑλένης ὥς μ' ἀπώλεσεν γάμον
Γήμας ὁ Πριάμου Πάρις, ὅς μ' εἴργασται τάδε!

ΧΟ. Κἀγὼ κατῴκτειρ', ὡς γυναῖκα δεῖ ξένην
Ὑπὲρ τυράννων συμφορᾶς καταστένειν.

ΜΕ. Ἀδελφὲ, δός μοι δεξιᾶς τῆς σῆς θιγεῖν.

ΑΓ. Δίδωμι· σὸν γὰρ τὸ κράτος, ἄθλιος δ' ἐγώ.

ΜΕ. Πέλοπα κατόμνυμ', ὃς πατὴρ τοὐμοῦ πατρὸς
Τοῦ σοῦ τ' ἐκλήθη, τὸν τεκόντα τ' Ἀτρέα,
Ἦ μὴν ἐρεῖν σοι τἀπο καρδίας σαφῶς,
Καὶ μὴ 'πίτηδες μηδὲν, ἀλλ' ὅσον φρονῶ·
Ἐγώ σ' ἀπ' ὄσσων ἐκβαλόντ' ἰδὼν δάκρυ
Ὤκτειρα, καὐτὸς ἀντάφηκά σοι πάλιν,
Καὶ τῶν παλαιῶν ἐξαφίσταμαι λόγων,
Οὐκ ἐς σὲ δεινός· εἰμὶ δ', οὗπερ εἶ σὺ νῦν·
Καί σοι παραινῶ μήτ' ἀποκτείνειν τέκνον,
Μήτ' ἀνθελέσθαι τοὐμόν· οὐ γὰρ ἔνδικον,
Σὲ μὲν στενάζειν, τἀμὰ δ' ἡδέως ἔχειν,
Θνήσκειν τε τοὺς σοὺς, τοὺς δ' ἐμοὺς ὁρᾶν φάος.
Τί βούλομαι γάρ; οὐ γάμους ἐξαιρέτους
Ἄλλους λάβοιμ' ἂν, εἰ γάμων ἱμείρομαι;
Ἀλλ' ἀπολέσας ἀδελφὸν, ὅν μ' ἥκιστ' ἐχρῆν,
Ἑλένην ἕλωμαι, τὸ κακὸν ἀντὶ τἀγαθοῦ;
Ἄφρων νέος τ' ἦν πρίν· τὸ πρᾶγμα δ' ἐγγύθεν
Σκοπῶν ἐσεῖδον, οἷον ἦν κτείνειν τέκνα.
Ἄλλως τέ μ' ἔλεος τῆς ταλαιπώρου κόρης

ἀναιρεῖς θυγατέρα; τοιούτων γάμων τύχοις αὐτός τε, καὶ ὃς ἂν ᾖ φίλος σός. Ὀρέστης δ' αὖ ἀναβοήσεται καὶ αὐτὸς συνετὰ καὶ μὴ συνιὼν ὅ,τι λέγοι διὰ τὸ νήπιος ἔτι εἶναι· αἶ, αἶ· ὥς με ἀπώλεσε, Πάρις, ὁ γάμον ἀνάρμοστον συναρμόσας Ἑλένῃ· οὗτος γάρ μοι αἴτιος τῶν παρόντων κακῶν.

ΧΟ. Κἀμὲ οἶκτος ἔχει πολύς· δεῖ γὰρ, καίπερ ξένην οὖσαν, τοῖς κρείττοσι, συμφοραῖς περιπεπτωκόσι, συμπάσχειν.

ΜΕ. Ἀδελφὲ, δός μοι συμβαλεῖν δεξιὰν δεξιᾷ.

ΑΓ. Ἔχεις· σὺ μὲν γὰρ ἤδη νικᾷς· ἐγὼ δὲ δυστυχῶ.

ΜΕ. Πέλοπά τε τὸν πάππον, καὶ Ἀτρέα τὸν γεινάμενον ἡμᾶς ἀμφοτέρους, ὄμνυμι, ἦ μὴν ἁπλᾶ κἀπὸ γνώμης ἐρεῖν σοι ὅ,τι ποτ' ἂν εἴπω, κοὐδὲν ἐπιτετηδευμένον καὶ προσποιητὸν παρ' ὃ φρονῶ· ἐγὼ γὰρ ἅμ' ἰδών σε καταλείβοντα δάκρυ, ἔπαθον τἄνδον, ἐν μέρει καὶ αὐτὸς ἐπιδακρύσας· καὶ νῦν ἐπιλελησμένος τῶν πρὶν εἰρημένων, οὐκέτ' εἰμὶ πρός σε αὐστηρός· ἀλλὰ πρὸς τὴν αὐτὴν αἴσθησίν σοι ἐλθὼν ἐν ταῖς ἐνεστηκυίαις ἀνάγκαις, ἀξιῶ μὴ ψαύειν σε τῆς παιδὸς, ὥστε κτείνειν, μηδὲ γενέσθαι τοὐμόν· οὐ γὰρ δίκαιον αὐτὸν μὲν θρηνεῖν· ἐμὲ δ' ἐντρυφᾶν, ἀποθανούσης μὲν τῆς σῆς, περιούσης δὲ τῆς ἐμῆς θυγατρός. πρὸς τί γάρ ταῦθ' ἡμῖν; εἰ γὰρ γυναικὸς ἐμοὶ δέοι, πολλὰς ὁρῶ πρὸς ἐμὲ ἀφορώσας, εἰ νεύσαιμι μόνον γάμον· πῶς οὖν ἂν ἑλοίμην ἕνεκα τῆς Ἑλένης, ἀδελφὸν ἀδικῆσαι, κακὸν ἀγαθοῦ ποιούμενος ἔμπροσθεν; ἄφρων ἦν ἐγὼ πρίν· νῦν δ' ἐπιστήσας τῷ πράγματι, εὑρίσκω, οἷόν ἐστι παῖδας κτείνειν· καὶ μάλιστα τῆς ταλαιπώρου κόρης, συγγενῆ μοι αὐτὴν

Ἐσῆλθε, συγγένειαν ἐννοώμενον,
Ἣ τῶν ἐμῶν ἕκατι θύεσθαι γάμων
Μέλλει. τί δ' Ἑλένης παρθένῳ τῇ σῇ μέτα;
Ἴτω στρατεία διαλυθεῖσ' ἐξ Αὐλίδος.
Σὺ δ' ὄμμα παῦσαι δακρύοις τέγγων τὸ σὸν,
'Αδελφὲ, κἀμὲ παρακαλῶν ἐς δάκρυα.
Εἰ δέ τι κόρης σῆς θεσφάτων μέτεστί μοι,
Μή μοι μετέστω· σοὶ νέμω τοὐμὸν μέρος.
Ἀλλ' ἐς μεταβολὰς ἦλθον ἀπὸ δεινῶν λόγων.
Εἰκὸς πέπονθα· τὸν ὁμόθεν πεφυκότα
Στέργων, μετέπεσον ἀνδρὸς οὐ κακοῦ τρόποι
Τοιοίδε, χρῆσθαι τοῖσι βελτίστοις ἀεί.
ΧΟ. Γενναῖ' ἔλεξας Ταντάλῳ τε τῷ Διὸς
Πρέποντα· προγόνους οὐ καταισχύνεις σέθεν·
ΑΓ. Αἰνῶσε, Μενέλεως, ὅτι παρὰ γνώμην ἐμὴν
Ὑπέθηκας ὀρθῶς τοὺς λόγους, σοῦ τ' ἀξίως·
ΜΕ. Ταραχή γ' ἀδελφῶν τις δι' ἔρωτα γίγνεται
Πλεονεξίαν τε δωμάτων· ἀπέπτυσα
Τοιάνδε συγγένειαν ἀλλήλων πικράν·
ΑΓ. Ἀλλ' ἥκομεν γὰρ εἰς ἀναγκαίας τύχας,
Θυγατρὸς αἱματηρὸν ἐκπρᾶξαι φόνον.
ΜΕ. Πῶς; τίς δ' ἀναγκάσει σε τήν γε σὴν κτανεῖν;
ΑΓ. Ἅπας Ἀχαιῶν σύλλογος στρατεύματος.
ΜΕ. Οὔκ, εἴ νιν εἰς Ἄργος γ' ἀποστελεῖς πόλιν.
ΑΓ. Λάθοιμι τοῦτ' ἄν· ἀλλ ἐκεῖν' οὐ λήσομεν.
ΜΕ. Τὸ ποῖον; οὔτοι χρὴ λίαν ταρβεῖν ὄχλον.
ΑΓ. Κάλχας ἐρεῖ μαντεύματ' Ἀργείων στρατῷ.
ΜΕ. Οὔκ, ἢν θάνῃ γε πρόσθε· τοῦτο δ' εὐμαρές.

ἐνθυμούμενον οὖσαν, βαθὺς οἶκτος ἔσχε με, καὶ ταῦτ' εἰ ἐμοῦ ἕνεκα μέλλει τεθνήξεσθαι· τί γὰρ μέτεστι τῇ σῇ παιδὶ τῶν τῆς Ἑλένης ἁμαρτημάτων; χαιρέτω στρατὸς, διαλυθήτω ἀπὸ τῆς Αὐλίδος, ὅποι ἑκάστῳ εὖ προχωροίη· σὺ δέ μοι παῦσαι δακρύων, κἀμὲ κινῶν πρὸς τοῦτο· εἰ δὲ καὶ μαντικόν τι ἀναγκάζει με πρὸς ταῦτα, ἔγωγε μὲν τόγ' εἰς ἐμὲ ἀνῆκον ἀφοσιοῦμαι, οὐδ' ἂν δεξαίμην, ἀλλ' ἀφίημι τοῦτό σοι· μηδὲ θαύμαζε τὴν ἐμὴν ἀπὸ τῶν πρώτων λόγων ἐν ὀλίγῳ μεταβολήν· οὐ γὰρ ἀπεικός τι ἔνδον πέπονθα, τὸν ἐμαυτοῦ ὑπερφιλῶν ἀδελφόν· φύσις γὰρ τῶν ἀγαθῶν ἀεὶ πρὸς τὸ βέλτιστον μεταβάλλειν.

**ΧΟ.** Γενναῖά γε ταῦτα καὶ ἄξια λέγεσθαι ἀπογόνῳ Ταντάλου τοῦ ἐκ Διός· οὐκοῦν πρέποντ' ἀποδίδως τὰ τροφεῖα προγόνοις.

**ΑΓ.** Ἐπαινῶ σε Μενέλαε, ὅτι καὶ παρ' ἃ ἔγωγε φρονῶ, ἀξίως σεαυτοῦ δοκεῖς μοι συμβουλεύειν.

**ΜΕ.** Πῶς γὰρ οὔ; ὁρῶν ταραχὴν διὰ ἔρωτα καὶ πλεονεξίαν συμβαίνουσαν ἀδελφοῖς; συγγένειαν γὰρ ἔγωγ' ὑπ' ἀλλήλων πλεονεκτουμένην ἀπέπτυσα.

**ΑΓ.** Ἀλλ' ὁρῶ μεγάλην οὖσαν ἡμῖν ἀνάγκην ἱερεῦσαι τὴν παῖδα.

**ΜΕ.** Τίς ὁ ἀναγκάσων; τοῦτο βούλομ' εἰδέναι.

**ΑΓ.** Ἅπας οὗτος, οἶμαι, στρατὸς ὁ τῶν Ἑλλήνων.

**ΜΕ.** Οὐδὲν τοῦτο, οἴκαδ' ἀπελθούσης τῆς κόρης.

**ΑΓ.** Ἀλλ' εἰ θοῖμεν τοῦτο, ἕτερον ἀντιπίπτει.

**ΜΕ.** Τί φῄς; τοῦ γὰρ ὄχλου μικρὰ φροντιστέον.

**ΑΓ.** Κάλχας ἐκφανεῖ τὸ μάντευμα τοῖς Ἀργείοις.

**ΜΕ.** Τί δ' ἢν ἀποθάνῃ; οὐδὲν δὲ ῥᾶον τούτου.

ΑΓ. Τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν.
ΜΕ. Κοὐδέν γε χρηστὸν οὐδὲ χρήσιμον παρόν.
ΑΓ. Ἐκεῖνο δ' οὐ δέδοικας, ὅ,τι μ' εἰσέρχεται;
ΜΕ. Ὃν μὴ σὺ φράζεις, πῶς ὑπολάβοιμεν λόγον;
ΑΓ. Τὸ Σισύφειον σπέρμα πάντ' οἶδεν τάδε.
ΜΕ. Οὐκ ἔστ', Ὀδυσσεὺς ὅ,τι σὲ κἀμὲ πημανεῖ.
ΑΓ. Ποικίλος ἀεὶ πέφυκε τοῦ τ' ὄχλου μέτα.
ΜΕ. Φιλοτιμίᾳ μὲν ἐνέχεται, δεινῷ κακῷ.
ΑΓ. Οὐκοῦν δόκει νιν στάντ' ἐν Ἀργείοις μέσοις
Λέξειν, ἃ Κάλχας θέσφατ' ἐξηγήσατο,
Κἄμ', ὡς ὑπέστην θῦμα, κᾆτα ψεύδομαι,
Ἀρτέμιδι θύσειν· ὃς ξυναρπάσας στρατὸν,
Σὲ κἄμ' ἀποκτείναντας Ἀργείους κόρην
Σφάξαι κελεύσει· κἂν πρὸς Ἄργος ἐκφύγω,
Ἐλθόντες αὐτοῖς τείχεσιν Κυκλωπίοις
Ἀναρπάσουσι καὶ κατασκάψουσι γῆν.
Τοιαῦτα τἀμὰ πήματ', ὦ τάλας ἐγὼ,
Ὡς ἠπόρημαι πρὸς θεῶν τὰ νῦν τάδε!
Ἕν μοι φύλαξον, Μενέλεως, ἀνὰ στρατὸν
Ἐλθὼν, ὅπως ἂν μὴ Κλυταιμνήστρα τάδε
Μάθῃ, πρὶν Ἅδῃ παῖδ' ἐμὴν προσθῶ λαβὼν,
Ὡς ἐπ' ἐλαχίστοις δακρύοις πράσσω κακῶς.
Ὑμεῖς τε σιγὴν, ὦ ξέναι, φυλάσσετε.

---

510. Φιλότιμον κακὸν] ὃ, καί ται κακὸν, ἀλλ' οἱ ἄνθρωποι φιλοτιμοῦνται ἔχειν· καὶ διὰ τοῦτο φόβος ἐστιν ἀποκτείνειν. 511. Κοὐδέν γε χρηστον] οὕτως ἐξ ἑτέρας ἀντὶ τοῦ, κοὐδέν γ' ἄχρηστον. 514. Σισύφειον] ὁ ἀπὸ τοῦ Σισύφου καταγόμενος Ὀδυσσεύς. Ἴδε Μηδ. 405. 524.

ΑΓ. Ἀλλὰ φιλότιμον κακὸν τὸ τῶν μάντεων γένος.

ΜΕ. Οὐδέν γε, οὔτε χρηστὸν, οὔτε χρήσιμον ὑπάρχει.

ἈΓ. Ὅδ' ἐντεθύμημαι, οὐ δέδοικας ἐκεῖνο;

ΜΕ. Τὸ ποῖον φής; οὐ γὰρ δύναμαι προμαντεύειν.

ΑΓ Ο ἐκ Σισύφου σύνοιδε ταῦτα πάντα.

ΜΕ. Οὐκ ἂν Ὀδυσσεὺς κακῶς ἡμᾶς ποιήσειεν.

ΑΓ. Ποικίλος τὴν φύσιν ὡνὴρ πέφυκεν ἐν τῷ ὄχλῳ.

ΜΕ. Φιλοτιμίᾳ γὰρ κακῷ τετύφωται μεγίστῳ.

ΑΓ. Οὐκοῦν νόμιζε, παρελθόντ' αὐτὸν ἐν μέσοις τοῖς Ἀργείοις, ἐρεῖν, ἃ μεμάντευται Κάλχαντι, καὶ ὡς ἐγὼ ὑποσχόμενος θύσειν τὴν παρθένον Ἀρτέμιδι, νῦν ἀπόφημι· εἶθ' οὕτω λαβόντα τὸν στρατὸν ἅπαντα, κελεύσειν, ἡμᾶς ἀποκτείναντας ἀμφοτέρους, καλλιερῆσαι τῇ θεῷ καὶ τὴν παῖδα· εἰ δέγ' ἐκφύγοιμεν εἰς τὸ Ἄργος, ἐπιόντες σὺν ὅπλοις, ὑμᾶς τε συναρπάσουσι, καὶ τὴν χώραν αὐτοῖς τοῖς τείχεσι κατασκάψουσι πᾶσαν· τοιούτοις δεινοῖς ἔγωγέ σοι τυγχάνω περιπεπτωκώς· ὦ τάλας ἐγὼ, πανταχόθεν μοι ἄπορα τὰ παρὰ τῶν θεῶν καὶ ἀμήχανα· σὺ δ', ὦ ἀδελφὲ, ἓν ἐκεῖνό μοι φύλαξαι, γενόμενος κατὰ τὸν στρατὸν, μὴ μάθῃ τὰ πραττόμενα Κλυταιμνήστρα, πρὶν ἢ πέμψαιμε τὴν παῖδα εἰς Ἄδου· ἵν' οὕτως ἐλάττοσι κατατήκομαι δάκρυσιν· ὑμεῖς τ', ὦ ξέναι, σιγὴν ἄγετε ἐπὶ τούτοις.

---

Κυκλωπείοις] τοῖς ὑπὸ τῶν Κυκλώπων ἐπὶ Περσέως ᾠκοδημημένοις· ἴδε κα-

ΔΗΜ ... ΚΗ ... ΕΙΟΣ ΔΗΜΟ...

ΧΟ Μάκαρες, οἳ μετρίας θεοῦ (Στρ.)
Μετά τε σωφροσύνας μετέ-
Σχον λέκτρων Ἀφροδίτας,
Γαλανείᾳ χρησάμενοι
Μαινομένων οἴστρων. ὅθι δὴ
Δίδυμ' Ἔρως ὁ χρυσοκόμας
Τόξ' ἐντείνεται χαρίτων,
Τὸ μὲν ἐπ' εὐαίωνι πότμῳ,
Τὸ δ' ἐπὶ συγχύσει βιοτᾶς.
Ἀπενέπω νιν ἁμετέρων,
Κύπρι καλλίστα, θαλάμων.
Εἴη δέ μοι μετρία
Μὲν χάρις, πόθοι δ' ὅσιοι,
Καὶ μετέχοιμι τᾶς Ἀφροδί-
Τας, πολλὰν δ' ἀποθείμαν.
Διάφοροι δὲ φύσεις βροτῶν, (Ἀντ.)
Διάτροποι δὲ τρόποι· ὁ δ' ὀρ-
Θὸς ἐσθλὸν σαφὲς αἰεί.
Τροφαί θ' αἱ παιδευόμεναι
Μέγα φέρουσιν εἰς ἀρετάν.
Τό, τε γὰρ αἰδεῖσθαι σοφία,
Τάν τ' ἐξαλλάσουσαν ἔχει
Χάριν ὑπὸ γνώμας ἐσορᾶν
Τὸ δέον, ἔνθα δόξα φέρει
Κλέος ἀγήρατον βιοτᾷ.
Μέγα τι θηρεύειν ἀρετὰν,

ΧΟ. Ζηλῶ τοὺς σὺν σωφροσύνῃ μετρίας μετασχόντας τῆς Ἀφροδίτης, ὡς γαληναίων τυχόντας τῶν μαινομένων οἴςρων· ἐντεῦθεν γὰρ ὁ χρυσοκόμας ἔρως διττὰ τῶν χαρίτων λέγεται ἐντείνειν τόξα· τὸ μὲν, πρὸς εὐδαιμονίαν· τὸ δὲ, τοὐναντίον, ἐφ᾽ ᾧ ταράξαι βίον. Ἀλλ᾽ ὦ Κύπρι καλλίστη, ἀποπέμπομαι τῶν ἡμετέρων θαλάμων, ἀποτρέπομαι ὅλως ἐκεῖνον· εἴη δέ μοι παρὰ σοῦ μετρία μὲν ἡ χάρις, ὁ δὲ ἵμερος ὅσιος· τὸ δὲ ὑπερβάλλον καὶ μανιῶδες ἀποδιοπομποῦμαι.

Διαφόρων δὲ ὄντων τῶν ἀνθρώπων ταῖς φύσεσι, διάφορ᾽ ἀποβαίνουσιν αὐτοῖς καὶ τὰ ἤθη· τὸ δὲ ὀρθὸν ἄρ᾽ ἁπλοῦν ἐστι καὶ ἐσθλόν· πολὺ δὴ συμβάλλει πρὸς κτῆσιν ἀρετῆς καὶ ἀγωγὴ ἐλευθέρα· ἥτε γὰρ αἰδὼς ἐκ τῆς παιδείας τοῖς ἀνθρώποις ἐγγίγνεται, καὶ τὸ ἀπὸ γνώμης ὀρθῆς τὰ δέοντα δι᾽ αὐτῆς συνορᾷν χάριν ὑπερβάλλουσαν ἔχει· ἔνθ᾽ ὁ βίος δόξαν καὶ ἀθάνατον κλέος

---

τωτέρω. στίχ. 1510. 533. Μάκαρες] παράβαλε ταῦτα, ὦ νέε, τοῖς ἐν Ἱππολύτῳ. στίχ. 523. καὶ ἑξῆς· καὶ λάβε σεαυτῷ ἰάματα τῶν μαινομένων ἐρώτων. 537. Μαινομένων οἴστρων] ἐν ἄλλοις δὲ, μαινόμεν᾽ οἴστρων, κεῖται οὐ καλῶς. ἀποδοτέα δὲ ἡ γενικὴ εἰς τὸ Γαληνεία κτητικῶς· ὅ ἐστιν, γαλήνῃ. 549. Τρόποι] οὕτως ἔγραψα μᾶλλον ἀντὶ τοῦ Τρόποις. 553. Σοφία] οὕτως ἄμεινον εἰς εὐθεῖαν ἀντὶ τοῦ Σοφίᾳ ἐν ἄλλοις, ἔνθα καὶ τὰ ἑπόμενα συντετάρακται ὅλως, ἄλλως στιζόμενα· ἡ δὲ συνθήκη τῶν ὀνομάτων οὕτως· ἡ γὰρ σοφία ἔχει (παρέχοι τοῖς ἀνθρώποις) τήντ᾽ αἰδῶ, καὶ τὴν ἐξαλλάσσουσαν χάριν τοῦ ἀπὸ γνώμης εἰσορᾷν τὸ δέον, ἔνθα καὶ τ.λ. 556. Δόξα . . . βιωτᾷ] οὕτως ἐξ ἑτέρας ἔγραψα, ἀντὶ τοῦ δόξαν . . . βιωτάν· εἴη δ᾽ ἂν ἄμεινον ἴσως γράφειν ὡδί· ἔνθα δόξαν φέρει κλέος ἀγήρατον βιωτά· ἵνα ᾖ τὸ κλέος ἐπεξήγησις τοῦ

Γυναιξὶν μὲν κατὰ Κύ-
Πριν κρυπτὰν, ἐν ἀνδράσι δ' αὖ
Κόσμος ἔνδον ὁ μυριοπλη-
Θὴς μείζω πόλιν αὔξει.
Ἔμολες, ὦ Πάρις, ᾗ τε σύ γε (Ἐπῳδ.)
Βουκόλος ἀργενναῖς ἐτράφης
Ἰδαίαις παρὰ μόσχοις,
Βάρβαρα συρίζων, φρυγίων
Αὐλῶν Οὐλύμπου καλάμοις
Μιμήματα πνέων.
Εὔθηλοι δὲ τρέφοντο βόες,
Ὅτε σε κρίσις ἔμενε θεᾶν,
Ἅ σ' Ἑλλάδα πέμπει
Ἐλεφαντοδέτων πάροιθεν
Δόμων, ὃς τᾶς Ἑλένας
Ἐν ἀντωποῖς βλεφάροισιν ἔρωτα δέδωκας,
Ἔρωτι δ' αὐτὸς ἐπτοάθης.
Ὅθεν ἔρις ἔρις
Ἑλλάδα σὺν δορὶ ναυσί τ' ἄγει
Ἐς Τροίας πέργαμα.
Ἰὼ ἰώ!
Μεγάλαι μεγάλων εὐδαιμονίαι. (Στρ. β'.)

---

δόξαν. 560. Κατὰ Κύπριν κρυπτὰν] σκοτεινὸν τὸ χωρίον· ἔστι δ' οὖν ἰδεῖν τι φῶς ἀμυδρὸν, διαλευκανθέντος ὡδί. Μέγα τι ἀρετὴν διώκειν, γυναιξὶ μὲν ἐν τῷ οἴκῳ σωφροσύνην ἀσκούσαις ἐν τῷ κρυπτῷ (γυναιξὶ γὰρ τῆς ὑπαρχούσης φύσεως, κατὰ Θουκυδίδην (B. μέ.), μὴ χείροσι γενέσθαι μεγάλη δόξα, καὶ ἧς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς πέρι ἢ ψόγου ἐν ἄρσεσι κλέος ᾖ)· ἀνδράσι δὲ, δι' εὐκοσμίας καὶ εὐταξίας καὶ τῶν οἰκείων ἀρετῶν μεγάλην ἐκ μικρᾶς τὴν πόλιν

ἔχει. Μέγα τοίνυν ἐστὶ ζητεῖν ἀρετὴν, γυναιξὶ μὲν ἐν σώφρονι οἴκοι καὶ κρυπτῇ Ἀφροδίτῃ· ἐν ἀνδράσι δ' ὅσον ὁ ἐσμὸς τῶν ἀρετῶν ἐστι μείζων, τοσοῦτον αὔξει τὴν πόλιν.

Ἦλθες, ὦ Πάρις, ἔνθ' ἀνετράφης βουκόλος ἐν χιονοβόλῳ τῇ Ἴδῃ παρὰ μόσχοις, βάρβαρα μέλη διὰ Φρυγίων συρίζων αὐλῶν, τὰ τοῦ Ὀλύμπου αὐλήματα μιμούμενος τοῖς καλάμοις· αἱ δὲ βόες ἐνέμοντο εὔθηλοι, ὁπόθ' ἡ τῶν θεῶν κρίσις ἤμελλε γενήσεσθαι παρὰ σοί, ἐξ ἧς ἐλθὼν εἰς τὴν Ἑλλάδα παρὰ δώματα ἐλέφαντι καταλάμποντα, ἐκ πρώτης ὄψεως τῆς Ἑλένης τοσούτῳ ἔρωτι ἑάλως ἐκείνης, ὅσον καὶ μετέδωκας αὐτῇ· ἐντεῦθεν ἄρα μεγίστη αὕτη κίνησις τοῖς Ἕλλησι γίγνεται ἐπὶ Τροίαν.

Ἰὼ, ἰὼ, μεγάλαι τῶν μεγάλων εὐδαιμονίαι· ἴδετ' ὦ φίλαι, Ἰφιγένειαν τὴν θυγατέρα τοῦ βασιλέως, ἐμὴν,

---

ποιεῖν· ἀλλ' οὐ πάνυ πείθει με ταῦτα· διὸ ἐγκρίνω μᾶλλον τήν τινος ἐκείνην διόρθωσιν.

» . . . . . . . . . Ἐν ἀνδράσι δ' αὖ
» Κόσμος ἔρδειν, ὃ μυριοπληθῆ
» Μείζω πόλιν αὔξει.

567. Ὀλύμπου] Ὄλυμπος καὶ Μαρσίας Φρύγες ἦσαν περιβόητοι μουσικοί· ὁ δὲ νοῦς, πνέων (οὐ πλέκων ὡς ἐν ἄλλοις.) μιμήματα (φωνὰς, μέλη) κατὰ μίμησιν τοῦ Ὀλύμπου (ἐν) καλάμοις (ἐξ ὧν συντίθεται ἡ σύριγξ, ἢ ὁ αὐλὸς) 584. Ἐλεφαντοδέτων] κεκοσμημένων ἐλέφαντι· ὡς καὶ Ὅμηρος τὰ αὐτὰ δώματα περιέγραψε (Ὀδύσ. Δ. 72.)

» . . . . . . . . Δώματα ἠχήεντα
» Χρυσοῦ τ', ἠλέκτρου τε καὶ ἀργύρου, ἠδ' ἐλέφαντος.

579. Ἰὼ, ἰώ.] χαρᾶς τοῦτ' ἐστὶν ἐπιφώνημα· ἐνταῦθα γὰρ εἰσέρχονται οἱ περὶ

Τὴν τοῦ βασιλέως
Ἴθετ' Ἰφιγένειαν, ἄνασσαν ἐμὴν,
Τὴν Τυνδαρέου τε Κλυταιμνήστραν.
Ὡς ἐκ μεγάλων ἐβλαστήκασ'
Ἐπί τ' εὐμήκεις ἥκουσι τύχας.
Θεοί γ' οἱ κρείσσους οἵ τ' ὀλβοφόροι
Τοῖς οὐκ εὐδαίμοσι [τῶν] θνατῶν.
Στῶμεν, Χαλκίδος ἔκγονα θρέμματα, (Ἀντ. β'.)
Τὴν βασίλειαν
Δεξώμεθ' ὄχων ἄπο, μὴ σφαλερῶς [ἐπὶ τὴν γαῖαν]
Ἀγανῶς δὲ χεροῖν, μαλακῇ γνώμῃ,
Μὴ ταρβήσῃ μοι νεωστὶ μολὸν
Τὸ κλεινὸν τέκνον Ἀγαμεμνόνιον·
Μὴ δὴ θόρυβον μηδ' ἔκπληξιν
[Ταῖς Ἀργείαις]
Ξεῖναι ξείναις παρέχωμεν.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΙΦΙΓΕΝΕΙΑ, ΑΓΑΜΕΜΝΩΝ.

ΚΛ. Ὄρνιθα μὲν τόνδ' αἴσιον ποιούμεθα,
Τὸ σόν τε χρηστὸν καὶ λόγων εὐφημίαν·
Ἐλπίδα δ' ἔχω τίν', ὡς ἐπ', ἐσθλοῖσιν γάμοις
Πάρειμι νυμφαγωγός· ἀλλ' ὀχημάτων
Ἔξω πορεύεθ' ἃς φέρω φερνὰς κόρῃ,
Καὶ πέμπετ' ἐς μέλαθρον εὐλαβούμεναι.

δ' ἄνασσαν, καὶ Κλυταιμνήστραν τὴν Τυνδαρίδα, λαμπρῶν μὲν γονέων βλαστήματα, εἰς λαμπροτέρας δ' εὐτυχίας ἥκουσας· θεοῖς γε ἄρα εἰσὶν οἱ ἡγεμόνες τοῖς ἥττοσι καὶ μὴ εὐδαίμοσι τῶν ἀνθρώπων.

Στῶμεν, ὦ Χαλκίδος βλαστήματα, δεῦθ' ὑποδεξώμεθα ἀπὸ τοῦ ὀχήματος τὴν βασίλισσαν, μὴ σφαλείη τὸν πόδα τιθεῖσα κάτω, περιχαρῶς μὲν ἀναλαμβάνουσαι αὐτὴν ταῖς χερσὶ, προσηνεῖ δὲ προσφθέγματι προσφθεγγόμεναι τὸ κλεινὸν Ἀγαμέμνονος βλάστημα, μὴ θορυβηθῇ νῦν πρῶτον ἡμᾶς ἰδοῦσα· μηδένα οὖν θόρυβον, μήδ' ἔκπληξιν ὡς ξέναι ξέναις παράσχωμεν αὐταῖς.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΙΦΙΓΕΝΕΙΑ, ΑΓΑΜΕΜΝΩΝ.

ΚΛ. Τὸ χρηστὸν καὶ εὔφημον τῶν σῶν λόγων οἰωνὸν ἄριστον ἐμαυτῇ τιθεμένη, πέποιθα εὐδαιμόνων γάμων παραγεγενῆσθαι νυμφαγωγός· ἀλλ' ὑμεῖς γε ἀναλαβόντες, ἣν φέρω φερνὴν τῇ ἐμαυτοῦ θυγατρὶ, ἀπὸ τῆς ἀπήνης, εἰσκομίσατε ἔνδον ἠρέμα· Σὺ δ', ὦ τέκνον, ἔξελθε τοῦ

τὴν Κλυταιμνήστραν. 597. Ὄρνιθα] οἰωνὸν καλεῖ τὴν εὐφημίαν τοῦ Χοροῦ. 601. Πορεύετε] ἐκκομίσατε· ταῦτα δὲ καὶ τὰ ἑξῆς πρὸς τὰς ἑαυτῆς θεραπαίνας ἀποτείνεται.

Σὺ δ', ὦ τέκνον, μοι λεῖπε πωλικοὺς ὄχους,
Ἁβρὸν τιθεῖσα κῶλον, ἀσθενές θ' ἅμα.
Ὑμεῖς δὲ, νεάνιδες, νιν ἀγκάλαις ἔπι
Δέξασθε καὶ πορεύσατ' ἐξ ὀχημάτων.
Καί μοι χερός τις ἐνδότω στηρίγματα,
Θάκους ἀπήνης ὡς ἂν ἐκλίπω καλῶς.
Αἱ δ' ἐς τὸ πρόσθεν στῆτε πωλικῶν ζυγῶν,
(Φοβερὸν γὰρ ἀπαράμυθον ὄμμα πωλικόν.)
Καὶ παῖδα τόνδε, τὸν Ἀγαμέμνονος γόνον,
Λάζυσθ' Ὀρέστην· ἔτι γάρ ἐστι νήπιος.
Τέκνον, καθεύδεις πωλικῷ δαμεὶς ὄχῳ;
Ἔγειρ' ἀδελφῆς ἐφ' ὑμέναιον εὐτυχῶς·
Ἀνδρὸς γὰρ ἀγαθοῦ κῆδος αὐτὸς ἐσθλὸς ὢν
Λήψῃ, τὸ τῆς Νηρῇδος ἰσόθεον γένος.
Ἑξῆς κάθησο δεῦρό μου ποδὸς, τέκνον,
Πρὸς μητέρ', Ἰφιγένεια, μακαρίαν δέ με
Ξέναισι ταῖσδε πλησία σταθεῖσα δὸς,
Καὶ δεῦρο δὴ πατέρα πρόσειπε σὸν φίλον.
ΙΦ. Ὦ μῆτερ, ὑποδραμοῦσά γ', (ὀργισθῇς δὲ μὴ,)
Πρὸς στέρνα πατρὸς στέρνα τἀμὰ περιβαλῶ;
ΚΛ. Ὦ σέβας ἐμοὶ μέγιστον, Ἀγαμέμνων ἄναξ,
Ἥκομεν, ἐφετμαῖς οὐκ ἀπιστοῦσαι σέθεν.
ΙΦ. Ἐγὼ δὲ βούλομαι τὰ σὰ στέρν', ὦ πάτερ,
Ὑποδραμοῦσα προσβαλεῖν διὰ χρόνου.
Ποθῶ γὰρ ὄμμα δὴ σόν· ὀργισθῇς δὲ μή.
ΑΓ, Ἀλλ', ὦ τέκνον, χρῶ· φιλοπάτωρ δ' ἀεί ποτ' εἶ
Μάλιστα παίδων τῶνδ', ὅσους ἐγὼ 'τεκον.
ΙΦ. Ὦ πάτερ, ἐσεῖδόν σ' ἀσμένη πολλῷ χρόνῳ.
ΑΓ. Καὶ γὰρ πατήρ σε· τόδ' ἴσον ὑπὲρ ἀμφοῖν λέγεις.

ὀχήματος, τὸν σεαυτῆς ἁβρὸν καὶ ἀσθενῆ πόδα τῆς ἁμάξης ὑποκαθυφεῖσα, ὑμεῖς δ' ἀγκάλαις ὑπτίαις ὑποδεξάμεναι, ἐξαγάγετε· ὀρεγέτω δέ τις κἀμοὶ χειρὸς ὑποστήριγμα, ὡς μὴ σφαλείην πη ἐν τῷ καταβαίνειν· αἱ δὲ στῆτε αὖ πρὸ τῶν ζυγῶν, μήτι ἄρα ἀφηνιάσαντες οἱ ἵπποι, ἐκσκιρτήσωσι· φοβερὸν γὰρ καὶ ὅλως ἀκατάσχετον τὸ τούτων ὄμμα ἅπαξ ἐξαγριωθέν· λάβετε δὲ καὶ τὸ βρέφος τόδε, τὸν Ἀγαμέμνονος παῖδα, νήπιον ἔτι ὄντα· τέκνον Ὀρέστα, φάος γλυκερὸν τῇ μητρὶ, καθεύδεις, παραλυθεὶς τῇ ὁδοιπορίᾳ; ἐγείρου εὐτυχῶς πρὸς τὸν γάμον τῆς σαυτοῦ ἀδελφῆς· κηδεστὴν γὰρ ἕξεις ἄνδρ' ἄριστον τὸν τῆς Θέτιδος παῖδα, ἀγαθὸς κἀυτὸς ὤν· δεῦρο δὲ καὶ σὺ, τέκνον Ἰφιγένεια, παρακάθησό μοι, καὶ μακαρίαν με ταῖς ξέναις ταυταισὶν ἐπιδείκνυε· προσφθέγγου δὲ τα εἰκότα καὶ τὸν σαυτῆς φίλον πατέρα.

ΙΦ. Μῆτερ, ἐπίτρεψόν μοι, ὑποδραμοῦσαν στέρνα πρὸς στέρνοις τὰ ἐμαυτῆς τοῖς τοῦ πατρὸς συμβαλεῖν.

ΚΛ. Ὦ μέγιστον ἔμοιγε σέβας Ἀγάμεμνον ἄναξ, πάρεσμεν, ἄσμεναι παρασχοῦσαι ἑαυτὰς εὐπειθεῖς σοι κελεύσαντι.

ΙΦ. Ἐγὼ δ', ὦ πάτερ, βούλομαι προσελθοῦσα προσπτύξασθαί σε, μὴ ὀργισθῇς δέ μοι, ὡς διὰ χρόνου ἰδούσῃ· πόθος γὰρ σὸς αἱρεῖ με σφοδρός.

ΑΓ. Πρᾶττ', ὦ τέκνον, εἰς ἐμὲ ὅ,τι βούλει· οἶδα γάρ σε εἰδὼς τῶν ἐμαυτοῦ παίδων μᾶλλον φιλοπάτορα οὖσαν.

ΙΦ. Ἥδισθ', ὦ πάτερ, ἑώρακά σε ὡς διὰ χρόνου.

ΑΓ. Ταὐτὸ δὲ καὶ πρὸς ἐμοῦ εἰκότως εἰρήσεταί σοι.

ΙΦ· Χαῖρ'· εὖ δέ μ' ἀγαγὼν πρὸς 'σ' ἐποίησας, πάτερ.
ΑΓ. Οὐκ οἶδ', ὅπως φῶ τοῦτο, καὶ μὴ φῶ, τέκνον.
ΙΦ. Ἔα! ὡς οὐ βλέπεις εὔκηλον, ἄσμενός μ' ἰδών.
ΑΓ. Πόλλ' ἀνδρὶ βασιλεῖ καὶ στρατηλάτῃ μέλει.
ΙΦ. Παρ' ἐμοὶ γενοῦ νῦν, [καὶ] μὴ 'πὶ φροντίδας τρέπου.
ΑΓ. Ἀλλ' εἰμὶ παρὰ σοὶ νῦν ἅπας, κοὐκ ἄλλοθι.
ΙΦ. Μέθες νυν ὀφρὺν, ὄμμα τ' ἔκτεινον φίλον.
ΑΓ. Ἰδοὺ γέγηθά σ', ὡς γέγηθ', ὁρῶν, τέκνον.
ΙΦ. Κἄπειτα λείβεις δάκρυ' ἀπ' ὀμμάτων σέθεν;
ΑΓ. Μακρὰ γὰρ ἡμῖν ἡ 'πιοῦσ' ἀπουσία.
ΙΦ. Οὐκ οἶδ', ὃ φῄς, οὐκ οἶδα φίλτατ' ἐμοὶ πάτερ.
ΑΓ. Συνετὰ λέγουσα, μᾶλλον εἰς οἶκτόν μ' ἄγεις.
ΙΦ. Ἀσύνετα νῦν ἐροῦμεν, ὡς σὲ γ' εὐφρανῶ.
ΑΓ. Παπαί! τὸ σιγᾷν οὐ σθένω, σὲ δ' ᾔνεσα.
ΙΦ. Μέν', ὦ πάτερ, κατ' οἶκον ἐπὶ τέκνοις σέθεν.
ΑΓ. Θέλω γε· τὸ θέλειν δ' οὐκ ἔχων, ἀλγύνομαι.
ΙΦ. Ὄλοιντο λόγχαι καὶ τὰ Μενέλεω κακά!
ΑΓ. Ἄλλους ὀλεῖ πρόσθ', ἃ μὲ διολέσαντ' ἔχει.
ΙΦ. Ὡς πολὺν ἀπῆσθα χρόνον ἐν Αὐλίδος μυχοῖς!
ΑΓ. Καὶ νῦν γ' ἔμ' ἴσχει δή τι μὴ στέλλειν στρατόν.
ΙΦ. Ποῦ τοὺς Φρύγας λέγουσιν ᾠκῆσθαι, πάτερ;
ΑΓ. Οὗ μή ποτ' οἰκεῖν ὤφελ' ὁ Πριάμου Πάρις.
ΙΦ. Μακράν γ' ἀπαίρεις, ὦ πάτερ, λιπὼν ἐμέ;
ΑΓ. Ἐς ταὐτὸν, ὦ θύγατερ, ἔθ' ἥκεις σῷ πατρί.
ΙΦ. Φεῦ, εἴθ' ἦν καλόν μοι, σοί τ' ἄγειν σύμπλουν ἐμέ.
ΑΓ. Αἰτεῖς τί; καὶ σοὶ πλοῦς, ἵνα μνήσῃ πατρός.
ΙΦ Σὺν μητρὶ πλεύσασ', ἢ μόνη πορεύσομαι;

ΙΦ. Χαῖρε, ὦ πάτερ· εὖ δ' ἐποίησας, μεταπεμψάμενός με πρὸς σεαυτόν.

ΑΓ. Περὶ δὲ τούτου, τέκνον, οὐκ οἶδ' ὅ,τι ποτ' εἴπω.

ΙΦ. Ἔα· τί τοῦθ' ὁρῶ; οὐχ ἡδέως βλέπεις με, πάτερ, ἰδὼν ἀσμένως.

ΑΓ. Πολλῶν μέλει ἀνδρὶ στρατηγῷ, πολλῶν ἔχοντι πρόνοιαν.

ΙΦ. Ἀλλ' ἀφεὶς τἄλλα νῦν, πρὸς ἐμοὶ γενοῦ, πάτερ.

ΑΓ. Καὶ μὴν παρὰ σοὶ εἰμὶ ὅλως, καὶ περὶ σὲ σπουδάζω.

ΙΦ. Χάλα τοίνυν μικρὸν τὴν ὀφρὺν ἀνατείνας, τὸ ὄμμα πρὸς τὸ ἱλαρώτερον διαχέας.

ΑΓ. Ἰδού σοι χαίρω, ὦ τέκνον, ὡς δεῖ με χαίρειν βλέποντά σε.

ΙΦ. Τί οὖν βούλεται τὸ δάκρυ ὑπολειβόμενόν σοι οὕτω;

ΑΓ. Πολλὴ γὰρ ἔσται ἡμῖν ἡ ἀπ' ἀλλήλων ἀποδημία.

ΙΦ. Οὐκ οἶδ', οὐκ οἶδ' ὅ,τι φὴς, φίλτατε πάτερ.

ΑΓ. Τὸ ἐν σοὶ φρονοῦν μεῖζον μοι τὸν οἶκτον ποιεῖ.

ΙΦ. Οὐκοῦν ἀσύνετά μοι ῥητέον πρὸς σὴν εὐφροσύνην.

ΑΓ. Φεῦ, οὐκέτ' ἔχω σιγᾷν· σὲ δ' ἐπαινῶ, τέκνον.

ΙΦ. Μένε, ὦ πάτερ, οἴκοι παρὰ τοῖς σεαυτοῦ τέκνοις.

ΑΓ. Θέλω μὲν τοῦτο· ἀλλ' ἀλγῶ, τὸ θέλειν μὴ ἔχων ὅλως.

ΙΦ. Ἐῤῥέτω ὅπλα, καὶ συμφοραὶ Μενελάου.

ΑΓ. Ἄλλοι προαπολοῦνται, ἐφ' οἷς ἐγὼ ἤδη τήκομαι.

ΙΦ. Ὡς πολὺν χρόνον ἀποδημεῖς ἐν Αὐλίδι.

ΑΓ. Κωλύει γάρ τι, ὥστε μὴ ἐκστρατεύειν ἔτι.

ΙΦ. Καὶ ποῦ κεῖνται γῆς οἱ κακῶς ἀπολούμενοι Φρύγες;

ΑΓ. Ἔνθα Πάρις ὤφειλε τὴν ἀρχὴν μὴ γενέσθαι.

ΙΦ. Ὡς πόῤῥω, πάτερ, ἐμοῦ μέλλεις ἐκπλευσεῖσθαι.

ΑΓ. Ὅσον καὶ σύγε τοῦ σοῦ πατρὸς, ὦ τέκνον.

ΙΦ. Εἴθ' ἦν εὐπρεπές μοι σύμπλουν σοί με γενέσθαι.

ΑΓ. Τοῦτ' αἰτεῖς; αὐτίκα πλευσῇ, ἔνθα πατρὸς μεμνήσῃ.

ΙΦ. Σὺν τῇ μητρὶ, ἢ μόνη πλευσοῦμαι, πάτερ;

ΑΓ. Μόνη, μονωθεῖσ' ἀπὸ πατρὸς καὶ μητέρος.
ΙΦ. Ἤ πού μ' ἐς ἄλλα δώματ' οἰκίζεις, πάτερ;
ΑΓ. Ἔα γε ταῦτ᾽· οὐ χρὴ τάδ' εἰδέναι κόρας.
ΙΦ. Σπεῦδ' ἐκ Φρυγῶν μοι, θέμενος εὖ τἀκεῖ, πάτερ.
ΑΓ. Θῦσαί με θυσίαν πρῶτα δεῖ τίν' ἐνθάδε.
ΙΦ. Ἀλλὰ ξὺν ἱεροῖς χρὴ τό γ' εὐσεβὲς σκοπεῖν.
ΑΓ. Εἴσῃ σύ· χερνίβων γὰρ ἑστήξῃ πέλας.
ΙΦ. Στήσομεν ἄρ' ἀμφὶ βωμὸν, ὦ πάτερ, χορούς;
ΑΓ. Ζηλῶ σὲ μᾶλλον, ἢ 'μὲ, τοῦ μηδὲν φρονεῖν.
Χώρει δὲ μελάθρων ἐντὸς, ὀφθῆναι κόραις,
Πικρὸν φίλημα δοῦσα δεξιάν τέ μοι,
Μέλλουσα δαρὸν πατρὸς ἀποικήσειν χρόνον.
Ὦ στέρνα καὶ παρῆδες, ὦ ξανθαὶ κόμαι,
Ὡς ἄχθος ἡμῖν ἐγένεθ' ἡ Φρυγῶν πόλις
Ἑλένη τε! παύω τοὺς λόγους· ταχεῖα γὰρ
Νοτὶς διώκει μ' ὀμμάτων, ψαύσαντά σου.
Ἴθ' ἐς μέλαθρα· σὲ δὲ παραιτοῦμαι τάδε,
Λήδας γένεθλον, εἰ κατῳκτίσθην ἄγαν,
Μέλλων Ἀχιλλεῖ θυγατέρ' ἐκδώσειν ἐμήν.
Ἀποστολαὶ γὰρ μακάριαι μὲν, ἀλλ' ὅμως
Δάκνουσι τοὺς τεκόντας, ὅταν ἄλλοις δόμοις
Παῖδας παραδιδῷ, πολλὰ μοχθήσας πατήρ.
ΚΛ. Οὐχ ὧδ' ἀσύνετός εἰμι, πείσεσθαι δ' ἐμὲ
Καὐτὴν δόκει τάδ', ὥστε μή σε νουθετεῖν,
Ὅταν ξὺν ὑμεναίοισιν ἐξάγω κόρην·

---

674. Μόνη] ὁ μὲν πατὴρ ἐννοεῖ τὸν ᾅδην· ἡ δὲ, τὸν γάμον. 662. Σπεῦδε ἐκ Φρυγῶν] ἐπανελθεῖν πάλιν. 964. Τὸ εὐσεβὲς] αἰτεῖ καλῶς,

ΑΓ. Μόνη, μονωθεῖσα τῶν σῶν φίλων γονέων.

ΙΦ. Ἔγνων· εἰς οἰκίαν ἄλλην βούλῃ μὲ ἀποικίσαι.

ΑΓ. Ἔα τοῦτο· οὐ γὰρ καλὸν εἰδέναι τὰς παρθένους.

ΙΦ. Νικήσας, ὦ πάτερ, ἐκ Φρυγῶν σπεῦδε πάλιν.

ΑΓ. Θυσίαν δεῖ με πρῶτον προσφέρειν ὧδε.

ΙΦ. Σὺ δ' ἐν τῷ θύειν τὸ εὐσεβὲς πρῶτον σκόπει.[a]

ΑΓ. Γνώσῃ τοῦτο, παρισταμένη τοῖς χερνίβοις.

ΙΦ. Περὶ δὲ τὸν βωμὸν χορεύσομεν, ὦ πάτερ;

ΑΓ. Ζηλῶ σε τῆς ἀφροσύνης μᾶλλον, ἢ ἐμαυτὸν τῆς φρανήσεως· νῦν δ' οὖν δοῦσά μοι τὴν σὴν δεξιὰν καὶ φίλημα πικρὸν, ὡς μέλλουσα διὰ πολλοῦ τοῦ σοῦ ἀποδημήσειν πατρὸς, εἴσιθι ἔνδον εἰς τὰς παρθένους· Ὦ στέρνα, καὶ παρειαι, καὶ κόμαι ξανθαὶ, ὡς πολὺν πόνον Ἑλένη τε καὶ Τροία ἐπήνεγκεν ἡμῖν ἡ κατάρατος· ἀλλ' ἅλις λόγων; οὐκέτι γὰρ, ἅμα σου ἀψαμένῳ, ἐπιτρέπει μοι τα δάκρυα λέγειν· εἴσιθι τὴν οἰκίαν. Σὺ δ', ὦ γύναι, σύγγνωθί μοι τούτων ἕνεκα· μέλλων γὰρ συναρμόσειν τὴν παῖδ' Ἀχιλλεῖ, εἰς οἶκτον ἦλθον μέγαν· καί τοι γὰρ τὰ τοιαῦτα φιλεῖ μακαρίζεσθαι, ἀλλ' ἡ ἀπουσία τῶν τέκνων παρ' ἄλλοις δάκνει τοὺς τεκόντας, ἐκ πολλῶν πόνων ἀφισταμένους ἐκείνων.

ΚΛ. Οὐ χρή σε ταῦτά με νουθετεῖν· οὐδ' οὕτως ἀσύνετος ἔγωγ' εἰμί· αὐτὰ γὰρ ταῦτ' ἴσθι πεισομένην κἀμὲ ἐν τῷ ὑμεναίῳ, ἡνίκα μέλλω ἐκδώσειν τὴν παῖδα γάμῳ·

---

[a] οὐκ οἶδεν αἰτοῦσα· διδάσκει γὰρ τὸν πατέρα εὐσεβεῖν, μὴ εἰδυῖα μέλλοντα εἰς αὐτὴν ἀνόσια δράσειν· εὖ μὲν οὖν παρίστησι τούτοις ὁ ποιητὴς τὸ ἀθῶον

Ἀλλ' ὁ νόμος. αὐτὰ τῷ χρόνῳ συνισχανεῖ.
Τοὔνομα μὲν οὖν παῖδ' οἶδ' ὅτῳ κατήνεσας,
Γένους δὲ ποίου χὠπόθεν, μαθεῖν θέλω.
ΑΓ. Αἴγινα θυγάτηρ ἐγένετ' Ἀσωποῦ πατρός.
ΚΛ. Ταύτην δὲ θνητῶν, ἢ θεῶν, ἔζευξέ τις;
ΑΓ. Ζεύς· Αἰακὸν δ' ἔφυσεν, Οἰνώνης πρόμον.
ΚΛ. Τοῦ δ' Αἰακοῦ παῖς τίς κατέσχε δώματα;
ΑΓ. Πηλεύς· ὁ Πηλεὺς δ' ἔσχε Νηρέως κόρην.
ΚΛ. Θεοῦ διδόντος, ἢ βίᾳ θεῶν λαβών;
ΑΓ. Ζεὺς ἠγγύησε, καὶ δίδωσ' ὁ κύριος.
ΚΟ. Γαμεῖ δὲ ποῦ νιν; ἢ κατ' οἶδμα πόντιον;
ΑΓ. Χείρων ἵν' οἰκεῖ σεμνὰ Πηλίου βάθρα.
ΚΛ. Οὗ φασὶ Κενταύρειον οἰκεῖσθαι γένος;
ΑΓ. Ἐνταῦθ' ἔδαισαν Πηλέως γάμους θεοί.
ΚΛ. Θέτις δ' ἔθρεψεν, ἢ πατήρ, Ἀχιλλέα;
ΑΓ. Χείρων, ἵν' ἤθη μὴ μάθοι κακῶν βροτῶν.
ΚΛ. (Φεῦ) σοφός γ' ὁ θρέψας χὡ διδοὺς σοφώτερος.
ΑΓ. Τοιόσδε παιδὸς σῆς ἀνὴρ ἔσται πόσις.
ΚΛ. Οὐ μεμπτός. οἰκεῖ δ' ἄστυ ποῖον Ἑλλάδος;
ΑΓ. Ἀπιδανὸν ἀμφὶ ποταμὸν ἐν Φθίας ὅροις.
ΚΛ. Ἐκεῖσ' ἀπάξει σὴν ἐμήν τε παρθένον;
ΑΓ. Κείνῳ μελήσει ταῦτα, τῷ κεκτημένῳ.
ΚΛ. Ἐλλ' εὐτυχοίτην! τίνι δ' ἐν ἡμέρᾳ γαμεῖ;
ΑΓ. Ὅταν Σελήνης εὐτυχὴς ἔλθῃ κύκλος.
ΚΛ. Προτέλεια δ' ἤδη παιδὸς ἔσφαξας θεᾷ;

---

καὶ ἀφελὲς τῆς παρθένου. 687. Αἴγινα] νῆσος νῦν πρὸ τῆς Ἀττικῆς ἐστί, ποτὲ μὲν Οἰνώνη, ἔπειτα δὲ κληθεῖσα Αἴγινα, ἀπὸ Αἰγίνης τῆς τοῦ Ἀσωποῦ θυγατρός· ἣν ἔγημεν Ζεύς· ἐξ οὗ Αἰακός, ἐξ οὗ Πηλεύς, ἐξ οὗ Ἀχιλλεύς.

ἀλλ᾽ οἶδ᾽ οὐχ ἧττον κἀκεῖνο, ὡς ὁ ἐπιγενόμενος χρόνος ἀφαιρήσει τῷ ἔθει τοῦ πάθους τὴν αἴσθησιν. Σὺ δ᾽ οὖν ἐξειπών μοι, ὅτῳ ἔγνως ἐκδοῦναι τὴν παῖδα, οὐ προσέθηκας καὶ ποδαπὸς ὁ ἀνὴρ, καὶ ποῖός ποτε τὸ γένος· βουλοίμην γὰρ ἂν μάλιστα καὶ τοῦτ᾽ εἰδέναι.

**ΑΓ.** Αἴγινά ποτε Ἀσωποῦ ἦν θυγάτηρ.

**ΚΛ.** Ταύτῃ δὲ θνητὸς, ἢ θεὸς εἰς γάμον ἦλθεν;

**ΑΓ.** Ζεύς· ἐξ οὗ Αἰακὸς ὁ πρόμαχος Οἰνώνης.

**ΚΛ.** Αἰακοῦ δὲ τίς ἐγένετο κληρονόμος;

**ΑΓ.** Πηλεὺς, ὃς ἔγημε Θέτιν τὴν Νηρέως.

**ΚΛ.** Θεοῦ διδόντος, ἢ βίᾳ ἀναρπάσας;

**ΑΓ.** Διὸς μὲν ἐγγυήσαντος, τοῦ πατρὸς δὲ ἐκδόντος.

**ΚΛ.** Ποῦ δὲ ἔγημεν, ἢ ἐπὶ τῶν κυμάτων;

**ΑΓ.** Ἐν τῷ Πηλίῳ, οὗ κατοικεῖ ὁ Χείρων.

**ΚΛ.** Ὅπου Κενταύρους φασὶν ἐνδιαιτᾶσθαι;

**ΑΓ.** Ἐνταῦθ᾽ οἱ θεοὶ ἐτίμησαν τὸν γάμον.

**ΚΛ.** Θέτις δὲ, ἢ Πηλεὺς ἀνέθρεψε τὸν παῖδα;

**ΑΓ.** Χείρων, ὅπως ἤθη κακῶν βροτῶν μὴ μάθῃ.

**ΚΛ.** Σοφός γ᾽ ὁ θρέψας, χ᾽ ὁ διδοὺς ἔτι μᾶλλον.

**ΑΓ.** Τοιοῦτον ἄνδρα ἡ σὴ θυγάτηρ ἕξει.

**ΚΛ.** Θαυμαστός γ᾽ οὗτος· ἐκ πόλεως δὲ τίνος;

**ΑΓ.** Περὶ Ἀπιδανὸν ἐκ Φαρσάλων τῆς Φθίας.

**ΚΛ.** Ἐκεῖσε ἀπάξει τὴν ἐμὴν θυγατέρα;

**ΑΓ.** Ἐκείνῳ μελήσει τοῦτο εἰδέναι μόνῳ.

**ΚΛ.** Ἀλλ᾽ εὐτυχούντων· πότε δὴ ταῦτα ἔσται;

**ΑΓ.** Θεοῦ θέλοντος εἰς πλήθουσαν σελήνην.

**ΚΛ.** Ἔθυσας δὲ τῇ θεῷ προτέλεια τῆς κόρης;

ΑΓ. Μέλλω· 'πὶ ταύτῃ καὶ καθέσταμεν τύχῃ.
ΚΛ. Κἄπειτα δαίσεις τοὺς γάμους ἐσύστερον;
ΑΓ. Θύσας γε θύμαθ', ἅπερ ἐχρῆν θῦσαι θεοῖς.
ΚΛ. Ἡμεῖς δὲ θοίνην ποῦ γυναιξὶ θήσομεν;
ΑΓ. Ἐνθάδε παρ' εὐπρύμνοισιν Ἀργείων πλάταις·
ΚΛ. Κακῶς, ἀναγκαίως τε· συνενέγκαι δ' ὅμως.
ΑΓ. Οἶσθ' οὖν, ὃ δρᾶσον, ὦ γύναι; πιθοῦ δέ μοι.
ΚΛ. Τί χρῆμα; πείθεσθαι γὰρ εἴθεσμαι σέθεν.
ΑΓ. Ἡμεῖς μὲν ἐνθάδ', οὗπερ ἔσθ' ὁ νυμφίος —
ΚΛ. Μητρὸς τί χωρὶς δράσεθ' ἃ ἐμὲ δρᾶν χρεών;
ΑΓ. Ἐκδώσομεν τὴν παῖδα Δαναϊδῶν μέτα.
ΚΛ. Ἡμᾶς δὲ ποῦ χρὴ τηνικαῦτα τυγχάνειν;
ΑΓ. Χώρει πρὸς Ἄργος, παρθένους τε τημέλει.
ΚΛ. Λιποῦσα παῖδα; τίς δ' ἀνασχήσει φλόγα;
ΑΓ. Ἐγὼ παρέξω φῶς, ὃ νυμφίοις πρέπει.
ΚΛ. Οὐχ' ὁ νόμος οὗτος, καὶ σὺ φαῦλ' ἡγῇ τάδε.
ΑΓ. Οὐ καλὸν ἐν ὄχλῳ σ' ἐξομιλεῖσθαι στρατοῦ.
ΚΛ. Καλὸν τεκοῦσαν τἀμά γ' ἐκδοῦναι τέκνα.
ΑΓ. Καὶ τάς γ' ἐν οἴκῳ μὴ μόνας εἶναι κόρας.
ΚΛ. Ὀχυροῖσι παρθενῶσι φρουροῦνται καλῶς.
ΑΓ. Πιθοῦ.
ΚΛ. Μὰ τὴν ἄνασσαν Ἀργείαν θεάν.

---

708. Προτέλεια] ἴδ' ἀνωτέρω στίχ. 435. 714. Κακῶς δ' ἀναγκαίως τε] ἐν ἄλλοις κεῖται, καλῶς τ' ἀναγκαίως τε· ἀλλ' οὐδ' οὕτως εὐοδοῖτ' ἂν ὁ νοῦς· διὸ ἀξιοῦσι τινὲς γράφειν, μεταβάλλοντες τὸ μὲν καλῶς εἰς τὸ, κακῶς, ὡς καὶ ἔγραψα, ἢ ἀκλεῶς, ἢ φαύλως· τὸ δὲ, συνένεγκαι εἰς τὸ, συνενέγκαι εὐκτικῶς· οἷον,

» Κακῶς, ἀναγκαίως τε, συνενέγκαι δ' ὅμως. »

Βούλεται δ' εἰπεῖν, οὐκ ἀξίως μὲν ἡμῶν αὐτῶν ἑστιάσομεν ἐνταῦθα τοὺς γάμους· ἀλλ' ὅμως ἀναγκαίως· καὶ οὕτως εὖ ἡμῖν γένοιτο. 715. Οἶσθ' οὖν, ὃ

ΑΓ. Μέλλω δὴ, κἂν τούτῳ σπουδὴν ἔχω ἤδη.
ΚΛ. Μετὰ δὲ τοῦτο ἑστιάσεις τοὺς γάμους;
ΑΓ. Μετὰ τὸ θῦσαι, ἣν ὀφείλω θεοῖς θυσίαν.
ΚΛ. Ἐμὲ δὲ ποῦ δεῖ ἑστιᾷν τὰς γυναῖκας;
ΑΓ. Ἐνθάδε πῃ παρὰ τὰς τῶν Ἑλλήνων νῆας.
ΚΛ. Καίτοι ἀναγκαίως, ἀλλ' ὅμως συνενέγκοι.
ΑΓ. Σύδε πειθομένη μοι οἶσθ' ὅ,τι δράσεις;
Κν. Κέλευε μόνον τὴν πάντα πειθομένην.
ΑΓ. Ἡμεῖς μὲν ἐνθάδε, ὅπου γ' ἐστὶν ὁ νυμφίος.
ΚΛ. Τί δέ; χωρὶς δράσεθ', ἅμε χρὴ δρᾷν τὴν τεκοῦσαν;
ΑΓ. Μετὰ τῶν Ἑλλήνων ἐκδώσομεν τὴν κόρην.
ΚΛ. Ἐμὲ δὲ ποῦ χρὴ ἐνδιατρίβειν τότε;
ΑΓ. Ἄπελθ' οἴκαδε καὶ φρόντιζε τῶν παίδων.
ΚΛ. Πῶς τοῦτο; καὶ τίς βαστάσει τὴν λαμπάδα;
ΑΓ. Ἐγὼ δράσω πάνθ', ἃ πρέπει τοῖς νυμφίοις.
ΚΛ. Οὐχ οὗτος νόμος· σὺ δὲ μικρὰ μὴ τίθου ταῦτα.
ΑΒ. Οὐ καλὸν ὁρᾶσθαί σε παρ' ὄχλῳ ὡπλισμένῳ.
ΚΛ. Κάλλιστον μητρὶ νυμφαγωγὸν γενέσθαι.
ΑΓ. Οὐδ' οἴκοι μόνας κατοικεῖν τὰς παρθένους.
ΚΛ. Ἐν παρθενῶσιν ἐκεῖναι καλῶς περιφρουροῦνται.
ΑΓ. Πάρεχέ μοι δὴ σεαυτὴν πειθομένην.
ΚΛ. Οὐ μὰ τὴν θεὰν τὴν ἄνασσαν τοῦ Ἄργους· σὺ δ' ἐλθὼν

---

δρᾶσον] ἐχρήσατο Προστακτικῷ ἀντὶ Ὁριστικοῦ Μέλλοντος· σύνηθες δὲ τοῦτο αὐτῷ καὶ ἀλλαγῇ ἐν τῷ αὐτῷ ῥήματι (ἴδε Ἑκάβη στίχ. 225. καὶ Ἐλ. 322. καὶ 1249. καὶ Ἴων. 1029.) 717. Ἃ ἐμὲ] οὕτω διώρθωταί μοι ἀντὶ τοῦ ἄν με, ἢ ἅμε. -Σι. Τίς δ' ἀνασχήσει φλόγα] τὴν λαμπάδα· εἰσήγετο γὰρ ἡ νύμφη ὑπὸ τῆς μητρὸς, λαμπάδα φερούσης· οὕτω κἂν ταῖς Φοινίσσαις φαίνεται στίχ· 346. 729. Μὰ τὴν Ἀργείαν θεὰν] τὴν Ἥραν τὴν πολιοῦχον τοῦ Ἄργους

Ἐλθὼν δὲ τἄξω πρᾶσσε, τὰ 'ν δόμοις δ' ἐγὼ,
Ἃ χρὴ παρεῖναι νυμφίοισι παρθένοις.

ἈΓ. Οἴ μοι! μάτην ᾖξ', ἐλπίδος δ' ἀπεσφάλην,
Ἐξ ὀμμάτων δάμαρτ' ἀποστεῖλαι θέλων.
Σοφίζομεν δὲ, κἀπὶ τοῖσι φιλτάτοις
Τέχνας πορίζω, πανταχῆ νικώμενος.
Ὅμως δὲ σὺν Κάλχαντι τῷ θυηπόλῳ
Τὸ τῆς θεοῦ φίλον γ', ἐμοὶ δ' οὐκ εὐτυχὲς,
Ἐξιστορήσων εἶμι, μόχθον Ἑλλάδος.
Χρὴ δ' ἐν δόμοισιν ἄνδρα τὸν σοφὸν τρέφειν
Γυναῖκα χρηστὴν κἀγαθὴν, ἢ μὴ τρέφειν.

ΧΟ Ἥξει δὴ Σιμόεντα καὶ (Στρ.)
Δίνας ἀργυροειδεῖς
Ἄγυρις Ἑλλάνων στρατιᾶς
Ἀνά τε ναυσὶ καὶ σὺν ὅπλοις
Ἴλιον ἐς τὸ Τροίας
Φοιβήϊον δάπεδον,
[Γὰν] Κασάνδραν ἵν' ἀκούω
Ῥίπτειν ξανθοὺς πλοκάμους,
Χλωροκόμῳ στεφάνῳ δάφνας
Κοσμηθεῖσαν, ὅταν θεοῦ
Μαντόσυνοι πνεύσωσ' ἀνάγκαι.
Στάσονται δ' ἐπὶ περγάμων (Ἀντ.)
Τροίας ἀμφί τε τείχη
Τρῶες, ὅταν χάλκασπις Ἄρης
Πόντιος εὐπρώροισι πλάταις
Εἰρεσίᾳ πελάζῃ
Σιμουντίοις ὀχετοῖς,
Ταν τῶν αἰθέρι δισσῶν

πράττε τὰ ἐκτὸς, ἃ δεῖσε πράττειν· τὰ δ' ἐντὸς, ἃ χρὴ παρεῖναι παρθένῳ εἰς γάμον ἐρχομένῃ, ταῦτ' ἐμοὶ προσήκει παρασκευάζειν.

**ΑΓ.** Οἴμοι· μάτην ἄρα μοι ἅπας ἔῤῥιπται λόγος, τῆς ἐλπίδος σφαλέντι, ἐκποδὼν τὴν γυναῖκα πειραθέντι ποιήσασθαι· σοφίσματα δ' ἐπὶ τοῖς φιλτάτοις ἐμπλέκων, καὶ ἄλλας ἐπ' ἄλλαις μηχανώμενος τέχνας, ἁλίσκομαι ἐν πᾶσι νικώμενος· ὅμως δ' εἶμι νῦν σὺν Κάλχαντι τῷ μάντει μαθησόμενος, ὃ τῇ μὲν θεῷ ἐστι φίλον, ἐμοὶ δὲ δυςυχὲς, καὶ τοῖς Ἕλλησι πόνος· χρὴ δ' οὖν, ὅςις ἂν ᾖ σοφὸς, χρηςὴν τρέφειν γυναῖκα, ἢ μὴ τρέφειν ὅλως.

**ΧΟ.** Ἥξει παρὰ τὰς τοῦ Σιμόεντος ἀργυροειδεῖς δίνας ὁ τῶν Ἑλλήνων σύγκλητος στρατὸς σὺν ναυσί τε καὶ ὅπλοις ἐπὶ Τροίαν τὴν πόλιν τοῦ Φοίβου· ὅπου λέγεται Κασάνδρα, ἀνάγκης ποτὲ γιγνομένης ἐκ θεοῦ μαντικῆς, λύσασα τοὺς ξανθοὺς τῆς κόμης πλοκάμους, κοσμεῖται νεοθαλεῖ ςεφάνῳ δάφνης.

Τρῶες δὲ στήσονται περὶ τὰ τῆς πόλεως τείχη, ὁπόθ' ὁ ὁπλοφόρος Ἄρης πρόσεισιν ἐκ πόντου εὐπρώροις ναυσὶ πρὸς τὰς τοῦ Σιμόεντος ἐκβολὰς, Ἑλένην τὴν

---

732. Μάτην ἧξα] ἤϊξα, ὡρμήθην εἰς τοῦτο. 735. Πανταχῇ νικώμενος] ἐκπίπτων τοῦ σκοποῦ· αἰνίττεται δὲ καὶ τὰ περὶ τὴν ἐπιστολήν· ἔστι δὲ σχῆμα τὸ ἑπόμενον ἀντὶ τοῦ ἡγουμένου. 747. Κασάνδραν] θυγάτηρ αὕτη ἦν Ἑκάβης μαντεύουσα· ἣν ἔδει διαλύουσαν τοὺς βοστρύχους, οὕτω μαντεύειν ἐςεμμένην, ἀνάγκης οὔσης, τῇ δάφνῃ. 758. Ἐν αἰθέρι] τοὺς ἐν οὐρανῷ κατεστηριγμένους

Διοσκούρων Ἑλέναν
Ἐκ Πριάμου κομίσαι θέλων
Εἰς γᾶν Ἑλλάδα δοριπόνοις
Ἀσπίσι καὶ λόγχαις Ἀχαιῶν.
Πέργαμον δὲ, Φρυγῶν πόλιν, (Ἐπῳδ.)
Λαΐνους περὶ πύργους
Κυκλώσας Ἄρει φοινίῳ,
Λαιμοτόμους κεφαλὰς
Σπάσας, πόλισμα Τροίας
Πέρσας κατάκρας [πόλιν],
Θήσει κόρας πολυκλαύτους
Δάμαρτά τε Πριάμου.
Ἁ δὲ Διὸς Ἑλένα
Κόρα πολύκλαυτος ἐσεῖται,
Πόσιν προλιποῦσα· μήτ᾽ ἐμοὶ,
Μήτ᾽ ἐμοῖσι τέκνων τέκνοις
Ἐλπὶς ἅδε πότ᾽ ἔλθοι,
Οἵαν αἱ πολύχρυσοι Λυδαὶ
Καὶ Φρυγῶν ἄλοχοι στή-
σουσι παρ᾽ ἱστοῖς, μυθεύουσαι
Τάδ᾽ ἐς ἀλλήλας·
Τίς ἄρα μ᾽ εὐπλοκάμους κόμας,
Ἔρυμα δακρυόεν ἀνύσας
Πατρίδος ὀλλυμένας, ἀπολωτιεῖ;
Διά σε τὰν κύκνου δολιχαύχενος γόνον,
Εἰ δὴ φάτις ἔτυμος, ὡς ἔτυχεν Λήδα
Ὄρνιθι πταμένῃ,
Διὸς ὅτ᾽ ἀλλάχθη δέμας,
Εἴτ᾽ ἐν δέλτοις Πιερίσιν
Μῦθοι τάδ᾽ ἐς ἀνθρώπους
Ἤνεγκαν παρὰ καιρὸν ἄλλως.

τῶν ἐν οὐρανῷ Διοσκούρων ἀδελφὴν ζητῶν ἐκ Τροίας εἰς Ἑλλάδα τοῖς τῶν Ἑλλήνων ὅπλοις καταγαγεῖν.

Τὴν δὲ τῶν Φρυγῶν πόλιν καὶ πύργους λαΐνους κυκλώσας, λαιμοτόμους τε ἐκεῖθεν ἀποσπάσας κεφαλὰς, πολέμῳ φονικῷ, ἐπεὶ τὴν Τροίαν ἕλοι, τάς τ' ἄλλας Τρῳάδας, καὶ δὴ καὶ τὴν Πριάμου γυναῖκα πολυδακρύτους θήσει· Ἑλένη δὲ ἡ Διὸς κόρη καὶ αὐτὴ πολύκλαυστος ἔςαι, ἡ ποτὲ προλιποῦσα τὸν ἄνδρα· ἀλλ' ἔμοιγε μήτ' ἐμοὶ, μήτε τοῖς ἐμοῖς τέκνοις, καὶ τέκνων τέκνοις ποτὲ τοιοῦτος ἐμπέσοι φόϐος, οἷος ἔσται ταῖς πολυχρύσοις Λυδαῖς τε καὶ Τρῳάσιν, ὁπότε καθήμεναι παρὰ ταῖς τῶν Ἑλλήνων ναυσὶν, ἐροῦσι πρὸς ἀλλήλας ἐκεῖνα, τίς ἄρα καθελὼν τὸ δακρυόεν τεῖχος τῆς ἀθλίας πατρίδος, ἀπολωτιεῖ μοι τοὺς βοστρύχους τῆς κόμης; καὶ τοῦτο διὰ σὲ τὴν τοῦ κύκνου θυγατέρα, εἴτ' ἄρ' ἀληθῆ ταῦτα λέγεται, ὡς ἡ Λήδα ὡμίλησε τῷ Διῒ, εἰς κύκνον ποτὲ μεταμορφωθέντι, εἴτ' ἄλλως λόγος μυθώδης παρὰ καιρὸν ἐκ τῶν Πιερίδων βίϐλων τοῦτ' ἐξήνεγκεν εἰς ἀνθρώπους.

---

εἰσὶ δὲ οἱ Δίδυμοι. 765. Ἄρει φοινίῳ] ἄλλως Ἀρκυῒ φονίῳ. 767. Πόλισμα] Τροίας] πότερον, πρὸς τὸ, Σπάσας (ὅπερ τις τρέπειν ἀξιοῖ εἰς τὸ, Ὁπάσας) ἢ πρὸς τὸ Πέρσας; πρὸς τὸ Σπάσας, ἔμοιγε δοκεῖ· εἰδὲ μὴ, ὀϐελιστέον ἂν εἴη τὸ Πόλιν. 772. Ἐσεῖται] δωρικῶς, ἔσεται. 775. Ἐλπὶς] ἀντὶ τοῦ φόϐος. 778. Μυθεύουσαι] ἐν ἄλλοις μυθεῦσαι. μυθοῦσαι, λέγουσαι τὰ ἑξῆς· καὶ ἐν ἄλλοις μυθεύουσα, 781. Ἔρυμα δακρυόεν' ἀνύσας] οὕτω μᾶλλον ἐξ ἑτέρας ἀντὶ τοῦ ἔρυμα δακρυόεντ' ἀκούσας· εἰ δὲ γράψαιμεν, Ἔρυμα δακρυόεν γ' ἀκούσας, ἐννοοῖμεν ἂν οὕτως· τίς ἄρα τῶν ἐχθρῶν, ἅμ' ἀκούσας, καὶ ἰδὼν τὸ τεῖχος ἀξιοδάκρυτον ὂν, ἀπολωτιεῖ ὅ ἐστιν ἀποκερεῖ μοι τὴν κόμην; μήτι γραπτέον δρύμματα ἀντὶ τοῦ ἔρυμα; 783. Κύκνου] Ζεὺς γὰρ κύκνος γενόμενος, καὶ τῇ Λήδᾳ συ-

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΑΧΙΛΛΕΥΣ, ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΠΡΕΣΒΥΤΗΣ, ΧΟΡΟΣ.

ΧΟ. Ποῦ τῶν Ἀχαιῶν ἐνθάδ' ὁ στρατηλάτης;
Τίς ἂν φράσειε προσπόλων τὸν Πηλέως
Ζητοῦντά νιν παιδ' ἐν πύλαις Ἀχιλλέα;
Οὐκ ἐξ ἴσου γὰρ μένομεν Εὐρίπου πέλας.
Οἱ μὲν γὰρ ἡμῶν ὄντες ἄζυγες γάμων,
Οἴκους ἐρήμους ἐκλιπόντες, ἐνθάδε
Θάσσουσ' ἐπ' ἀκτάς· οἱ δ' ἔχοντες εὐνίδας,
Ἄπαιδες· οὕτω δεινὸς ἐμπέπτωκ' ἔρως
Τῆσδε στρατείας Ἑλλάδι γ' οὐκ ἄνευ θεῶν.
Τοὐμὸν μὲν οὖν δίκαιον ἐμὲ λέγειν χρεών.
Ἄλλος δ' ὁ χρῄζων αὐτὸς ὑπὲρ αὑτοῦ φράσει.
Γῆν γὰρ λιπὼν Φάρσαλον ἠδὲ Πηλέα,
Μένω 'πὶ λεπταῖς ταῖσδε γ' Εὐρίπου πνοαῖς,
Μυρμιδόνας ἴσχων, οἵ μ', ἀεὶ προσκείμενοι,
Λέγουσ', Ἀχιλλεῦ, τί μένομεν; ποῖον χρόνον
Ἔτ' ἐκμετρῆσαι χρὴ πρὸς Ἴλιον στόλον;
Δρᾶ γ' εἴ τι δράσεις, ἢ 'παγ' οἴκαδε στρατὸν,
Τὰ τῶν Ἀτρειδῶν μὴ μένων μελλήματα.

ΚΛ. Ὦ παῖ θεᾶς Νηρῆδος, ἔνδοθεν λόγων
Τῶν σῶν ἀκούσασ', ἐξέβην πρὸ δωμάτων.

---

νευνασθεὶς, ἐγέννησε τὴν Ἑλένην· ἴδε Ἑλ. στίχ. 20. 807. Μελλήματα] βραδυ-

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΑΧΙΛΛΕΥΣ, ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΠΡΕΣΒΥΤΗΣ, ΧΟΡΟΣ.

ΑΧ. Ποῦ ἂν ἴδοι τις ὧδ' Ἀγαμέμνονα τὸν τῶν Ἑλλήνων ϛρατηγόν; τίς ἂν ἀγγείλειεν αὐτῷ Ἀχιλλέα τὸν Πηλέως ζητοῦντα διαλεχθῆναι αὐτῷ ἐνταυθοῖ; οὐ γὰρ ἴσον ἅπαντες ἐλαττούμενοι, διατρίβομεν ὧδε ἐν τῷ τοῦ Εὐρίπου πορθμῷ· ἀλλ' οἱ μὲν ἡμῶν ἄγαμοι ὄντες, καὶ τοὺς οἴκους καταλιπόντες ἐρήμους, κάθηνται ὧδε παρὰ τὰς ἀκτάς· οἱ δ' αὖ γεγαμηκότες, πάρεισιν ἄτεκνοι· οὕτω γὰρ δεινὸς οὐκ ἄνευ γε θεῶν ταύτης τῆς ἐκϛρατείας πᾶσι τοῖς Ἕλλησιν ἐμπέπτωκεν ἔρως. Τῶν μὲν οὖν ἄλλων ἕκαστος λεγέτω περὶ ἑαυτοῦ ὅ,τι βούλοιτο· ἐγὼ δὲ ἐνοῖδα τὸ ἐμαυτοῦ· καταλιπὼν γὰρ Φάρσαλον καὶ τὸν πατέρα Πηλέα, μένω νῦν παρὰ τὰς λεπτὰς ταυτησὶ τοῦ Εὐρίπου αὔρας, Μυρμιδόνας μόλις κατέχων· οἳ προσκαθεζόμενοι ἀεὶ, και προσανακλαιόμενοι, λέγουσί μοι, Ἀχιλλεῦ, τί μένομεν ὧδε; ποῖον γὰρ χρόνον ἔτι τῆς ἐπὶ Τροίαν ϛρατείας χρὴ προσορίσασθαι; εἴτι οὖν ποιήσεις, ποίησον· ἢ ἄπαγε οἴκαδε τὸν ϛρατὸν εἰς τὰ φίλτατα, τὰ τῶν Ἀτρειδῶν ἐνταῦθα μὴ μένων μελλήματα.

ΚΛ. Ὦ παῖ τῆς Νηρηΐδος θεᾶς, μέγιστε Ἀχιλλεῦ, ἅμ' ἔνδοθεν τῶν σῶν ἀκούσασα λόγων, ἐξεπήδησα τῆς οἰκίας.

ΑΧ. Ὦ πότνι᾽ αἰδὼς, τήνδε τίνα λεύσσω ποτὲ
Γυναῖκα, μορφὴν εὐπρεπῆ κεκτημένην;

ΚΛ. Οὐ θαῦμα σ᾽ ἡμᾶς ἀγνοεῖν, οὓς μὴ πάρος
Κατεῖδες· αἰνῶ δ᾽, ὅτι σέβεις τὸ σωφρονεῖν.

ΑΧ. Τίς δ᾽ εἶ; τί δ᾽ ἦλθες Δαναϊδῶν ἐς σύλλογον,
Γυνὴ πρὸς ἄνδρας ἀσπίσιν πεφραγμένους;

ΚΛ. Λήδας μέν εἰμι παῖς, Κλυταιμνήστρα δέ μοι
Ὄνομα, πόσις δέ μοι ᾽στὶν Ἀγαμέμνων ἄναξ.

ΑΧ. Καλῶς ἔλεξας ἐν βραχεῖ τὰ καίρια.
Αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους.

ΚΛ. Μεῖνον· τί φεύγεις; δεξιάν γ᾽ ἐμῇ χερὶ
Σύναψον, ἀρχὴν μακαρίαν νυμφευμάτων.

ΑΧ. Τί φής; ἐγώ σοι δεξιάν; αἰδοίμεθ᾽ ἂν
Ἀγαμέμνον᾽, εἰ ψαύοιμ᾽ ἄν, ὧν μή μοι θέμις.

ΚΛ. Θέμις μάλιστα, τὴν ἐμὴν ἐπεὶ γαμεῖς
Παῖδ᾽, ὦ θεᾶς παῖ ποντίας Νηρηΐδος.

ΑΧ. Ποίους γάμους φὴς, ἀφασία μ᾽ ἔχει, γύναι,
Εἰ μή τι παρανοοῦσα καινουργεῖς λόγον.

ΚΛ. Πᾶσιν τόδ᾽ ἐμπέφυκεν, αἰδεῖσθαι φίλους
Καινοὺς ὁρῶσι, καὶ γάμου μεμνημένοις.

ΑΧ. Οὐ πώποτ᾽ ἐμνήστευσα παῖδα σὴν γύναι,
Οὐδ᾽ ἐξ Ἀτρειδῶν ἦλθέν μοι λόγος γάμων.

ΚΛ. Τί δῆτ᾽ ἂν εἴη; σὺ πάλιν αὖ λόγους ἐμοὺς
Θαύμαζ᾽· ἐμοὶ γὰρ θαύματ᾽ ἐστὶ τὰ παρὰ σοῦ.

ΑΧ. Εἴκαζε· κοινόν ἐστιν εἰκάζειν τάδε·
Ἄμφω γὰρ οὐ ψευδόμεθα τοῖς λόγοις ἴσως.

---

τητα· μελήματα δὲ, δι᾽ ἑνὸς λ. φροντίδας, σκοπούς. 813. Σέβεις τὸ σωφρονεῖν] ἀποτείνεται ἀνωτέρω εἰς τὸ πότνια αἰδώς.

ΑΧ. Ὦ πότνια Αἰδὼς, τίνα πόθ' ὁρῶ τήνδε τὴν γυναῖκα οὕτω διαπρέπουσαν μορφῇ τε καὶ κόσμῳ;

ΚΛ. Οὐδὲν θαυμαστόν σε ἀγνοεῖν ἡμᾶς, μηδέπω πρότερόν ποτ' ἰδόντα· ἐμοὶ δ' οὖν ἄξιος εἶ τιμᾶσθαι, ἐφ' οἷς τιμᾷς σωφροσύνην.

ΑΧ. Τίς δὲ καὶ ποδαπή ποτ' οὖσα, ἦλθες ὧδε πρὸς ἄνδρας ὡπλισμένους;

ΚΛ. Θυγάτηρ Λήδας, ἡ Κλυταιμνήστρα, γυνὴ Ἀγαμέμνονος.

ΑΧ. Εὖγε ἀπὸ τῶν κεφαλαίων ἐσήμηνας, ἥτις εἶ· οὐκοῦν ἄπειμι· αἰδοῦμαι γὰρ γυναικὶ διαλέγεσθαι.

ΚΛ. Τί ποιεῖς αὐτός; ἄπει; ἀλλ' ἄγ', ὦ ἄριστε, σύμβαλλε δεξιὰν δεξιᾷ, πρῶτον τοῦτο ποιούμενος σύμβολον εὐδαίμονος γάμου.

ΑΧ. Τί φὴς αὐτή; ἐγώ σοι δεξιάν; καὶ πῶς οὐκ ἂν αἰδοίμην Ἀγαμέμνονα, ἁπτόμενος, ὧν ἥκιστά μοι θέμις;

ΚΛ. Καὶ μάλιστά γε θέμις τοῦτό γ' ἐστιν, ὦ παῖ Θέτιδος, μέλλοντα τὴν ἐμὴν συναρμόσεσθαι παῖδα.

ΑΧ. Τίνα παῖδα ταύτην φὴς αὐτή; ἔγωγε γὰρ οὐκ οἶδα, εἰ μή τι εἰρωνεύουσα, παραπαίεις.

ΚΛ. Οὕτω· φύσει γὰρ παντί γε νέῳ ἐνυπάρχει τὸ αἰδεῖσθαι, νέους ὁρῶντα φίλους, καὶ μάλιστ' εἰ καὶ γάμων πρὸς αὐτὸν οὗτοι μνησθεῖεν.

ΑΧ. Ἀλλ' ἄκουσον σύ γε λόγον τοῦτον ἐμοῦ ἁπλοῦν καὶ πιστόν· οὔτε γὰρ ἔννοια πώποτέ μοι ἐπῆλθε τὴν σὴν μνηστεύσασθαι παῖδα, οὔτε μὴν λόγος τὶς παρὰ τῶν Ἀτρειδῶν ἦν πρὸς ἐμὲ περὶ γάμου.

ΚΛ. Τί οὖν ἂν εἴη τὸ πρᾶγμα τοῦτο; συμβαίνει γὰρ ταὐτὰ πάσχειν ἡμᾶς ἀμφοτέρους, ἑκάτερον τοῖς θατέρου ἐκπλήττεσθαι λόγοις.

ΑΧ. Εἴκαζε ὅ,τι βούλει· ἢ μᾶλλον κοινῇ εἰκαστέον ἡμῖν ἂν εἴη· σύνδυο γὰρ ἐξετάζοντες, ἧττον ἂν παραγοίμεθα.

ΚΛ· Ἀλλ' ἢ πέπονθα δεινά· μνηστεύω γάμους
Οὐκ ὄντας, ὡς εἴξασιν· αἰδοῦμαι τάδε·

ἈΧ. Ἴσως ἐκερτόμησε κἀμὲ καὶ σέ τις.
Ἀλλ' ἀμελίᾳ δὸς αὐτὰ καὶ φαύλως φέρε.

ΚΛ. Χαῖρ'· οὐ γὰρ ὀρθοῖς ὄμμασίν σ' ἔτ' εἰσορῶ,
Ψευδὴς γενομένη, καὶ παθοῦσ' ἀνάξια.

ΑΧ. Καί σοι τόδ' ἐστὶν ἐξ ἐμοῦ. πόσιν δὲ σὸν
Στείχω ματεύσων τῶνδε δωμάτων ἔσω.

ΠΡ· Ὦ ξέν', Αἰακοῦ γένεθλον, μεῖνον, ὤ, σέ τοι λέγω
Τὸν θεᾶς γεγῶτα παῖδα, καὶ σὲ τὴν Λήδας κόρην.

ΑΧ. Τίς ὁ καλῶν, πύλας παροίξας; ὡς τεταρβηκὼς καλεῖ!

ΠΡ. Δοῦλος, οὐχ ἁβρύνομαι τῷδ'· ἡ τύχη γὰρ μ' οὐκ ἐᾷ·

ΑΧ. Τίνος; ἐμὸς μὲν οὐχί· χωρὶς τἀμὰ κἀγαμέμνονος.

ΠΡ. Τῆσδε τῆς πάροιθεν οἴκων, Τυνδάρεω δόντος πατρός.

ΑΧ. Ἕσταμεν· φράζ', εἴ τι χρῄζεις, ὧν μ' ἐπέσχες οὕνεκα.

ΠΡ. Ἦ μόνω πάροιθε δῆτα ταῖσδ' ἐφέστατον πύλαις;

ΚΛ. Ὡς μόνοις λέγοις ἂν, ἔξω δ' ἐλθὲ βασιλικῶν δόμων.

ΠΡ. Ὦ τύχη πρόνοιά θ' ἡ 'μὴ, σῶσον, οὓς ἐγὼ θέλω.

ΑΧ. Ὁ λόγος ἐς μέλλοντ' ἀνοίσει χρόνον· ἔχει δ' ὄγκον τινά.

---

837. Ὡς εἴξασιν] ὡς ἐοίκασιν, οἱ γάμοι, ἀπὸ τοῦ εἴκω, εἴξω, εἶξα, εἴξασιν. 839. Φαύλως φέρε] κούφως, μὴ βαρέως. οὕτω καὶ κατωτέρω 905. 842. Καί σοι τόδ' ἐστιν ἐξ ἐμοῦ] ποῖον; ἢ τὸ χαίρειν, καὶ τὸ αἰδεῖσθαι. 844. Σέ τοι λέγω] σὲ γὰρ καλῶ· κλῆσις αὕτη πρὸς τοὺς πολὺ ἀφισταμένους. 854. Ἀνοίσει] οὕτω μᾶλλον ἀντὶ τοῦ

ΚΛ. Ἔςι τὶ νέον· οὐκ ἐσθ᾽ ὅπως οὐ πέπονθά τι δεινόν· ἔοικα γὰρ ζητεῖν γάμους οὐκ ὄντας· αἰσχύνομαι ἐπὶ τούτοις.

ΑΧ. Κερτομῆσαί τις ἄρ᾽ ἡμᾶς ἀμφοτέρους βουλόμενος, τοιούτους ἐνέσπειρε λόγους· σὺ δ᾽ ὀλιγώρως ἔχουσα τούτων, φέρε κούφως.

ΚΛ. Χαῖρε τοίνυν· οὐκέτι γὰρ ἂν δυναίμην ὀρθῶς πρὸς σὲ βλέπειν, ἀναξίως ψευσθεῖσα τῆς ἐλπίδος.

ΑΧ. Καὶ σύγε ταὐτὸν πρὸς ἐμοῦ ἄπελθ᾽ ἔχουσα· ἐγὼ δὲ εἶμι ἔσω τὸν σὸν μαςεύσων ἄνδρα.

ΠΡ. Ὦ ξένε, ἀπόγονε Αἰακοῦ, παράμεινον ἔτι μικρόν· σέ τε γὰρ τὸν τῆς Θέτιδος, καὶ τήνδε τὴν τῆς Λήδας θυγατέρα καλῶ.

ΑΧ. Τίς οὕτω τεθορυβημένος καλεῖ με, τὰς πύλας ὑπανοίξας;

ΠΡ. Δοῦλος· ὁμολογῶ γὰρ τοῦτο, τῆς τύχης με μὴ ἐώσης ἐναβρύνεσθαι.

ΑΧ· Τίνος; οὐ γὰρ ἐμός γε· τὰ δ᾽ ἐμὰ οὐ κοινὰ Ἀγαμέμνονι.

ΠΡ. Ταυτησὶ τῆς πρὸ τῶν οἴκων οὔσης, Τυνδάρεω δόντος με αὐτῇ τοῦ πατρός.

ΑΧ. Οὐκοῦν ἔχεις με· λέγε δ᾽ ὅ,τι ἂν εἴπῃς ἀνύττων, δι᾽ ὃ ἐπέσχες μ᾽ ὧδε.

ΠΡ. Ἀλλ᾽ ἆρα μόνοι οἱ δύο ὑμεῖς ἐςὲ ἐνταῦθα;

ΑΧ. Καὶ γὰρ μόνοις ἂν λέγοις· ἀλλ᾽ ἔξελθε τῆς οἰκίας.

ΠΡ. Ὦ τύχη καὶ πρόνοια ἐμή, σῶσον, οὓς ἐγὼ θέλω.

ΑΧ. Ὁ λόγος οὗτος εἰς μῆκος τείνει χρόνου· ἀλλὰ μέγα γέ τι δοκεῖ ἐγκυμονεῖν κακόν.

ΚΛ. Δεξιᾶς ἕκατι μὴ μέλλ', εἴ τί μοι χρῄζεις λέγειν.
ΠΡ. Οἶσθα δῆτα γ' ὅστις ὤν, σοὶ καὶ τέκνοις εὔνους ἔφυν.
ΚΛ. Οἶδά σ' ὄντ' ἐγὼ παλαιὸν δωμάτων ἐμῶν λάτριν.
ΠΡ. Χὤτι μ' ἐν ταῖς σαῖσι φερναῖς ἔλαβεν Ἀγαμέμνων ἄναξ.
ΚΛ. Ἦλθες εἰς Ἄργος μεθ' ἡμῶν, κἀμὸς ἦσθ' ἀεί ποτε.
ΠΡ. Ὧδ' ἔχει· καὶ σοὶ μὲν εὔνους εἰμι, σῷ δ' ἧσσον πόσει.
ΚΛ. Ἐκκάλυπτε νῦν ποθ' ἡμῖν, οὕστινας λέγεις λόγους.
ΠΡ. Παῖδα σὴν πατὴρ ὁ φύσας αὐτόχειρ μέλλει κτανεῖν.
ΚΛ. Πῶς; ἀπέπτυσ', ὦ γεραιὲ, μῦθον· οὐ γὰρ εὖ φρονεῖς.
ΠΡ. Φασγάνῳ λευκὴν φονεύων τῆς ταλαιπώρου δέρην.
ΚΛ. Ὦ τάλαιν' ἐγώ! μεμηνὼς ἆρα τυγχάνει πόσις;
ΠΡ. Ἀρτίφρων, πλὴν ἐς σὲ καὶ σὴν παῖδα· τοῦτο δ' οὐ φρονεῖ.
ΚΛ. Ἐκ τίνος λόγου; τίς αὐτὸν οὑπάγων ἀλαστόρων;
ΠΡ. Θέσφαθ', ὥς γε φησὶ Κάλχας, ἵνα πορεύηται στρατός.
ΚΛ. Ποῖ; τάλαιν' ἐγώ! τάλαινα δ', ἣν πατὴρ μέλλει κτανεῖν!
ΠΡ. Δαρδάνου πρὸς δώμαθ', Ἑλένην Μενέλεως ὅπως λάβῃ.
ΚΛ. Εἰς ἄρ' Ἰφιγένειαν Ἑλένης νόστος ἦν πεπρωμένος;
ΠΡ. Πάντ' ἔχεις. Ἀρτέμιδι θύσειν παῖδα σὴν μέλλει πατήρ.
ΚΛ. Ὁ δὲ γάμος τίν' εἶχε πρόφασιν, ᾗ μ' ἐκόμισεν ἐκ δόμων;
ΠΡ. Ἵν' ἀγάγῃς χαίρουσ', Ἀχιλλεῖ παῖδα νυμφεύσουσα σήν.

---

ἂν ὤσῃ· εἰμὴ γραπτέον. ἂν ὦσαι. 855. Δεξιᾶς ἕκατι] προὔτεινεν, ὡς ἔοικε τὴν δεξιὰν πρὸς τὸν πρέσβυν εὔνοιαν ἐπιδεικνυμένη· οὐ γὰρ ἦν αἰσχρὸν ταῖς δεσποίναις τῷδε τῷ τρόπῳ δούλοις εὐνοεῖν· καὶ γὰρ καὶ Ἄλκηστις (ἴδε αὐτόθι στίχ. 191.) προὔτεινεν οὕτω· φησὶ γὰρ ὁ ποιητής.

» . . . . . . . Ἡ δὲ δεξιὰν
» Προὔτειν' ἑκάστῳ, κοὔτις ἦν οὕτω κακὸς,
» Ὃς οὐ προσεῖπε, καὶ προσερρήθη πάλιν.

ΚΛ. Πρὸς τῆς δεξιᾶς τῆσδε, φθάσον εἰπὼν, ὅ,τι ἔχοις.

ΠΡ. Οἶσθα πάντως, ὅσην εὔνοιαν ἔχων διατελῶ σοί τε, καὶ τοῖς σοῖς παισὶν ὁμοίως.

ΚΛ. Πῶς γὰρ οὔ; οἶδα γάρ σε τῆς ἐμῆς οἰκίας ἀρχαῖον ὄντ᾽ οἰκέτην.

ΠΡ. Καὶ πρὸς τούτοις λόγῳ φερνῆς Ἀγαμέμνονι δεδομένον.

ΚΛ. Καὶ τοῦτο· μετ᾽ ἐμοῦ γὰρ εἰς Ἄργος ἦλθες.

ΠΡ. Πάντως· καὶ σοὶ μὲν εὐνουςέρως, ἢ τῷ σῷ ἀνδρὶ ἔχω.

ΚΛ. Ἀλλ᾽ οὐκ ἂν φθάνοις εἰπὼν ὅ,τι ποτὲ μέλλεις λέγειν;

ΠΡ. Θυγατρὸς τῆς σῆς ὁ πατὴρ αὐτόχειρ αὐτίκα μάλα ἔςαι.

ΚΛ. Πῶς; ἀπέπτυσ᾽, ὦ γέρον· οὐ γὰρ ὑγιαίνειν μοι δοκεῖς.

ΠΡ. Ξίφει ἀποτεμὼν λευκὴν τῆς ταλαιπώρου δέρην.

ΚΛ. Ὦ τάλαιν᾽ ἐγώ· μήτι γε μέμην᾽ ὡνήρ;

ΠΡ. Σώφρων γ᾽ ἐκεῖνος τἄλλα, πλὴν τὸ σὸν καὶ τῆς κόρης.

ΚΛ. Πρὸς τί ταῦτα; χ᾽ ὑπὸ τίνος ἀλάςορος ἐλαυνόμενος;

ΠΡ. Κάλχαντος ἀνειπόντος, ἐφ᾽ ᾧ πλοῦν τῇ στρατιᾷ γενέσθαι.

ΚΛ. Ποῖ ποτε; ὦ τάλαιν᾽ ἐγὼ, ἥτε παῖς ἡ ἀπολουμένη.

ΠΡ. Ἐπὶ Τροίαν, ὅπως Μενέλαος ἀνασώσηται Ἑλένην.

ΚΛ. Μῶν ἐπὶ τῇ Ἰφιγενείᾳ ἡ τῆς Ἑλένης πέπρωται νόςος;

ΠΡ. Συνελών σοι λέγω· ὁ πατὴρ μέλλει θύσειν Ἀρτέμιδι τὴν παῖδα.

ΚΛ. Ὁ δὲ γάμος τί ποτε βούλεται, ἐφ᾽ ᾧ μετεπέμψατό με ἐκεῖνος ὧδε;

ΠΡ. Πρόφασις ἦν ταῦθ᾽, ὡς ἀσμένη Ἀχιλλεῖ ἀγάγῃς τὴν παρθένον.

ΚΛ. Θύγατερ, ἥκεις ἐπ' ὀλέθρῳ σῷ καὶ σὺ καὶ μήτηρ σέθεν.
ΠΡ. Οἰκτρὰ πάσχετον δύ' οὖσαι· δεινὰ δ' Ἀγαμέμνων ἔτλη.
ΚΛ. Οἴχομαι τάλαινα, δάκρυον ὄμματ' οὐκέτι στέγει.
ΠΡ. Εἴπερ ἀλγεινὸν, τὸ τέκνων στερομένην δακρυῤῥοεῖν.
ΚΛ. Σὺ δὲ τάδ', ὦ γέρον, πόθεν φὴς εἰδέναι πεπυσμένος;
ΠΡ. Δέλτον ᾠχόμην φέρων σοι πρὸς τὰ πρὶν γεγραμμένα.
ΚΛ. Οὐκ ἐῶν, ἢ ξυγκελεύων παῖδ' ἄγειν θανουμένην;
ΠΡ. Μὴ μὲν οὖν ἄγειν· φρονῶν γὰρ ἔτυχε σὸς πόσις τότ' εὖ.
ΚΛ. Κᾆτα πῶς φέρων γε δέλτον, οὐκ ἐμοὶ δίδως λαβεῖν;
ΠΡ. Μενέλεως ἀφείλεθ' ἡμᾶς, ὃς κακῶν τῶνδ' αἴτιος.
ΚΛ. Ὦ τέκνον Νηρῆδος, ὦ παῖ Πηλέως, κλύεις τάδε;
ΑΧ. Ἔκλυον οὖσαν ἀθλίαν σε, τό,τ' ἐμὸν οὐ φαύλως φέρω.
ΚΛ. Παῖδά μου κατακτενοῦσι, σοῖς δολώσαντες γάμοις.
ΑΧ. Μέμφομαι κἀγὼ πόσει σῷ, κοὐχ ἁπλῶς οὕτω φέρω.
ΚΛ. Οὐκ ἐπαιδεσθήσομαί γε προσπεσεῖν τὸ σὸν γόνυ,
Θνητὸς ἐκ θεᾶς γεγῶτα· τί γὰρ ἐγὼ σεμνύνομαι;
Περὶ τίνος σπουδαστέον μοι μᾶλλον, ἢ τέκνου πέρι;
Ἀλλ' ἄμυνον, ὦ θεᾶς παῖ, τῇ τ' ἐμῇ δυσπραξίᾳ
Τῇ τε λεχθείσῃ δάμαρτι σῇ· μάτην μὲν, ἀλλ' ὅμως
Σοὶ καταστέψασ' ἐγώ νιν ἦγον ὡς γαμουμένην,
Νῦν δ' ἐπὶ σφαγὰς κομίζω, σοὶ δ' ὄνειδος ἵξεται,
Ὅστις οὐκ ἤμυνας· εἰ γὰρ μὴ γάμοισιν ἐζύγης,

ΚΛ. Ὦ θύγατερ, ὡς ἐπ' ὀλέθρῳ ἐλυλύθαμεν ᾧδε ἄμφω.

ΠΡ. Οἰκτρὰ τὰ καθ' ὑμᾶς, δεινὰ τολμῶντος Ἀγαμέμνονος.

ΚΛ. Ἀπόλωλ' ἡ δειλαία· τὰ δ' ὄμματα οὐκέτι στέγει τὰ δάκρυα.

ΠΡ. Ἀλγεινὸν πάντως πρὸς δάκρυα τὸ ςέρεσθαι τῶν τέκνων.

ΚΛ. Σὺ δ' ὦ γέρον, πόθεν ταῦτ' ἔχεις μεμαθηκώς;

ΠΡ. Γράμματ' ἀπεςάλην κομίσων σοι πρὸς τὰ πρῶτα.

ΚΛ. Πότερον, συγκελεύοντ' ἢ ἀπαγορεύοντ' ἄγειν με τὴν παῖδα;

ΠΡ. Μὰ Δί', ἀλλ' ἀπαγορεύοντα, εὖ φρονοῦντος τότε τοῦ δεσπότου.

ΚΛ. Ἔπειτα πῶς οὐκ ἔδωκάς μοι τὴν δέλτον φέρων;

ΠΡ. Μενέλαος γὰρ, ὃς τούτων αἴτιος, ἀφείλετό μου λαβὼν ἐκείνην.

ΚΛ. Σὺ δ' ὦ τέκνον Νηρηΐδος τῆς θεοῦ καὶ Πηλέως, ἀκούεις ταῦτα;

ΑΧ. Μανθάνω σε ἀθλίαν οὖσαν· ἀλλὰ καὶ τὸ ἐμαυτοῦ οὐ κούφως φέρω.

ΚΛ. Τὴν ἐμὴν παῖδ' ἀποσφάζουσιν οὗτοι, τοῖς σοῖς ἐξαπατήσαντες γάμοις.

ΑΧ. Μέμφομαι κἀγὼ ταῦτα τῷ σῷ γαμέτῃ, καὶ τοὐμὸν μέρος βαρέως φέρω.

ΚΛ. Οὔκουν ἂν αἰδοίμην τοῖς σοῖς προσπεσεῖν γόνασι, θνητή γ' οὖσα αὐτὴ, σοὶ τῷ ἐκ θεᾶς γεγονότι· τί γὰρ ἂν σεμνυναίμην, ἀγῶνός μοι πάντων ἀγώνων μεγίςου προκειμένου περὶ σωτηρίας τῶν παίδων; ἀλλ' ἄμυνον, θεοείκελε Ἀχιλλεῦ, ἐμοί τε τῇ μητρὶ δυςυχούσῃ, καὶ τῇ θυγατρὶ, μάτην μὲν σῇ γυναικὶ προσαγορευθείσῃ, ἀλλ' ὅμως ἐς τοῦτ' αὐτὴν ἐγὼ ἧκον ἄγουσα· νῦν δ' ἐπὶ σφαγὴν μέλλω ἄξειν· ὃ καὶ σοί γ' αὐτῷ εἰς ὄνειδος, ἢν μὴ ἀμύνῃς, ἔςαι· εἰ γὰρ καὶ μὴ συνηρμόσω σεαυτῷ τὴν παρθένον

Ἀλλ' ἐκλήθης γοῦν ταλαίνης παρθένου φίλος πόσις.
Πρὸς γενειάδος σε, πρὸς σῆς δεξιᾶς, πρὸς μητέρος.
Ὄνομα γάρ τὸ σόν μ' ἀπώλεσ'. ᾧ σ' ἀμυνάθειν χρεών.
Οὐκ ἔχω βωμὸν καταφυγεῖν ἄλλον, ἢ τὸ σὸν γόνυ,
Οὐδὲ φίλος οὐδεὶς γελᾷ μοι· τὰ δ' Ἀγαμέμνονος κλύεις
Ὠμὰ καὶ πάντολμ'· ἀφῖγμαι δ', ὥσπερ εἰσορᾷς, γυνὴ,
Ναυτικὸν στράτευμ' ἄναρχον κἀπὶ τοῖς κακοῖς θρασὺ,
Χρήσιμον δ', ὅταν θέλωσιν· ἢν δὲ τολμήσῃς σύ μου
Χεῖρ' ὑπερτεῖναι, σεσώσμεθ'· εἰ δὴ μὴ, οὐ σεσώσμεθα.

ΧΟ. Δεινὸν τὸ τίκτειν, καὶ φέρει φίλτρον μέγα
Πᾶσίν τε κοινὸν, ὥσθ' ὑπερκάμνειν τέκνων.

ΑΧ. Ὑψηλόφρων μοι θυμὸς αἴρεται πρόσω,
Ἐπίσταται δὲ τοῖς κακοῖσί τ' ἀσχαλᾷν,
Μετρίως τε χαίρειν τοῖσιν ἐξωγκωμένοις.

ΧΟ. Λελογισμένοι γὰρ οἱ τοιοίδ' εἰσὶν βροτῶν,
Ὀρθῶς διαζῆν τὸν βίον γνώμης μέτα.

ΑΧ. Ἔστιν μὲν οὖν, ἵν' ἡδὺ, μὴ λίαν φρονεῖν,
Ἔστιν δὲ χὤπου χρήσιμον, γνώμην ἔχειν.
Ἐγὼ δ' ἐν ἀνδρὸς εὐσεβεστάτου τραφεὶς,
Χείρωνος, ἔμαθον τοὺς τρόπους ἁπλοῦς ἔχειν.
Καὶ τοῖς Ἀτρείδαις, ἢν μὲν ἡγῶνται καλῶς,
Πεισόμεθ'· ὅταν δὲ μὴ καλῶς, οὐ πείσομαι.
Ἀλλ' ἐνθάδ', ἐν Τροίᾳ τ', ἐλευθέραν φύσιν
Παρέχων, Ἄρη τὸ κατ' ἐμὲ κοσμήσω δορί.
Σὲ δ', ὦ σχέτλια παθοῦσα πρὸς τῶν φιλτάτων,
Ἃ δὴ κατ' ἄνδρα γίγνεται νεανίαν,

ἀλλ' ἀμηγέπως προσηγορεύθης αὐτῆς νυμφίος· ναὶ, πρὸς τῆς γενειάδος αὐτῆς, πρός τε δεξιᾶς τῆς σῆς, πρός τε μητρὸς Θέτιδος· τοὔνομα γὰρ ὁρᾷς ὅπως τὸ σὸν ἀπώλεσέ με, ᾧ ἀμύνειν ἐκ παντὸς ὀφείλεις τρόπου· ἄλλην δὲ καταφυγὴν εὑρεῖν οὐκ ἂν ἔχοιμι· σύ μοι νῦν βωμὸς, σὺ καὶ γόνυ· φίλος δ' ἄλλος οὐδεὶς προσφθέγγεταί με, οὐδὲ ἡδέως βλέπει· κἀπὶ τούτοις οἶσθα καὶ Ἀγαμέμνον' αὐτὸν ὠμόν τε καὶ πάντολμον ὄντα· ἐγὼ δ' ἀφῖγμαι εἰς ναυτικὴν ἀναρχίαν, ἀκρατῆ μὲν ἐν κακοῖς γιγνομένην, χρήσιμον δ' εἴποτ' ἐθέλοι. Οὐκοῦν ἐπὶ σοὶ κεῖται ἡμᾶς σωθῆναι, ἢ μὴ, χεῖρα βοηθείας ὀρέξαντι, ἢ μὴ ποιήσαντι τοῦτο.

ΧΟ. Δεινόν γε τὸ τίκτειν, καὶ εἰς φίλτρον μέγ' ἄγει· κοινῇ γὰρ πεφύκασιν ἅπαντες ἐθέλειν ἀγωνίζεσθαι περὶ παίδων.

ΑΧ. Ἡ μὲν μεγαλόφρων μοι ψυχὴ πρόσω ἐξάλλεται πολλῷ· ἀλλ' ἅμ' ἐπίσταται ἀγανακτεῖν μὲν πρὸς τὰ κακὰ, ἐν δὲ ταῖς εὐτυχίαις μετρίως φρονεῖν.

ΧΟ. Σοφόν γε πάντως διάγειν ἐν πᾶσι τὸν βίον σὺν φρονήσει.

ΑΧ. Ἔςι μὲν οὖν ἐν τοῖς ἡδέσι μὴ μέγα φρονεῖν· ἔςι δ' ὅπου ὠφέλιμον σοφὸν εἶναι· ἐγὼ γὰρ ὑπὸ Χείρωνι τραφεὶς ἀνδρὶ εὐσεβεστάτῳ, ἁπλοῦς τοὺς τρόπους πεπαίδευμαι ἔχειν· διὸ τοῖς Ἀτρείδαις, καλῶς μὲν ἡγουμένοις, πείσομαι· μὴ καλῶς δὲ, οὐκ ἄν· ἀλλ' ἐνταῦθά τε καὶ ἐν Τροίᾳ ὁμοίως, τὸ ἐν ἐμοὶ ἐπιδεικνύμενος ἐλεύθερον, Ἄρην τόγ' ἐπ' ἐμοὶ ἰδίᾳ κοσμήσω τοῖς ὅπλοις· σὲ δ', ὦ δεινὰ πρὸς τῶν οἰκειοτάτων παθοῦσα, οἴκτῳ πολλῷ συσχεθεὶς, οἷα συμβαίνει μάλιςα ἀνδρὶ νεανίᾳ, ἀμύνων

Τοσοῦτον οἶκτον περιβαλὼν, καταϛελῶ,
Κοὔποτε κόρη σὴ πρὸς πατρὸς σφαγήσεται,
Ἐμὴ φατισθεῖσ᾽· οὐ γὰρ ἐμπλέκειν πλοκὰς
Ἐγὼ παρέξω σῷ πόσει τοὐμὸν δέμας.
Τοὔνομα γὰρ, εἰ καὶ μὴ σίδηρον ἤρατο,
Τοὐμὸν φονεύσει παῖδα σήν. τὸ δ᾽ αἴτιον
Πόσις σός· ἁγνὸν δ᾽ οὐκέτ᾽ ἐστὶ σῶμ᾽ ἐμὸν,
Εἰ δι᾽ ἔμ᾽ ὀλεῖται διά τε τοὺς ἐμοὺς γάμους
Ἡ δεινὰ τλᾶσα κοὐκ ἀνεκτὰ παρθένος,
Θαυμαστὰ δ᾽ ὡς ἀνάξι᾽ ἠτιμασμένη.
Ἐγὼ κάκιστος ἦν ἄρ᾽ Ἀργείων ἀνὴρ,
Ἐγὼ τὸ μηδὲν, Μενέλεως δ᾽ ἐν ἀνδράσιν,
Ὡς οὐχὶ Πηλέως, ἀλλ᾽ ἀλάστορος γεγὼς,
Εἴπερ φονεύει τοὐμὸν ὄνομα σῷ πόσει.
Μὰ τὸν δι᾽ ὑγρῶν κυμάτων τεθραμμένον
Νηρέα, φυτουργὸν Θέτιδος, ἥ μ᾽ ἐγείνατο,
Οὐκ ἅψεται σῆς θυγατρὸς Ἀγαμέμνων ἄναξ
Οὐδ᾽ εἰς ἄκραν χεῖρ᾽, ὥϛε προσβαλεῖν πέπλοις.
Ἢ Σίπυλος ἔσται πόλις, ὅρισμα βαρβάρων,
Ὅθεν πεφύκασ᾽ οἱ στρατηλάται γένος,
Φθίας δὲ τοὔνομ᾽ οὐδαμοῦ κεκλήσεται.
Πικροὺς δὲ προχύτας χέρνιβάς τ᾽ ἐνάρξεται
Κάλχας ὁ μάντις. τίς δὲ μάντις ἔστ᾽; ἀνὴρ,

---

923. Οἶκτον] ἴσως ὄχλον· ἵνα ᾖ τοσοῦτον ὄχλον σοι ϛρατιωτῶν περιβαλὼν, περικαλύψω· ὅπερ ἂν πράξειεν ἀνὴρ νεανίας μάλιστα καὶ φιλότιμος. 925. Ἐμπλέκειν πλοκὰς] δόλους ἐπὶ τῷ ὀνόματί μου μηχανᾶσθαι. 636. Εἴπερ φονεύει]

περιστελῶ· καὶ ἴσθι τὴν σὴν παῖδα, ἐπειδὴ ἅπαξ ἐμὴ προσηγορεύθη γυνὴ, μηδὲν ὑπὸ τοῦ πατρὸς πεισομένην· οὐ γὰρ ἂν παρασχοίμην ἔγωγ᾽ ἐμαυτὸν Ἀγαμέμνονι χρῆσθαι πρὸς τὸ ἐμπλέκειν δόλους· ἢ οὐκ οἶδεν ἐκεῖνος, ὡς τοὐμὸν ὄνομα καὶ ἄνευ σιδήρου φονεύει τὴν σὴν κόρην. καὶ αἴτιος μὲν ἐκεῖνος, οἶδα τοῦτο· ἀλλ᾽ οὐδὲ τοὐμὸν σῶμα καθαρὸν ἂν εἴη, εἰ διὰ τοὺς ἐμοὺς γάμους ἀποθανεῖται ἡ δεινὰ μὲν ἐπαπειλουμένη, παράδοξα δὲ, ὡς ἀναξίως πάσχουσα ταῦτα, κόρη· κάκιςος ἄρ᾽ ἐγὼ καὶ μηδαμινὸς ἐν Ἀργείοις, Μενέλαος δὲ πολὺς ἐν ἀνδράσιν, ὡς δῆθεν μὴ ἐκ Πηλέως, ἀλλά τινος γεγενημένος ἀλάστορος, εἴγε τοὐμὸν ὄνομα χρήσιμον εἴη τῷ σῷ ἀνδρὶ πρὸς φόνους. Ἀλλὰ μὰ τὸν ἐν τοῖς ὕδασιν ἀνατεθραμμένον Νηρέα, τὸν γεννήτορα Θέτιδος τῆς ἐμαυτοῦ μητρὸς, οὐχ ἅψεται Ἀγαμέμνων τῆς σῆς θυγατρὸς, οὐδ᾽ ἄκρῳ δακτύλῳ θίξει τῶν πέπλων αὐτῆς. εἰ δὲ μὴ, Σίπυλος ἄρα μόνη ἔςαι πόλις ἐν δόξῃ, τὰ ὅρια τῶν βαρβάρων, ὅθεν Ἀτρεῖδαι ἕλκουσι τὸ γένος· ἡ δὲ Φθία, τοὐμὸν φίλον ἔδαφος ἐν Καρὸς ἔςαι μοίρᾳ. Πικροὺς δ᾽ οὐλοχύτας καὶ χέρνιβας ἐνάρξεται εἰς τὸν βωμὸν καὶ Κάλ-

εἰ χρῶνται τῷ ἐμῷ ὀνόματι πρὸς τὸ φονεύειν, ἐγὼ οὐκ εἰμὶ ἀνὴρ, ἀλλὰ δαίμων τις ἀλάςωρ· τὸ δὲ. Σῷ πόσει, χαριστικῶς ἀναφέρεται πρὸς τὸ φονεύει.
941. Ἢ Σίπυλος] εἰ δὲ μὴ, μία πολις ἐστὶν ἐπὶ γῆς, ἡ Σίπυλος, καὶ τὸ γένος τῶν Ἀτρειδῶν· ἡμεῖς δ᾽ οὐδένες· ἐκ γὰρ Σιπύλου τῆς Φρυγίας ἦλθε Πέλοψ εἰς

Ὅς ὀλίγ' ἀληθῆ, πολλὰ δὲ ψευδῆ λέγει,
Τυχών· ὅταν δὲ μὴ τύχῃ, διοίχεται.
Ἢ τῶν γάμων ἕκατι μυρίαι κόραι
Θηρῶσι λέκτρον τοὐμόν· εἴρηται τόδε.
Ἀλλ ὕβριν ἐς ἡμᾶς ὕβρισ' Ἀγαμέμνων ἄναξ.
Χρῆν δ' αὐτὸν αἰτεῖν τοὐμὸν ὄνομ' ἐμοῦ πάρα,
Θήραμα παιδός· ἡ Κλυταιμνήστρα δέ μοι
Μάλιστ' ἐπείσθη θυγατέρ' ἐκδοῦναι πόσει·
Ἔδωκά τ' ἂν Ἕλλησιν, εἰ πρὸς Ἴλιον
Ἐν τῷδ' ἔκαμνε νόστος· οὐκ ἠρνούμεθ' ἂν
Τὸ κοινὸν αὔξειν, ὧν μέτ' ἐστρατευόμην.
Νῦν δ' οὐδέν εἰμι παρά γε τοῖς στρατηλάταις,
Ἐν εὐμαρεῖ τε δρᾷν τε, καὶ μὴ δρᾷν καλῶς.
Τάχ' εἴσεται σίδηρος, ὃν πρὶν ἐς Φρύγας
Ἐλθεῖν, φόνου κηλῖσιν αἵματι χρανῶ,
Εἴ τίς με τὴν σὴν θυγατέρ' ἐξαιρήσεται.
Ἀλλ' ἡσύχαζε. θεὸς ἐγὼ πέφηνά σοι
Μέγιστος, οὐκ ὤν. ἀλλ' ὅμως γενήσομαι.
ΧΟ. Ἔλεξας, ὦ παῖ Πηλέως, σοῦ τ' ἄξια
Καὶ τῆς ἐναλίας δαίμονος, σεμνῆς θεοῦ·
ΚΛ· (Φεῦ!) πῶς ἄν σ' ἐπαινέσαιμι μὴ λίαν λόγοις,

---

Πελοπόννησον τὸ πάλαι. 947. Τυχὼν] εἰ τύχοι μὲν ἀληθεύων, μέγας· εἰδὲ μὴ, ψευδόμενος, οἴχεται. 949. Εἴρηται τόδε] πότερον, ὁ γάμος οὗτος, ἢ τὸ εἰρημένον ὡμολόγηται παρὰ πάντων; αδιανόητον πως τοῦτο δοκεῖ· διὸ διορθοῖ τις

χας· πῶς γὰρ ἂν εἴη μάντις ὁ ὀλιγάκις μὲν λέγων ἀληθῆ, πολλάκις δὲ ψευδόμενος; καὶ τυχὼν μὲν, σεμνός· μὴ τυχὼν δὲ, καταδύεται; Ὅσον μέντοι ἕνεκα γάμου μυρίας ὁρῶ τῶν παρθένων πρὸς ἐμὲ ἀφορώσας, καὶ τοῦθ' ὡμολόγηται· ἀλλ' Ἀγαμέμνων ἐξύβρισεν εἰς ἐμὲ, τῷ ἐμῷ ὀνόματι ἐπὶ σκευωρίᾳ χρησάμενος· ἐχρῆν γὰρ αὐτὸν, εἴπερ, τὴν ἐμὴν λαβεῖν γνώμην, εἴγ' ἐβούλετο ὡς δόλῳ τούτῳ χρήσασθαι πρὸς τὴν κόρην· ἥτε γὰρ Κλυταιμνήστρα οὕτω μάλιστ' ἐπείσθη ἂν ἐκδοῦναι τὴν παῖδα, κἀγὼ συνεχώρουν τοῖς Ἕλλησι, τοῦτ' αἰτήσασιν, εἰ ἐπὶ τούτῳ ἦν τὸ ἐπὶ Φρύγας ςρατεύειν· ὃ γὰρ ἤμελλε συνοίσειν τῷ κοινῷ, οἷς κἀγὼ συςρατεύομαι, πῶς ἂν τοῦτ' ἀρνηθείην; νῦν δ' ὡς ἔοικε, μηδὲν εἰμὶ παρὰ τοῖς ςρατηγοῖς· ἀλλ' ἐν ἴσῳ αὐτοῖς δοκεῖ εἶναι, εἴτε καλῶς εἴτε μὴ καλῶς πράττουσιν, ὅ,τι πράττοιεν τῷ ἐμῷ ὀνόματι χρώμενοι. Ἀλλ' ἤ τούγε τὸ ξίφος, τόδ' εἴσεται, ὃ πρὶν ἢ ἐλθεῖν ἐπὶ Τροίαν ἐμπλήσω λύθρου, εἴτις με τὴν σὴν θυγατέρα ἐξελεῖν πειραθείη· Σὺ τοίνυν ἀτρέμας ἔχε, θεόν σοι μέγιςον νομίζουσα πεφηνέναι με, οὐκ ὄντα μὲν, ἐσόμενον δέ.

ΧΟ. Ἄξια ταῦτ' εἴρηταί σοι, ὦ παῖ Πηλέως, ἄξια σοῦ τε καὶ Θέτιδος τῆς σῆς ποτνίας μητρός.

ΚΛ. Φεῦ· πῶς ἂν δυναίμην οὕτω σε πρὸς γνώμον' ἐπαινέσαι

---

μεταβάλλων εἰς τὸ, εἰ δρᾶται τόδε. 960. Κηλῖσιν αἵματι] τί ὅτι μὴ γραπ-

Μήτ' ἐνδεὴς τοῦδ' ἀπολέσαιμι τὴν χάριν;
Αἰνούμενοι γὰρ οἱ 'γαθοὶ τρόπον τινὰ,
Μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶσ' ἄγαν.
Αἰσχύνομαι δὲ παραφέρουσ' οἰκτροὺς λόγους,
Ἰδίᾳ νοσοῦσα. σὺ δ' ἄνοσος κακῶν ἐμῶν.
Ἀλλ' οὖν ἔχει τι σχῆμα, κᾂν ἄπωθεν ᾖ,
Ἀνὴρ ὁ χρηστὸς, δυστυχοῦντας ὠφελῶν.
Οἴκτειρε δ' ἡμᾶς· οἰκτρὰ γὰρ πεπόνθαμεν.
Ἣ πρῶτα μὲν σε γαμβρὸν οἰηθεῖσ' ἔχειν,
Κενὴν κατέσχον ἐλπίδ'· εἶτά σοι τάχα
Ὄρνις γένοιτ' ἂν τοῖσι μέλλουσιν γάμοις
Θανοῦσ' ἐμὴ παῖς, ὅ σε φυλάξασθαι χρεών.
Ἀλλ' εὖ μὲν ἀρχὰς εἶπας, εὖ δὲ καὶ τέλη.
Σοῦ γὰρ θέλοντος, παῖς ἐμὴ σωθήσεται.
Βούλει νιν ἱκέτιν σὸν περιπτύξαι γόνυ;
Ἀπαρθένευτα μὲν τάδ'· εἰ δὲ σοι δοκεῖ,
Ἥξει, δι' αἰδοῦς ὄμμ' ἔχουσ' ἐλεύθερον.
Ἢ μὴ παρούσης, ταὐτὰ τεύξομαι σέθεν;
ΑΧ. Μενέτω κατ' οἴκους· σεμνὰ γὰρ σεμνύνεται.
ΚΛ. Ὅμως δ' ὅσον γε δυνατὸν, αἰδεῖσθαι χρεών.
ΑΧ. Σὺ μήτε σὴν παῖδ' ἔξαγ' ὄψιν εἰς ἐμὴν,
Μήτ' εἰς ὄνειδος ἀμαθὲς ἔλθωμεν γύναι.
Στρατὸς γὰρ ἀθρόος, ἀργὸς ὢν τῶν οἴκοθεν,
Λέσχας πονηρὰς καὶ κακοστόμους φιλεῖ.

---

τέον, αἵματος; ἵν' ἀποδιδῷτο κτητικῶς εἰς τὸ, κηλῖσιν. 969. Μισοῦσι τοὺς αἰνοῦντας] τὸ δ' αὐτὸ κἀν Ὀρέστῃ. στίχ. 1163.

» Βάρος τι κἀν τῷδ' ἐστιν αἰνεῖσθαι λίαν.

ὥςε μήθ᾽ ὑπερβάλλουσαν φορτικὴν καὶ ψυχρὰν τοῖς λόγοις γενέσθαι, μήτε λειπομένην, ἀπολέσαι τὴν χάριν ἀγνώμονα δόξασαν; οἶδα γὰρ τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων πρὸς τὰς ὑπερβολὰς δυσχεραίνοντας τῶν ἐπαίνων· αἰσχύνομαι δὲ οἰκτροὺς λόγους σοι προσάγειν, ἴδια κακὰ ἐκτραγωδοῦσα· τί γὰρ ἂν μέλοι σοι τῆς ἐμῆς δυςυχίας, πλέοντι ἐξ οὐρίας; ἀλλ᾽ οὖν γ᾽ ὁ ἀγαθὸς, κἂν ξένος ᾖ, ἔχει πρόφασιν ἀεὶ βοηθεῖν τοῖς δυςυχοῦσι. Οἴκτειρε τοίνυν ἡμᾶς, θεείκελε Ἀχιλλεῦ, οἰκτρὰ πεπονθότας· πρῶτον μὲν γὰρ γαμβρόν σε ταῖς ἐλπίσι λαβοῦσα, ἐψεύσθην· ἔπειθ᾽ ἡ ἐμὴ παῖς θανοῦσα, οἰωνός σοι γένοιτ᾽ ἂν πρὸς τοὺς μέλλοντας γάμους, ὅσε φυλάξασθαι δεῖ· Εἴης οὖν μοι σύμφωνον τοῖς προοιμίοις ἐπιθεὶς καὶ τὸ τέλος· ἐὰν γὰρ ἐθελήσῃς, ἡ ἐμὴ σωθήσεται παῖς· Βούλει οὖν καὶ ταύτην, ἱκέτιν σου γενομένην, τὸ σὸν περιπτύξασθαι γόνυ; οἶδα μὲν τοῦτ᾽ οὐκ ὂν εὐπρεπὲς τῇ παρθένῳ· ἀλλ᾽ εἰ δοκεῖ σοι, ἥξει, ἐλεύθερον δι᾽ αἰδοῦς παρέχουσα ὄμμα· ἢ καὶ μὴ παρούσης ἐκείνης ἐπαρκέσεις μοι ταῦτα;

ΑΧ. Ἐχέτω ἐκείνη ἀτρέμας οἴκοι· τὰ γὰρ σεμνὰ ἀεὶ ἐπαινεῖται.

ΚΛ. Ἀλλὰ δεῖ καὶ τὸ σεμνὸν μὴ περαιτέρω καιροῦ φυλάττειν.

ΑΧ. Ἄφες τὴν παῖδα μένειν, ἔνθα μένει, ἀθέατον ὅλως τοῖς ἐμοῖς γ᾽ ὀφθαλμοῖς, ἵνα μήτις ἡμῖν ἐντεῦθεν προςριβῇ μῶμος· ςρατὸς γὰρ, ἀργὸς ὢν τῶν οἴκοι, ἀκόλαςός ἐστι, καὶ πρὸς λέσχας πονηρὰς καὶ κακηγορίας

Πάντως δὲ μ' ἱκετεύοντες ἥξετ' εἰς ἴσον,
Ἤν τ' ἀνικέτευτος ᾖς, ἐμοὶ γάρ ἐστ' ἀγὼν
Μέγιστος, ὑμᾶς ἐξαπαλλάξαι κακῶν.
Ὥς ἕν γ' ἀκούσασ', ἴσθι μὴ ψευδῶς μ' ἐρεῖν.
Ψευδῆ λέγων δὲ καὶ μάτην σ' ἐγκερτομῶν,
Θάνοιμι, μὴ θάνοιμι δ', ἢν σώσω κόρην.
ΚΛ. Ὄναιο, συνεχῶς δυστυχοῦντας ὠφελῶν.
ΑΧ. Ἄκουε δή νυν, ἵνα τὸ πρᾶγμ' ἔχῃ καλῶς.
ΚΛ. Τί τοῦτ' ἔλεξας; ὡς ἀκουστέον γέ σου.
ΑΧ. Πείθωμεν αὖθις πατέρα βέλτιον φρονεῖν.
ΚΛ. Κακός τίς ἐστι, καὶ λίαν ταρβεῖ στρατόν.
ΑΧ. Ἀλλ' οἱ λόγοι γε καταπαλαίουσιν λόγους.
ΚΛ. Ψυχρὰ μὲν ἐλπίς· ὅ,τι δὲ χρή με δρᾶν, φράσον.
ΑΧ. Ἱκέτευ' ἐκεῖνον πρῶτα, μὴ κτείνειν τέκνα·
Ἢν δ' ἀντιβαίνῃ, πρὸς ἐμέ σοι πορευτέον.
Εἰ γὰρ τὸ χρῇζον ἐπίθετ', οὐ τοὐμὸν χρεὼν
Χωρεῖν· ἔχει γὰρ τοῦτο τὴν σωτηρίαν,
Κἀγώ τ' ἀμείνων πρὸς φίλον γενήσομαι.
Στρατός τ' ἂν οὐ μέμψαιτό μ', εἰ τὰ πράγματα
Λελογισμένως πράσσοιμι μᾶλλον, ἢ σθένει.
Καλῶς δὲ κρανθέντων, πρὸς ἡδονὴν φίλοις
Σοί τ' ἂν γένοιτο κἂν ἐμοῦ χωρὶς τάδε.

---

992. Ἀνικέτευτος] πολλὰ πολλάκις τῶν παθητικῶν ὀνομάτων τὸ στερητικὸν Α προσλαβόντα εἰς δύναμιν ἐνεργητικὴν μεταβάλλει· οἷον, ἀθέατος, ἀπείρατος, ἄνευκτος, ἀνικέτευτος, καὶ ἀπαρθένευτος μικρὸν ἀνωτέρω. 1095. Ψευδῆ λέγων δὲ] ὁ Δὲ εἰλήφθω αἰτιολογικὸς ἀντὶ τοῦ Γάρ 1006. Ἐπίθετ'] τί οὐχὶ γραπτέον, Πείθετ'; ὁ δὲ νοῦς, εἰ πεισθείη, ὃ σὺ αἰτεῖς παρ' αὐτοῦ, τὸ δέον, τὸ

ἐπιῤῥεπέστατος· ἡ δὲ ἱκετεία ἐν ἴσῳ ἔσται, εἰ καὶ μὴ ἱκετεύετε τὴν ἀρχήν· ἐγὼ γὰρ ὁρῶ μέγιστον παριστάμενόν μοι ἀγῶνα πειραθῆναι ἀπαλλάξαι ὑμᾶς τῶν ἐπικειμένων κακῶν· σὺ δ' ἐκεῖνο πρῶτον, ὧν λέγω, ἀληθείας καὶ ἁπλότητος τῆς ἐμῆς τεκμήριον ἔχε· εἰ μὲν γὰρ κερτομῶν, ταῦθ' ὑπισχνοῦμαι ψευδῆ, τεθναίην· εἰ δ' ἀληθῆ καὶ ἁπλᾶ, ὥστε διασῶσαί σοι τοῦ κινδύνου τὴν παῖδα, ζῴην· εἴρηται.

ΚΛ. Ὄναιο σύγε, δυςυχοῦσιν ἀεὶ συντελῶν πρὸς σωτηρίαν.

ΑΧ. Ἀλλ' ὅπως καλῶς ἕξει ταῦθ', ἕν ἐκεῖνό μοι πείθου.

ΚΛ Τί ποτε τοῦτο φής; βούλομαι γὰρ εἰδέναι.

ΑΧ. Μεταπειςέον σοι τὸν πατέρα μεταμελεῖσθαι λόγῳ.

ΚΛ. Ἀλλὰ κακός γ' οὗτος, ὡς λίαν δεδιὼς τὸν ςρατόν.

ΑΧ. Οὕτω πολλάκις λόγοις οἱ λόγοι καταπαλαίονται.

ΚΛ. Ἀβληχρὰν μέν τινα καὶ ἀδύνατον συνορῶ ἐντεῦθεν οὖσαν ἡμῖν ἐλπίδα, πλὴν δίδασκε ὅ,τι χρὴ πράττειν.

ΑΧ. Ἱκέτευε πρῶτον προσπεσοῦσα ἐκεῖνον τῶν ἑαυτοῦ παίδων φείδεσθαι· εἰ δ' οὐ πείθεις, τηνικαῦτα τρεπτέον σοὶ πρὸς τὰ δεύτερα, τὴν ἐμὴν αἰτεῖσθαι βοήθειαν· πεισθέντος γὰρ ταῦτ' ἐκείνου, τῶν παρ' ἐμοῦ οὐδέν σοι δεήσει· ἱκανὸν γὰρ ἐκεῖνο πρὸς σωτηρίαν· οὕτω δὲ ὅ,τε ςρατὸς οὐκ ἂν μέμψαιτό με, λόγῳ μᾶλλον, ἢ σθένει συμπράσσοντα ταῦτα, κἀγὼ βελτίων ἔσομαι πρὸς τὸν φίλον· καλῶς δ' οὕτω πραχθέντων τούτων, σοί τε ἂν ἥδιστον εἴη, καὶ τοῖς τὰ σὰ φιλοῦσιν ὁμοίως, κἂν χωρὶς τῆς ἐμῆς βοηθείας καταπραχθῇ τὸ πρᾶγμα.

---

βουλόμενον. 1009. Εἰ τὰ πράγματα] ἀπόδος κατωτέρω τοῦτο εἰς τὸ, πράσσοιμι· τὰ δ' ἄλλα ἐν παρενθέσει· μᾶλλον ἐναλλάσσειν τοὺς στίχους δεῖ, προτάττοντας τὸ, Κἀγὼ, τοῦ ςρατός; καὶ λ.π.

ΚΛ. Ὡς σώφρον' εἶπας! δραστέον δ', ἅ σοι δοκεῖ.
Ἢν δ' αὐτὰ μὴ πράσσωμεν, ἃ 'ν ἐγὼ θέλω,
Ποῦ σ' αὖθις ὀψόμεσθα, ποῦ χρή μ' ἀθλίαν
Ἐλθοῦσαν εὑρεῖν σὴν χέρ' ἐπίκουρον κακῶν;

ΑΧ. Ἡμεῖς σε φύλακες, οὗ χρεὼν, φυλάσσομεν,
Μή τις σ' ἴδῃ στείχουσαν ἐπτοημένην
Δαναῶν δι' ὄχλου· μηδὲ πατρῷον δόμον
Αἴσχυν'· ὁ γάρ τοι Τυνδάρεως οὐκ ἄξιος
Κακῶς ἀκούειν· ἐν γὰρ Ἕλλησιν μέγας.

ΚΛ. Ἔσται τάδ'. ἄρχε· σοί με δουλεύειν χρεών.
Εἰ δ' εἰσὶ θεοὶ, δίκαιος ὢν ἀνὴρ σύ γε,
Ἐσθλῶν κυρήσεις· εἰ δὲ μὴ, τί δεῖ πονεῖν;

ΧΟ. Τίς ἄρ' ὑμέναιος διὰ λωτοῦ Λίβυος (Στρ.)
Μετά τε φιλοχόρου κιθάρας,
Συρίγγων θ' ὕπο καλαμόεσσαν
Ἔστασαν ἰαχὰν,
Ὅτ' ἀνὰ Πήλιον αἱ καλλιπλόκαμοι
Πιερίδες ἐν δαιτὶ θεῶν
Χρυσεοσάνδαλον ἴχνος
Ἐν γᾷ κρούουσαι,
Πηλέος εἰς γάμον ἦλθον,
Μελῳδοὶ Θέτιν ἰαχήμασι τόν τ' Αἰακίδαν
Κενταύρων ἀν' ὄρεσι κλείουσαι
Πηλιάδα καθ' ὕλαν;
Ὁ δὲ Δαρδανίδας, Διὸς
Λέκτρων τρύφημα φίλον,
Χρυσέοισιν ἄφυσσε λοιβὰν
Ἐν κρατήρων γυάλοις.

ΚΛ. Ὡς γενναῖα καὶ συνετὰ εἴρηταί σοι· καί μοι πρακτέον οὕτως· ἢν δὲ μὴ προχωρῇ ἡμῖν, ἃ σκοποῦμεν, ποῦ ἐντευξόμεθά σοι αὖθις; ἢ ποῦ με χρὴ τὴν ἀθλίαν ἐλθοῦσαν, ἐπικουρίαν τινὰ εὑρέσθαι;

ΑΧ. Ἔχ᾽ ἀτρέμας· ἐγὼ γὰρ φυλάξω ἔξωθεν τὰ εἰκότα, ἔνθα δέοι· σὺ δ᾽ ἔχ᾽ ἡσύχως αὐτοῦ καθημένη· οὐ γὰρ χρή σε ὁρᾶσθαι διὰ τοῦ ςρατοῦ διϊοῦσαν ἐπτοημένην, θυγατέρα οὖσαν Τυνδάρεω· οὐ μέγ᾽ ἐστὶν ἀξίωμα ἐν τοῖς Ἕλλησι τούτου αὐτοῦ καὶ πάσης τῆς συγγενείας ποιοῦσαν ἀνάξια.

ΚΛ. Ἔςαι ταῦτα· νενίκηκας, κἀμὲ χρὴ πείθεσθαι ταῦτα πάντα· εἰ δέ εἰσι θεοὶ, σὺ δίκαιος ὢν ἀνὴρ, εὖ πράξεις· εἰ δὲ μὴ, τί χρὴ σπουδάζειν;

ΧΟ. Τίς ἄρ᾽ ἦν ὁ ὑμέναιος ἐκεῖνος; τίνα δὲ ᾠδὴν διά τε τῆς φιλοχόρου κιθάρας, καὶ τῶν δονακοφθόγγων συρίγγων ποτὲ ἀνεκρούοντο, ὁπόθ᾽ αἱ μελῳδοὶ καὶ εὐπλόκαμοι Μοῦσαι, τὸ χρυσοσάνδαλον κρατοῦσαι ἴχνος ἐπὶ τῆς γῆς, ἐς τὸν Πηλέως ἀφικόμεναι γάμον ἐν τῷ Πηλίῳ, ἔνθα οἱ θεοὶ εἰσιῶντο, θέτιν τε αὐτὴν τὴν Νηρέως, καὶ Πηλέα τὸν τοῦ Αἰακοῦ μέλεσι ἐπὶ τῶν Κενταυρίων ὀρέων ἐπὶ τὴν σκιὰν τῶν δένδρων ὕμνησαν ᾠδῇ; Ὅ,τε Γανυμήδης ὁ Δαρδάνου τοῦ Φρυγὸς, τὸ τοῦ Διὸς θέλγητρον καὶ ἐντρύφημα, ἐκπώμασι χρυσοῖς ἐκ τῶν κρατήρων ἐνέχει· καὶ πεντήκοντα νύμφαι, αἱ

Ὁ Φρύγιος Γανυμήδης.
Παρὰ δὲ λευκοφαῆ
Ψάμαθον εἱλισσόμεναι
Κύκλια, πεντήκοντα κόραι
Νηρῆος γάμους ἐχόρευσαν·
Ανὰ δ' ἐλάταισι στεφανώδει τε χλόᾳ (Ἀντ.)
Θίασος ἔμολεν ἱπποβότας
Κενταύρων ἐπὶ δαῖτα τὰν θεῶν
Κρατῆρά τε Βάκχου·
Μέγα δ' ἀνέκλαγον, ὦ Νηρηΐ κόρα,
Παῖδες αἱ Θεσσαλαὶ, μέγα φῶς,
Μάντις ὁ Φοῖβος, ὁ Μουσᾶν τ'
Εἰδὼς, γεννάσεις,
Χείρων ἐξωνόμασεν.
Ὃς ἥξει χθόνα λογχήρεσι σὺν Μυρμιδόνων
Ἀσπισταῖσι Πριάμοιο κλεινὰν
Γαῖαν ἐκπυρώσων,
Περὶ σώματι χρυσέων
Ὅπλων Ἡφαιστοπόνων
Κεκορυθμένος ἔνδυτ', ἐκ θεᾶς
Ματρὸς δωρήματ' ἔχων
Θέτιδος, ἅ νιν ἔτικτε
Μακάριον. Τότε δαί-
Μονες τᾶς εὐπατρίδος

---

1046. Ἀνὰ δὲ] ἐχρήσατο τῇ προθέσει Ἀνὰ πρὸς δοτικὴν (ἴδε ἀνωτέρῳ

Νηρηΐδες, ἐχόρευον κύκλῳ ἐν ψάμμῳ λευκῇ, τοὺς τῆς Θέτιδος γάμους ἐξυμνοῦσαι;

Θίασός τε ἱπποτρόφος Κενταύρων, κλάδοις ἐλάτης χλορᾶς καὶ ἄνθεσιν εὐώδεσιν ἐςεμμένος, εἰς τὴν τῶν θεῶν ἑςίασιν καὶ τὸν πότον τοῦ Βάκχου ἀφίκετο· ἔνθα αἱ Θεσσαλίδες μετὰ Φοίβου τοῦ τῶν Μουσῶν διδασκάλου ἀνέκραγον ταῦτα· ὦ Νηρηΐς κόρη, μέγα μέγα φῶς γεννήσεις. Χείρων δὲ ἐξονομάσει αὐτὸν Ἀχιλλέα· ὃς ἐλθὼν ἐπὶ Τροίαν σὺν Μυρμιδόνων ςρατῷ ὁπλοφόρῳ, πορθήσει τὴν τοῦ Πριάμου εὐδαίμονα χώραν, Ἡφαιστότευκτα ὅπλα περιτεθειμένος, Θέτιδος αὐτῷ τῆς μητρὸς δωρουμένης. Τότ' οὖν πρῶτον οἱ θεοὶ τὸν

---

στίχ. 760 καὶ 1035.) Ἀνά τε ναυσὶν καὶ σὺν ὅπλοις· ἀλλ' ἐνταῦθα δίδωσιν ἡμῖν ἐννοεῖν τι ἔξωθεν, οἷον τὰς Μούσας· οἷον, μεταξὺ δὲ τῶν Μουσῶν, ἔμολε καὶ θίασος. 1052. Μάντις θ' ὁ Φοῖβος] τὸ παρὸν χωρίον λίαν ἐστὶ σκοτεινὸν, ἐπὶ πολλὰς ἐπιῤῥέπον ἀμφιβόλους ἐννοίας· πότερον γὰρ παῖδας Θεσσαλίδας, τὰς παρθένους ἐννοητέον, ἢ τὰς Πιερίδας Μούσας; δεύτερον, τὸ Φοῖβος πρὸς τὸ, Ἀνέκλαγον ἀνωτέρω συντακτέον, ἢ ἕτερόν τι ἐξυπακουστέον ῥῆμα; τρίτον, τὸ, Ὁ μουσᾶν τ' εἰδὼς πρὸς, τὸ Φοῖβος συντακτέον, ἢ πρὸς τὸ Χείρων (καὶ γὰρ μουσικὸς ἦν καὶ οὗτος): τέταρτον, τὸ, Γεννάσεις, εἰς τὴν Κόρην ἀποδοτέον, ἀντὶ τοῦ τέξεις, ἢ ὀνοματικῶς ἐκληπτέον, τὰς γεννήσεις τῶν μουσῶν; Τούτων οὖν ἕκαστον ἔχει τι καὶ πιθανὸν καὶ ἀπίθανον· εἴη δ' ἂν εἰπεῖν τὸ παριστάμενον οὕτω· παῖδες δὲ Θεσσαλίδες, καὶ μάντις ὁ Φοῖβος ἀνέκραγον, ὦ Κόρη Νηρηΐς, μέγα φῶς (υἱὸν) γεννήσεις (ὃν) ὁ μουσῶν εἰδὼς (ὁ ἔμπειρος μουσικῆς) Χείρων ἐξονομάσει (Ἀχιλλέα)· ὃς ἥξει κτλ. Τοῦτο δὲ ἀνορθωθὲν σὺν μικρᾷ μεταβολῇ εἰς τὸ ὁμαλὸν ἕξει οὕτω· Παῖδες αἱ Θεσσαλαί. Μάντις θ' ὁ Φοῖβος ἀνέκλαγον μέγα, ὦ Νηρηῒ κόρα, μέγα γεννήσεις φῶς, ὃ (ἢ, ὃ δε) μουσῶν εἰδὼς Χείρων ἐξονομάσει (Ἀχιλλέα), ὃς ἥξει. καὶ τ.λ.

Γάμον Νηρῇδος ἔθεσαν
Πρώτας, Πηλέως θ' ὑμεναίους.
Σὲ δ' ἐπὶ κάρα στέψουσι καλλικόμαν (Ἐπῳδ.)
Πλόκαμον Ἀργεῖοι, βαλιὰν
Ὥστε πετρίων ἀπ' ἄντρων
Ἐλθοῦσαν ὀρέων μόσχον ἀκήρατον,
Βρότειον αἱμάσσοντες λαιμὸν,
Οὐ σύριγγι τραφεῖσαν, οὐδ'
Ἐν ῥοιβδήσεσι βουκόλων,
Παρὰ δὲ μητέρι νυμφοκόμον
Ἰναχίδαις γάμον.
Ποῦ τὸ τᾶς αἰδοῦς, ἢ τὸ τᾶς
Ἀρετᾶς δύνασιν ἔχει
Σθένειν τι πρόσωπον;
Ὁπότε τὸ μὲν ἄσεπτον ἔχει
Δύναμιν, ἁ δ' ἀρετὰ κατόπισθεν
Θνατοῖς ἀμελεῖται;
Ἀνομία δὲ νόμων κρατεῖ,
Καὶ κοινὸς ἀγὼν βροτοῖς,
Μή τις θεῶν φθόνος ἔλθῃ.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΙΦΙΓΕΝΕΙΑ, ΑΓΑΜΕΜΝΩΝ, ΧΟΡΟΣ
ΑΓΓΕΛΟΣ.

ΚΛ. Ἐξῆλθον οἴκων προσκοπουμένη πόσιν,

τῆς εὐγενοῦς Θέτιδος γάμον, καὶ τοὺς τοῦ Πηλέως ὑμεναίους ἐτίμησαν.

Σὲ δ', ὦ Ἰφιγένεια, στέφανον καλλίπλοκον ἐπὶ τῆς κεφαλῆς ἐπιθέντες οἱ Ἕλληνες, ἀναξίως καρατομήσουσιν, ὥσπερ μόσχον συλλαβόντες, βαλιὰν ἀπὸ τῶν τραγέων καταβᾶσαν ὀρέων ἀδάμαςον, οὐχ ὑπὸ σύριγγι, οὐδ' ὑπ' ᾠδαῖς τραφεῖσαν βουκόλων· ἀλλ' ὑπὸ μητρὶ, τὸν σὸν γάμον ἐν τοῖς τοῦ Ἰνάχου ἀπογόνοις παρασκευαζούσῃ. Ποῦ τοίνυν Αἰδὼς ἡ σεμνή; ποῦ δ' ἡ ἀρετὴ δύναιντ' ἂν κατορθοῦν, ὁπότ' ἰσχύει μὲν ἡ ἀναίδεια· ἡ δ' ἀρετὴ ἀμελουμένη καταφρονεῖται, καὶ ἡ ἀνομία κρατεῖ τῶν νόμων; ὥστε κοινὸς ὕπεστι φόβος πᾶσι, μήτις θεόθεν ὀργὴ κατέλθῃ.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ, ΙΦΙΓΕΝΕΙΑ, ΑΓΑΜΕΜΝΩΝ, ΧΟΡΟΣ ΑΓΓΕΛΟΣ.

ΚΛ. Ἐξῆλθον, τὸν ἐμαυτῆς ἄνδρα ἰδεῖν βουλομένη· χρόνιος γὰρ

1067. Σὲ δε] τὴν Ἰφιγένειαν στέψουσιν, καλλικόμαν πλόκαμον ἐπὶ κάρα θέντε οἱ Ἀργεῖοι· τὸ δὲ, βαλιὰν οὕτω ἀντὶ τοῦ Ἀλιὰν. 1074. Νυμφοκόμον] εἰμὲν γράψαιμεν ἐν δοτικῇ Νυμφοκόμῳ, ἑρμηνευθήτω, ὑπὸ τὴν μητέρα τὴν Ἀργείοις τον σὸν κομίζουσαν, εἴτουν ἑτοιμάζουσαν γάμον· ἄλλως δὲ οὐκ οἶδα. 1078. Πρόσωπον] το τῆς αιδοῦς πρόσωπον εἶπε διὰ τὸ σεμνόν. ὡς εἰ ἔλεγε. τὸ τῆς αἰδους και ἀρετῆς ἐξαίρετον, ἢ ἡ ἐξαιρετος καὶ σεπτὴ ἀρετὴ

Χρόνιον ἀπόντα κἀκλελοιπότα στέγας.
Ἐν δακρύοισι δ' ἡ τάλαινα παῖς ἐμὴ,
Πολλὰς ἱεῖσα μεταβολὰς ὀδυρμάτων,
Θάνατον ἀκούσασ', ὃν πατὴρ βουλεύεται,
Μνήμην δ' ἄρ' εἶχον πλησίον βεβηκότος
Ἀγαμέμνονος τοῦδ', ὃς ἐπὶ τοῖς αὑτοῦ τέκνοις
Ἀνόσια πράσσων αὐτίχ' εὑρεθήσεται.

ΑΓ. Λήδας γένεθλον, ἐν καλῷ σ' ἔξω δόμων
Εὕρηχ', ἵν' εἴπω παρθένου χωρὶς λόγους,
Οὓς οὐκ ἀκούειν τὰς γαμουμένας πρέπει.

ΚΛ. Τί δ' ἔστιν, οὗ σοι καιρὸς ἀντιλάζυται;

ΑΓ. Ἔκπεμπε παῖδα δωμάτων πατρὸς μέτα.
Ὡς χέρνιβες πάρεισιν εὐτρεπισμέναι,
Προχύται τε βάλλειν πῦρ καθάρσιον χεροῖν,
Μόσχοι τε πρὸ γάμων, ἃς θεᾷ πεσεῖν χρεὼν
Ἀρτέμιδι, μέλανος αἵματος φυσήματα.

ΚΛ. Τοῖς ὀνόμασιν μὲν εὖ λέγεις, τὰ δ' ἔργα σου
Οὐκ εἶδ' ὅπως χρή μ' ὀνομάσασαν, εὖ λέγειν.
Χώρει δὲ, θύγατερ, ἐκτὸς (οἶσθα γὰρ πατρὸς
Πάντως ἃ μέλλει) χὐπὸ σοῖς πέπλοις ἄγε
Λαβοῦσ' Ὀρέστην, σὸν κασίγνητον, τέκνον.
Ἰδοὺ πάρεστιν ἥδε πειθαρχοῦσά σοι.
Τὰ δ' ἄλλ' ἐγὼ πρὸ τῆσδε κἀμαυτῆς φράσω.

ΑΓ. Τέκνον, τί κλάεις, οὐδ' ἔθ' ἡδέως μ' ὁρᾷς,
Ἐς γῆν δ' ἐρείσασ' ὄμμα πρόσθ' ἔχεις πέπλους;

---

1099. Προχύται] ἃς Οὐλοχύτας Ὅμηρος ὀνομάζει· ἦσαν δὲ προθύματα τινὰ

ἄπεστι τῆς οἰκίας· ἡ δὲ δύςηνος ἔνδον παῖς τήκεται δάκρυσι καὶ θρήνοις παντοίοις, ἀκούσασα μέλλειν πρὸς πατρὸς ἀποῤῥήξειν τὸν βίον· εἰκὸς οὖν ἦν μεμνῆσθαί με Ἀγαμέμνονος τοῦδε, ἥκοντος ἤδη ποθὲν ὡς ἐξ ὑπογείου· ὃν αὐτίκα μάλ' ἐξελέγξω, τοὺς οἰκείους παῖδας ἀνόσια πράττοντα.

ΑΓ. Τέκνον Λήδας, ἐν καλῷ σοι ἔξω τῆς οἰκίας ἐνέτυχον· βούλομαι γάρ σοι κοινώσασθαί τι ἰδίᾳ, ὃ τας παρθένους, πρὸς γάμον ἠκούσας ἤδη, οὐκ εὐπρεπὲς ἐς' ἀκούειν.

ΚΛ. Τί δ' ἐστι τοῦθ', ὃ καιρός σε κατεπήγει ποιῆσαι;

ΑΓ. Κέλευε ἕπεσθαί μοι τὴν παῖδα πρὸς τὰ προτέλεια· αἵ τε γὰρ χέρνιβες πάρεισιν εὐπρεπεῖς, καὶ αἱ οὐλοχύται χειρὸς μονονοὺ δεόμεναι ἐμβαλεῖν αὐτὰς εἰς τὸ καθάρσιον πῦρ· ὡς δ' αὔτως αἱ τὸ μέλαν αἷμα παρέξουσα, μόσχοι, ἃς δεῖ τῇ Ἀρτέμιδι θῦσαι.

ΚΛ. Οὐκ οἶδ' ὅπως, συμβιβάσασα τοῖς ἔργοις τοὺς λόγους ἐκ διαμέτρου διαφωνοῦντας, ὥς' αὐτοὺς ἐπαινέσαι. Ἀλλὰ σύ γ', ὦ τέκνον, ἔξελθε δεῦρο· ἄγε δὲ φέρουσα ὑπὸ θοιματίῳ καὶ Ὀρέστην τὸν ἀδελφόν. Οἶσθα γὰρ πάντα τὰ ὑπὸ τοῦ πατρὸς σκευωρούμενα, ἰδού σοι πάρεστιν αὕτη, εὐπειθῆ παρέχουσα ἑαυτήν· ἃ δ' εἰκὸς ἐπὶ τούτοις ῥηθῆναι, ἐμοὶ ὑπέρ τε αὐτῆς καὶ ἐμαυτῆς ἅμ' εἰρήσεται·

ΑΓ. Τί τοῦτο, τέκνον; ὁρῶ γάρ σε ὑποδεδακρυμένην, καὶ οὐχ ὁμοίως εἰς ἐμὲ ὁρῶσαν ἡδέως· προθεμένη γὰρ τὸν πέπλον, εἰς γῆν κάτω ἐρείδεις τὸ ὄμμα. ἀνθ' ὧν ταῦτα πράττεις;

---

ἀξ οὐλῶν, εἴτ' οὖν κριθῶν ἁλσὶ μεμιγμένων, ἅπερ εὐχόμενοι ὁτιδήποτε, ἐπέχεον τοῖς βωμοῖς· ἴδε καὶ κατωτέρω στίχ. 1481.

ΙΦ. (Φεῦ) τίν' ἂν λάβοιμι τῶν ἐμῶν ἀρχὴν κακῶν;
Ἅπασι γὰρ πρώτοισι χρήσασθαι πάρα,
Κἀν ὑστάτοισι, κἀν μέσοισι πανταχοῦ.
ΑΓ. Τί δ' ἔστιν; ὥς μοι πάντες εἰς ἓν ἥκετε,
Σύγχυσιν ἔχοντες καὶ ταραγμὸν ὀμμάτων!
ΚΛ. Εἴφ' ἃ 'ν ἐρωτήσω σε, γενναίως, πόσι.
ΑΓ. Οὐδὲν κελευσμοῦ δεῖ γ, ἐρωτᾶσθαι θέλω.
ΚΛ. Τὴν παῖδα τὴν σὴν τήν τ' ἐμὴν μέλλεις κτανεῖν;
ΑΓ. (Ἔα· τλήμονά γ' ἔλεξας, ὑπονοεῖς θ', ἃ μή σε χρή.
ΚΛ. Κἀκεῖνό μοι τὸ πρῶτον ἀπόκριναι πάλιν.
ΑΓ. Σὺ δ' ἤν γ' ἐρωτᾷς εἰκότ', εἰκότ' ἂν κλύοις.
ΚΛ. Οὐκ ἄλλ' ἐρωτῶ, καὶ σὺ μὴ λέγ' ἄλλα μοι.
ΑΓ. Ὦ πότνια μοῖρα καὶ τύχη δαίμων τ' ἐμός!
ΚΛ. Κἀμός γε καὶ τῆσδ', εἷς τριῶν δυσδαιμόνων.
ΑΓ. Τί δ' ἠδίκησαι;
ΚΛ. Τοῦτ' ἐμοῦ πεύθῃ πάρα;
Ὁ νοῦς ὅδ' αὐτὸς νοῦν ἔχων οὐ τυγχάνει.
ΑΓ. Ἀπολόμεσθα· προδέδονται τὰ κρυπτά μου.
ΚΛ. Πάντ' οἶδα καὶ πέπυσμ', ἃ σύ γε μέλλεις με δρᾶν
Αὐτὸ δὲ τὸ σιγᾶν ὁμολογοῦντός ἐστί σου
Καὶ τὸ στενάζειν πολλά· μὴ κάμνης λέγων.
ΑΓ. Ἰδοὺ σιωπῶ· τὸ γὰρ ἀναίσχυντον τί δεῖ,
Ψευδῆ λέγοντα, προσλαβεῖν τῇ συμφορᾷ;
ΚΛ. Ἄκουε δή νυν· ἀνακαλύψω γὰρ λόγους,
Κοὐκέτι παρῳδοῖς χρησόμεσθ' αἰνίγμασιν.
Πρῶτον μὲν, ἵνα σοι πρῶτα τοῦτ' ὀνειδίσω,
Ἔγημας ἄκουσάν με, κἄλαβες βίᾳ,

ΙΦ. Φεῦ, τίνος τῶν κακῶν ἀρχὴ με λάβῃ πρὸς σὲ, ὥστ' ἀξίως τι κατ' ἐμὲ ἀνακλαύσασθαι, ἄλλων ἄλλοθεν παρισταμένων, καὶ πρὸς ἑαυτὸ ἀναγκαζόντων ἑκάστων, κἂν μέσον, κἂν ὕςατον τοῦτο ᾖ, αὐτὸ πρῶτον ἐκτραγῳδῆσαι,

ΑΓ. Ἀλλὰ τί ποτ' ἐστὶ τοῦτο; οὐ λέγεθ' ὑμεῖς; ὁρῶ γὰρ πάντας ὁμοίως σύγχυσιν ἔχοντας, καὶ τὸ ὄμμα πάντῃ τεταραγμένον.

ΚΛ. Ἀγάμεμνον, βουλοίμην ἄν σε ἀπόκρισίν μοι, πρὸς ἃ ἄν σε ἐρωτήσω, ἀποδοῦναι ἁπλῆν καὶ γενναίαν.

ΑΓ. Τί δ' οὐχί; λέγε μόνον.

ΚΛ. Τὴν παῖδ' ἡμῶν αὐτῶν ἀποκτενεῖς;

ΑΓ. Ἔα· ποῖόν σε τοὔπος τοῦτ' ἐξέφυγε βλάσφημον; πόθεν σοὶ ἡ ὑπόνοια αὕτη;

ΚΛ. Ἔχ' ἀτρέμας· καὶ πρὸς τὸ ἐρώτημα ἐπανήκωμεν.

ΑΓ. Σύγ' εἰκότα μὲν ἐρωτῶσα, τοιαῦτ' ἂν ἀκούσειας· εἰ δ' οὔ.

ΚΛ. Εἰκότα μάλιςα καὶ ταυτά· σὺ δὲ μὴ λοξὰ φθέγγου·

ΑΓ. Ὦ πότνια μοῖρα, καὶ δαίμων οὑμός!

ΚΛ. Κἀμοῦ καὶ τῆσδ' ὁμοίως, εἷς κακὸς δαίμων πάντων.

ΑΓ. Τί ποτε πέπονθας; ἐγὼ γὰρ ἐκπέπληγμαι.

ΚΛ Παρ' ἐμοῦ μαθεῖν τοῦτο βούλει; ἀνόητον τοῦθ' ὅλως.

ΑΓ. Ἀπωλόμεθ' ἄρα, προδοθέντων τῶν ἀπορρήτων.

ΚΛ. Οἶδα πάντα, κοὐδὲν ὧν μέλλεις με δρᾶν λανθάνει· αὐτὸς γὰρ τῷ σιγᾶν καὶ στένειν πολλὰ τοῦθ' ὁμολογεῖς. μὴ οὖν κάμνε λέγων.

ΑΓ. Ἰδοὺ σιωπῶ· ψευδῆ γάρ μοι εἰπόντι πρὸς τῇ συμφορᾷ καὶ τὸ ἀναίσχυντόν με προσγενήσεσθαι οὕτω.

ΚΛ. Σύντεινόν μοι τοίνυν τὸ οὖς· οὐκέτι γὰρ αἰνίγμασι παραφθεγγομένοις χρησόμεθα· ἀλλ' ἀκούσεις λόγους ἀληθεῖς. πρῶτον μὲν γὰρ, ἵνα πρῶτον τὸ πρῶτόν σοι προενέγκω ἀδίκημα, βίᾳ λαβών με, ἔγημας ἄκουσαν, Τάν-

Τὸν πρόσθεν ἄνδρα Τάνταλον κατακτανὼν,
Βρέφος τε τοὐμὸν σῷ προσούδισας πάλῳ,
Μαστῶν βιαίως τῶν ἐμῶν ἀποσπάσας.
Καὶ τὼ Διός γε παῖδ' ἐμώ τε συγγόνω,
Ἵπποισι μαρμαίροντ', ἐπεστρατευσάτην.
Πατὴρ δὲ πρέσβυς Τυνδάρεώς σ' ἐρρύσατο
Ἱκέτην γενόμενον, τἀμὰ δ' ἔσχες αὖ λέχη.
Οὗ σοι καταλλαχθεῖσα, περὶ σὲ καὶ δόμους,
Συμμαρτυρήσεις, ὡς ἄμεμπτος ἦν γυνὴ,
Ἔς τ' Ἀφροδίτην σωφρονοῦσα, καὶ τὸ σὸν
Μέλαθρον αὔξουσ', ὥστε σ' εἰσιόντα τε
Χαίρειν, θύραζέ τ' ἐξιόντ', εὐδαιμονεῖν.
Σπάνιον δὲ θήρευμ' ἀνδρὶ, τοιαύτην λαβεῖν
Δάμαρτα· φλαύραν δ' οὐ σπάνις γυναῖκ' ἔχειν.
Τίκτω δ' ἐπὶ τρισὶ παρθένοισι παῖδά σοι
Τόνδ', ὧν μιᾶς σὺ τλημόνως μ' ἀποστερεῖς.
Κἄν τίς σ' ἔρηται, τίνος ἕκατί νιν κτενεῖς,
Λέξον, τί φήσεις; ἢ 'μὲ χρὴ λέγειν τὰ σά;
Ἑλένην Μενέλαος ἵνα λάβῃ· καλόν γε νῷ
Κακῆς γυναικὸς μισθὸν ἀποτῖσαι τέκνα.
Τἄχθιστα τοῖσι φιλτάτοις ὠνούμεθα.
Ἄγ', ἢν στρατεύσῃ καταλιπών μ' ἐν δώμασιν,
Κἀκεῖ γενήσῃ διὰ μακρᾶς ἀπουσίας,
Τίν' ἐν δόμοις με καρδίαν ἕξειν δοκεῖς,
Ὅταν θρόνους τῆσδ' εἰσίδω πάντας κενοὺς,
Κενοὺς δὲ παρθενῶνας; ἐπὶ δὲ δακρύοις
Μόνη κάθημαι, τήνδε θρηνῳδοῦσ' ἀεί.
Ἀπώλεσέν σ', ὦ τέκνον, ὁ φυτεύσας πατὴρ,

ταλον τὸν πρῶτόν μοι ἄνδρα ἀνελὼν, καὶ τὸ βρέφος τοὐμὸν ἀπὸ τῶν ἐμῶν ἀγκαλῶν ἀποσπάσας, φορᾷ πολλῇ κατήραξας ἐς τὸ ἔδαφος· ἐπιςρατευσάντων δ' ἐπὶ τούτοις τῶν ἐμῶν ἀδελφῶν Διοσκούρων, Τυνδάρεως οὑμὸς πατὴρ ἐῤῥύσατόσε, ἱκέτην γεγενημένον· ἔπειτ' ἔγημας ἐμέ· ὅπου διαλλαγεῖσάσοι, ὅπως ἄμεμπτος διεγενόμην τὸ λοιπὸν περὶ σὲ, τάτ' ἀφροδίσια σώφρων, και τὸν οἶκον συναύξουσα, ὥστε σὲ ἔντε εἰσόδοις χαίρειν, καὶ ἐξόδοις εὐδαιμονεῖν ἐπαινούμενον, σὺ αὐτὸς συνειδὼς μαρτυρήσεις· καίτοι σπάνιον τοιαύτης τυχεῖν γυναικός· φαύλης δὲ, ῥάδιον τῷ παντί. Ἐκ δὲ τούτων ἔτεκον παῖδάσοι τουτονὶ πρὸς τρισὶ θυγατράσιν, ὧν νῦν μιᾶς ἀποστερεῖς με οἰκτρῶς· ἀλλ' εἴτις ἔροιτόσε ἀντὶ τίνος ἀποκτενεῖς αὐτὴν, εἰπέ μοι, τί ἐρεῖς αὐτῷ; ἢ ἐμὲ χρὴ ἀντὶ σοῦ ἀποκρίνασθαι; ἀντὶ τίνος ἄλλου, ἢ ὅπως Μενέλαος ἀπολάβῃ πάλιν Ἑλένην· καλόν γ' ἡμῖν, μισθὸν κακίστης γυναικὸς προέσθαι τὰ ἡμέτερα τέκνα, τὰ ἔχθιστα τῶν φιλτάτων ἀνταλλαττομένους! Νῦν δὲ σκόπει κἀκεῖνο· ἢν ςρατεύσας πολλὴν διαμένῃς χρόνον ἐκεῖ, τίς ἔσομαι ἔγωγ' οἴκοι καταλειφθεῖσα, τάς θ' ἕδρας ὁρῶσα καὶ τοὺς παρθενῶνας τῆσδε ἐρήμους γεγενημένους; ἢ κλαίουσα ἀεὶ διάξω τὸν βίον, και ἐκτραγῳδοῦσα τοιάδε; ἀπώλεσέσε, ὦ τέκνον, ὁ σὸς πατὴρ

---

1137. Τάνταλον] πρῶτον ἄνδρα Κλυταιμνήστρας υἱὸν εἶναι Θυέστου φησί. καὶ Παυσανίας Κορινθ. Κεφ. 18. 1138. Προσούδισας] οὕτω γραπτέον ἀντὶ τοῦ προσού-

Αὐτὸς κτανὼν, οὐκ ἄλλος, οὐδ' ἄλλη χερὶ,
Τοιόνδε μισθὸν καταλιπὼν πρὸς τοὺς δόμους·
Ἐπεὶ βραχείας προφάσεως ἔδει μόνον·
Ἐφ' ᾗ σ' ἐγὼ καὶ παῖδες αἱ κελειμμέναι
Δεξόμεθα δέξιν, ἥν σε δέξασθαι χρεών.
Μὴ δῆτα πρὸς θεῶν, μήτ' ἀναγκάσῃς ἐμὲ
Κακὴν γενέσθαι περὶ σὲ, μήτ' αὐτὸς γένῃ.
(Εἶεν) θύσεις δὲ τὴν παῖδ'· ἔνθα τίνας εὐχὰς ἐρεῖς;
Τί σοι κατεύξῃ τἀγαθὸν, σφάζων τέκνον,
Νόστον πονηρὸν οἴκοθέν γ' αἰσχρῶς ἰών;
Ἀλλ' ἐμὲ δίκαιον ἀγαθὸν εὔχεσθαί τί σοι;
Οὔ τἄρ' ἀσυνέτους θεοὺς ἡγοίμεθ' ἂν,
Εἰ τοῖσιν αὐθένταισιν εὖ φρονήσομεν;
Ἥκων δ' ἐς Ἄργος, προσπεσῇ τέκνοισι σοῖς;
Ἀλλ' οὐ θέμις σοι· τίς δὲ καὶ προσβλέψεται
Παίδων σ', ὅτων ἂν προθέμενος κτάνῃς τινά;
Ταῦτ' ἦλθον ἤδη διὰ λόγων· ἢ σκῆπτρά τοι
Μόνον διαφέρειν καὶ στρατηλατεῖν σὲ δεῖ;
Ὃν χρῆν δίκαιον λόγον ἐν Ἀργείοις λέγειν,
Βούλεσθ', Ἀχαιοὶ, πλεῖν Φρυγῶν ἐπὶ χθόνα;
Κλῆρον τίθεσθε, παῖδ' ὅτου θανεῖν χρεών.
Ἐν ἴσῳ γὰρ ἦν τόδ', ἀλλὰ μή σ' ἐξαίρετον
Σφάγιον παρασχεῖν Δαναΐδαισι παῖδα σὴν,
Ἢ Μενέλεων πρὸ μητρὸς Ἑρμιόνην κτανεῖν,
Οὗπερ τὸ πρᾶγμ' ἦν. νῦν δ' ἐγὼ μὲν, ἡ τὸ σὸν

---

ρισας. 1156. Ἀποτῖσαι] ἐν ἄλλοις Ἐπιτῖσαι. 1166. Μισθὸν] τοιαύτην χάριν, τοι-

ἀπώλεσεν, αὐτὸς ἀνελών σε αὐτοχειρί. Ἀλλ' εἶεν· τί δ' ἐν τῷ θύειν τὴν παῖδα εὔξῃ ποτέ σοι θεόθεν γενέσθαι, παιδοκτόνῳ γε ὄντι; ὃς ἐπὶ πονηρὰν ὁδὸν οἴκοθεν αἰσχρῶς ἀνάγῃ; ἐμὲ δ' αὖ τί χρὴ συνεύξασθαί σοι; ἀγαθόν τι; ἀλλ' οὐκ ἂν τὸ θεῖον λάθοιμεν, ἀγαθὰ παιδοκτόνοις εὐχόμενοι· ἐπειδὰν δ' αὖ πάλιν ἥκῃς ποτὲ εἰς Ἄργος, εἰπέ μοι, περιπτύξῃ καὶ φιλήσεις τὰ σαυτοῦ τέκνα; ἀλλ' οὐχ ὅσιον σοί γε τοῦτο· τίς δὲ καὶ ἐκείνων ὀρθῷ τῷ βλέμματι πρός σε ἀναβλέψει, ὁπότ' αὐτῶν τινὰ σφάξεις καταλαβών; ταῦτά σοι διαλόγων δεῖ ἦλθον· ἢ σκῆπτρά σοι ἄλλως φέρειν καὶ στρατηλατεῖν μόνον μέλει; ὃν ἐχρῆν παριόντα ἐν μέσοις εἰπεῖν τάδε· Ἄνδρες Ἕλληνες, βούλεσθε πλεῦσαι ἐπὶ Φρύγας; κληρώσασθε, ὅτου δεήσει τὴν παῖδ' ἀπολέσθαι. τοῦτο γὰρ ἦν ἂν ἴσον καὶ δίκαιον. ἀλλ' οὐχὶ ἀναπηδήσαντά σε πρῶτον, προσφέρειν εὐθὺς τὴν σαυτοῦ παῖδ' ἐξαίρετον θῦμ' ὑπὲρ τῶν Ἑλλήνων. εἰ δὲ μὴ τοῦτο, εἰς Μενέλαον τάδεύτερα μάλισθ' ἥκει, ὑπὲρ οὗ τὴν ἐκστρατείαν ποιοῦνται. τί γὰρ μὴ οὐχὶ ἀποκτενεῖ οὗτος ὑπὲρ τῆς μητρὸς τὴν παῖδ' αὐτοῦ Ἑρμιόνην; νῦν γὰρ ἐγὼ μέν, σὴ οὖσα γυ-

---

αὐτὴν αἰτίαν. ὑπαινίττεται δ' ἐνταῦθα ἡ γυνή, οἷον προφητεύουσα, ἃ ἔμελλε δράσειν Ἀγαμέμνονα ἐπανιόντα ἀπὸ τῆς Τροίας· ἡ δὲ τάξις καὶ συνέχεια τῶν στίχων οὐκ οἶδ' ὅπως συγκέχυνται· ἓξ γὰρ στίχοι ἑξῆς εἰ καταχθεῖεν ἐν τῷ τέλει τῆς παρούσης ῥήσεως, κἀκεῖ αὖθις ἄλλην τάξιν λαβόντες, ὀρθοῦνται καλῶς· τοῦτο δὴ ἐποίησα ἄντικρυς ἐν τῇ παραφράσει. 1177. Αὐθένταισιν] ἐν τοῖς φονεῦσι καὶ παιδοκτόνοις εὐνοοῖμεν, εὐχόμεθα. 1178. Προσπεσῇ] οὕτω γὰρ γραπτέον ἂν εἴη, ἀντὶ τοῦ προσπέσοις. 1180. Προθέμενος] ἐκτείνας πρὸ ποδῶν, ἀναιρήσεις. 1181. Ταῦτ' ἦλθον ἤδη διὰ λόγων] οὐκ ἔχω κατανοεῖν τὴν συνέχειαν τούτου· κἀκ τούτου οὐδὲ τὸ ἑπόμενον ἔρρωται, εἰ μὴ μεταβάλοιμεν τὸ, Σὲ δεῖ

Σώζουσα λέκτρον, παιδὸς ὑστερήσομαι,
Ἡ δ' ἐξαμαρτοῦσ', ὑπότροφον νεανίδα
Σπάρτῃ κομίζουσ', εὐτυχὴς γενήσεται.
Τούτων ἄμειψαί μ' εἴ τι μὴ καλῶς λέγω.
Εἰ δ' εὖ λέλεκται ταῦτα νῷν, μὴ δὴ κτάνῃς
Τὴν σήν τε κἀμὴν παῖδα, καὶ σώφρων ἔσῃ.

ΧΟ. Πιθοῦ· τὸ γάρ τοι τέκνα συσσώζειν καλὸν,
Ἀγάμεμνον· οὐδεὶς πρὸς τάδ' ἀντείποι βροτῶν.

ΙΦ. Εἰ μὲν τὸν Ὀρφέως εἶχον, ὦ πάτερ, λόγον,
Πείθειν ἐπᾴδουσ', ὥςθ' ὁμαρτεῖν μοι πέτρας,
Κηλεῖν τε τοῖς λόγοισιν, οὓς ἐβουλόμην,
Ἐνταῦθ' ἂν ἦλθον· νῦν δὲ τἀπ' ἐμοῦ σοφὰ,
Δάκρυα παρέξω· ταῦτα γὰρ δυναίμεθ' ἄν.
Ἱκετηρίαν δὲ γόνασιν ἐξάπτω σέθεν
Τὸ σῶμα τοὐμὸν, ὅπερ ἔτικτεν ἥδε σοι,
Μή μ' ἀπολέσῃς ἄωρον· ἡδὺ γὰρ τὸ φῶς
Λεύσσειν· τὰ δ' ὑπὸ γῆν μή μ' ἰδεῖν ἀναγκάσῃς.
Πρώτη σ' ἐκάλεσα πατέρα, καὶ σὺ παῖδ' ἐμέ·
Πρώτη δὲ, γόνασι σῶμα δοῦσ' ἐμὸν,
Φίλας χάριτας ἔδωκα κἀντεδεξάμην.

---

εἰς τὸ, Μέλει, ὡς ἔδοξε τινί. 1192. Κομίζουσα] τρέφουσα, αὔξουσα· ἐντεῦθεν νυμφοκόμος, ἱπποκόμος. 1198. Ὀρφέως] ἴδε Ἀλκ. στίχ. 364.

νὴ, τῆς ἐμαυτῆς ἀποστερήσομαι θυγατρὸς, μηδὲν ἐξαμαρτοῦσα· ἡ δὲ, κακὴ γενομένη, εὐτυχὴς ἔσται, νεάνιδα ἐν Σπάρτῃ ὑπότροφον αὔξουσα· πῶς ἂν εἴη δίκαια ταῦτα; Τούτων οὖν εἴτι μὴ ὀρθῶς ἡμῖν εἴρηται, λέγε, ἐξέλεγχε τὰ εἰκότα· εἰ δὲ καλῶς, μὴ σύγε, μὴ ἀνέλῃς τὴν ἡμετέραν φιλτάτην παῖδα, καὶ ποιήσεις ἔργον σώφρονος ἀνδρὸς, μήτ' ἐμὲ ἀναγκάζων οὕτω κακὴν περὶ σὲ γενέσθαι, μήτ' αὐτὸς περὶ ἐμὲ τοιοῦτος γενόμενος, ὥς' αἰτίαν καταλιπεῖν ὀπίσω τοῖς οἴκοι· ἐπεὶ βραχείας μόνον προφάσεως δεῖ, ἐφ' ᾗ ἐγώ τε καὶ αἱ μετ' ἐμοῦ ὑπολειπόμεναι παῖδες δεξόμεθά σε ποθ' ὕςερον, οἷον χρὴ δέξασθαί σε.

**ΧΟ.** Πείθου τούτοις, Ἀγάμεμνον· καλὸν γὰρ τοὺς γονέας κοινῇ πρόνοιαν τῶν τέκνων ποιεῖσθαι πρὸς σωτηρίαν· κοὐδεὶς πρὸς ταῦτ' ἔσται ὁ ἀντερῶν.

**ΙΦ.** Εἰ μὲν ἦν μοι, ὦ πάτερ, ἡ τοῦ Ὀρφέως μοῦσα, ὥς' ἐπῳδαῖς ποιεῖν τοὺς λίθους ἀκολουθεῖν μοι, καὶ λόγοις ἐπαγωγοῖς θέλγειν, οὓς βουλοίμην κηλοῦσαν, ἐπὶ ταύτην κατέφυγον ἄν· νῦν δὲ τούτου μοι μὴ προσόντος, χρήσομαι τῷ δακρύειν, ὃ μόνον ἐνυπάρχει σοφόν· Ὁρᾷς τοίνυν τὸ σῶμα τόδε, ὅσοι ἔτεκεν ἥδε; τοῦτο ἐπὶ τῶν σαυτοῦ γονάτων ἱκετεῦον δεξάμενος, σῶζε· καὶ μὴ ἀποκτείνῃς με ἄωρον. οἶσθα γὰρ ὅσον μὲν ἡδὺ τὸ φῶς ἐπὶ γῆς· ὅσον δὲ ἀηδὲς τὸ σκότος ἐν ᾅδου· ὃ μή με ἀναγκάσῃς, ὦ πάτερ, ἰδεῖν ἀκαίρως, μὴ σύγε· πρώτης γὰρ ἀκήκοας ἐμοῦ σε πατέρα καλούσης, καὶ πρώτην αὐτὸς προσηγόρευσας παῖδα· πρώτη δὲ τοῖς σοῖς ἐπικαθήσασα γόνασι, χάριν δέδωκά σοι καὶ ἐδεξάμην· ἆρ' οὐ μέμ-

Λόγος δ' ὁ μὲν σὸς ἦν ὅδ'· ἆρά σ', ὦ τέκνον,
Εὐδαίμον' ἀνδρὸς ἐν δόμοισιν ὄψομαι,
Ζῶσάν τε καὶ θάλλουσαν ἀξίως ἐμοῦ;
Οὑμὸς δ' ὅδ' ἦν αὖ, περὶ σὸν ἐξαρτωμένης
Γένειον, οὗ νῦν ἀντιλάζομαι χερί·
Τί δ'; ἆρ' ἐγώ σε πρέσβυν; ἆρ' ἐσδέξομαι
Ἐμῶν φίλαισιν ὑποδοχαῖς δόμων, πάτερ,
Πόνων τιθηνοὺς ἀποδιδοῦσά σοι τροφάς;
Τούτων ἐγὼ μὲν τῶν λόγων μνήμην ἔχω,
Σὺ δ' ἐπιλέλησαι, καὶ μ' ἀποκτεῖναι θέλεις.
Μή πρός σε Πέλοπος καὶ πρὸς Ἀτρέως πατρὸς
Καὶ τῆσδε μητρὸς, ἣ πρὶν ὠδίνουσ' ἐμὲ
Νῦν δευτέραν ὠδῖνα τήνδε λαμβάνει.
Τί μοι μέτεστι τῶν Ἀλεξάνδρου γάμων,
Ἑλένης τε; πόθεν ἦλθ' ἐπ' ὀλέθρῳ τῷ 'μῷ, πάτερ;
Βλέψον πρὸς ἡμᾶς, ὄμμα δὸς φίλημά τε,
Ἵν' ἀλλὰ τοῦτο κατθανοῦσ' ἔχω σέθεν
Μνημεῖον, ἢν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις.
Ἀδελφὲ, μικρὸς μὲν σύ γ' ἐπίκουρος φίλοις,
Ὅμως δὲ σὺν δάκρυσιν ἱκέτης γίγνου πατρὸς,
Τὴν σὴν ἀδελφὴν μὴ θανεῖν· αἴσθημά τι
Κἀν νηπίοις γε τῶν κακῶν ἐγγίγνεται.
Ἰδοὺ σιωπῶν λίσσεταί σ' ὅδ', ὦ πάτερ.
Ἀλλ' αἴδεσαί με καὶ κατοίκτειρον βίον.
Ναὶ, πρὸς γενείου σ' ἀντόμεσθα δύο φίλω·
Ὁ μὲν νεοσσός ἐστιν, ἣ δ' ηὐξημένη.
Ἓν συντεμοῦσα, πάντα νικήσω λόγον·
Τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν,

νῆσαι, πάτερ, οἷα φέρων ἐν κόλποις με, ἔλεγες; ἦσαν δ' ἐκεῖνα τοιάδε· ἆρ' ὄψομαί σε, ὦ τέκνον, παρ' εὐδαίμονι ἀνδρὶ ἐμαυτοῦ ἀξίως εὐδαιμονοῦσαν; πρὸς ἃ ἐγὼ αὖ τοῦ σοῦ λαβομένη γενείου, οὗ καὶ νῦν ἅπτομαι, ἀπήντων τοιαῦτα· τί δε; ἐγὼ δὲ, ὦ πάτερ, ὄψομαί σε ποτὲ πρέσβυν γεγενημένον; ἆρ' ὑποδέξομαί σε σὺν χάριτι ἥκονθ' ὡς ἐμὲ οἴκοι, ὥς' ἄξια τῶν πόνων ἀποδοῦναι σοι τὰ τροφεῖα; ταῦτ' οὖν ἐγὼ μὲν ἐνηχ' ἔτι περιφέρω τῇ διανοίᾳ· σοῦ δὲ, ὦ πάτερ, ἔοικεν ὅλως ἐκρυῆναι τῆς μνήμης, καὶ νῦν, φεῦ, ἐθέλεις με ἀπολέσαι· μὴ πρὸς Πέλοπος, μὴ πρὸς Ἀτρέως αὐτοῦ, καὶ τῆςδε τῆς μητρὸς, ἣ τὰς ἐν τῷ τίκτειν ὠδῖνας ταῖς δευτέραις ταύταις τῆς ἐμῆς ἀπωλείας πολλῷ τῷ μέτρῳ δοκεῖ ἀποκρύπτειν· τί γὰρ ἐμοὶ κοινὸν πρὸς τὸν Ἑλένης καὶ Πάριδος γάμον; πόθεν ἦλθεν ἐκεῖνος, ὦ πάτερ, ἐπὶ τῇ ἐμῇ ἀπωλείᾳ; ἀλλὰ βλέψον μικρὸν εἰς ἐμὲ, καὶ δός μοι σύνηθες φίλημα, ὅπως, εἰ μὴ ἕτερόν τι, ἀλλ' οὖν τοῦτό γε μόνον σου; μεμνῴμην ἐν ᾅδου, εἰ μὴ νῦν μεταπεισθείσῃ, γνώμην μεταβαλών. Σὺ δ' αὖ, Ὀρέστα, φῶς ἔμοιγε γλυκερὸν; καίτοι μικρὸς ὢν, ἀλλ' οὖν γενοῦ ἐπίκουρος φίλοις, γενοῦ τοῦ πατρὸς ἱκέτης σὺν δάκρυσιν ὑπὲρ τῆς σαυτοῦ ἀδελφῆς· ἔστι γὰρ καὶ νηπίοις ἐγγίνεσθαι αἴσθημα τῶν παρόντων κακῶν· Ἄκουσον οὖν, ὦ πάτερ, τοῦ νηπίου γε τούτου καὶ σιωπῶντος, καί με οἴκτειρον· ναὶ πρὸς τοῦ φίλου γενείου, οὗ ἁπτόμεθα σύνδυο, ὁ μὲν νεοσσὸς, ἐγὼ δὲ ἐν ὥρᾳ· ἄκουσον δὲ τὸν πανύςατον καὶ ἀναντίῤῥητον λόγον, μάλιστα μὲν σύντομον, μάλιςα δ' ἀληθῆ· τὸ μὲν φῶς τοῦτ', ὦ πάτερ, ἥδιςον πᾶσιν ἀν-

Τὰ νέρθε δ' οὐδέν· μαίνεται δ', ὃς εὔχεται
Θανεῖν· κακῶς ζῆν κρεῖσσον, ἢ θανεῖν καλῶς.

ΧΟ. Ὦ τλῆμον Ἑλένη διὰ σὲ καὶ τοὺς σοὺς γάμους
Ἀγὼν Ἀτρείδαις καὶ τέκνοις ἥκει μέγας.

ΑΓ. Ἐγὼ τά τ' οἰκτρὰ συνετός εἰμι καὶ τὰ μὴ,
Φιλῶ τ' ἐμαυτοῦ τέκνα· μαινοίμην γὰρ ἄν.
Δεινῶς δ' ἔχει με ταῦτα τολμῆσαι, γύναι,
Δεινῶς δὲ, καὶ μή. τοῦτο γὰρ πρᾶξαι με δεῖ.
Ὁρᾶθ', ὅσον ϛράτευμα ναύφρακτον τόδε,
Χαλκέων θ' ὅπλων ἄνακτες Ἑλλήνων ὅσοι,
Οἷς νόστος οὐκ ἔστ' Ἰλίου πύργους ἔπι,
Εἰ μή σε θύσω, μάντις ὡς Κάλχας λέγει,
Οὐδ' ἔστι Τροίας ἐξελεῖν κλεινὸν βάθρον.
Μέμηνε δ' Ἀφροδίτη τις Ἑλλήνων ϛρατῷ,
Πλεῖν ὡς τάχιστα βαρβάρων ἐπὶ χθόνα,
Παῦσαί τε λέκτρων ἁρπαγὰς Ἑλληνικάς.
Οἳ τὰς ἐν Ἄργει παρθένους κτενοῦσί μου,
Ὑμᾶς τε κἀμὲ, θέσφατ' εἰ λύσω θεᾶς·
Οὐ Μενέλεώς με καταδεδούλωται, τέκνον;
Οὐδ' ἐπὶ τὸ κείνου βουλόμενον ἐλήλυθα,
Ἀλλ' Ἑλλὰς, ᾗ δεῖ, κἂν θέλω, κἂν μὴ θέλω,
Θῦσαί σε· τούτου δ' ἥσσονες καθέσταμεν.
Ἐλευθέραν γὰρ δεῖ νιν, ὅσον ἐν σοὶ, τέκνον,
Κἀμοὶ, γενέσθαι, μηδὲ βαρβάροις ὕπο
Ἕλληνας ὄντας λέκτρα συλᾶσθαι βίᾳ.

ΚΛ. Ὦ τέκνον, ὦ ξέναι,
Οἲ 'γὼ θανάτου τοῦ σοῦ μελέα!
Φεύγει, σε πατὴρ ᾅδῃ παραδούς.

θρώποις βλέπειν· τὸ δὲ σκότος, ἀποτρόπαιον ὅλως· ὃς δ' εὔχεται θανεῖν, μαίνεται δήπου· κρεῖσσον γὰρ ἔμοιγε ζῆν κακῶς, ἢ καλῶς ἀποθανεῖν.

ΧΟ. Ὦ δύστην' Ἑλένη, οἷον ἀγῶνα πρὸς τὰ τέκνα ἑαυτῶν ἤνοιξας τοῖς Ἀτρείδαις.

ΑΓ. Ἐγὼ μὲν, ὦ γύναι, τὰ ἐμαυτοῦ φιλῶν τέκνα (μαινοίμην γὰρ ἄλλως) οἶδα τό,τ' οἰκτρὸν καὶ τὸ μὴ οἰκτρὸν πάλιν· καὶ συνορῶ μὲν δεινόν μοι ὄντα ἀγῶνα ταῦτα τολμῆσαι· δεινότερον δ' ὅμως ἐνδοῦναι οἴκτῳ, ἀνάγκης οὔσης ἑλέσθαι τὸ πρῶτον· ὁρᾶτε γὰρ τὸ δια τῆς ἀκτῆς τοῦτο ἐκκεχυμένον στρατόπεδον, καταλάμπον τοῖς ὅπλοις, τούτῳ οὐκ ἄλλως ἔσται ἐπὶ Ἴλιον πλεῦσαι, ὡς Κάλχας ἀνεῖπεν, οὐδὲ τὸ Τροίας κλεινὸν τεῖχος ἐξελεῖν, σοῦ μὴ τυθείσης· ἔρως γὰρ ἀμήχανος τὸν τῶν Ἑλλήνων ἔχει στρατὸν πλεῖν ὡς τάχιστα ἐπὶ Φρύγας, ὡς παύσωσι βαρβάρους τοῦ μηκέθ' ἁρπάζειν τὰς Ἑλληνίδας· εἰ δὲ δεινοπαθήσας πρὸς ταῦτα, ὀλιγωρήσω τῶν τῆς θεοῦ θεσπισμάτων, οὐ μόνον ἐμὲ καὶ ὑμᾶς ἐνταυθοῖ, ἀλλὰ καὶ τὰς οἴκοι ὑπολοίπους παῖδας ἀποκτενοῦσιν. Οὔκουν Μενέλαος, τέκνον, ὑπηγάγετό με λαβὼν, οὐδ' ἐπὶ τῷ ἐκείνου βουλήματι τυγχάνω γεγενημένος· ἀλλ' ἡ Ἑλλὰς ἀναγκάζει, ᾗ δεῖ με θῦσαί σε χ' ἑκόντα καὶ ἄκοντα· τούτου γὰρ ἡττώμεθα· ἐπεὶ ὅσονγε τὸ καθ' ἡμᾶς ἀμφοτέρους ἐλευθέραν αὐτὴν εἶναι δεῖ· δεινὸν γὰρ Ἕλληνας ὄντας ὑπὸ βαρβάροις γενέσθαι, τὰς ἑαυτῶν γυναῖκας ἀφαιρουμένους.

ΚΛ. Ὦ τέκνον, ὦ ξέναι, οἴμοι τῇ παναθλίᾳ τῆς σῆς ἀπωλείας, ὦ τέκνον· ὁ πατὴρ ᾤχετ' ἀπιὼν, παραδούς σε τῷ Ἅδῃ.

ΙΦ. Οἲ 'γὼ μῆτερ, μῆτερ! ταὐτὸ γὰρ
Μέλος εἰς ἄμφω πέπτωκε τύχης,
Κοὐκέτι μοι φῶς,
Οὐδ' ἀελίου τόδε φέγγος.
Ἰὼ ἰώ! νιφοβόλον Φρυγῶν νάπος
Ἴδας τ' ὄρεα, Πρίαμος ὅθι ποτὲ βρέφος ἁ-
Παλὸν ἔβαλε ματέρος ἀποπρὸ νοσφίσας,
Ἐπὶ μόρῳ θανατόεντι, Πάριν, ὃς Ἰδαῖ-
Ος Ἰδαῖος ἐλέ-
Γετ' ἐλέγετ' ἐν Φρυγῶν πόλει.
Μή ποτ' ὤφελε τὸν ἀμφὶ βου-
Σὶ βουκόλον τραφέντ'
Ἀλέξανδρον οἰκίσαι
Ἀμφὶ τὸ λευκὸν ὕδωρ, ὅθι κρῆναι
Νυμφᾶν κεῖνται,
Λειμών τ' ἄνθεσι θάλλων χλωραῖς,
Καὶ ῥοδόεντ' ἄνθεά θ' ὑακίνθινα τε θεαῖσι δρέπειν·
Ἔνθά ποτε Παλλὰς ἔμολε καὶ
Δολιόφρων Κύπρις
Ἥρα θ', Ἑρμᾶς θ', ὁ Διὸς ἄγγελος,
Ἁ μὲν ἐπὶ πόθῳ τρυφῶσα Κύπρις.
Ἁ δὲ δορὶ Παλλὰς, Ἥρα τε Διὸς ἄνακτος
Εὐναῖσι βασιλίσι, κρίσιν ἔπι
Στυγνὰν ἔριν τε [τᾶς] καλλονᾶς,
Ἐμοὶ δὲ θάνατον, ὄνομα μὲν
Φέροντα Δαναΐδαισιν, ὦ κόραι.

---

1266. Τὸ αὐτὸ μέλος] τὸ οἲ ἐγὼ, οἲ ἐγὼ, μέλος ἀμφοτέρας ἡμᾶς ἡ τύχη ἐξεβίασε

ΙΦ. Ὦ μῆτερ, μῆτερ, οἴμοι τῇ παναθλίᾳ, ἵνα σοι τὸ αὐτὸ μέλος ἀντιφωνήσω, οὐκέτ' ἐγώ σοι ἐν τῷ φωτί· οὐκέτι ὄψομαι τὸ φέγγος τουτὶ τοῦ ἡλίου. Ἰὼ, ἰὼ, νιφοβόλον νάπος τῶν Φρυγῶν, ὄρος τε τῆς Ἴδης· ἔνθα Πρίαμός ποτε ἐξέθηκε βρέφος ἁπαλὸν βορὰν γενέσθαι θηρσὶν, ἀπὸ τῶν μητρῴων ἀγκαλῶν ἀποσπάσας. Πάριν φημι, ὃς Ἰδαῖος Ἰδαῖος ἐκαλεῖτο ἐν Τροίᾳ· ἀλλ' ὡς μήποτ' ὤφειλεν ὁ πατὴρ τοῦτον τὸν ἐν βουκολίοις βουκόλον τραφέντα καὶ αὐξηθέντα, περὶ τὰς τῶν νυμφῶν κρήνας κατασῆσαι, ἔνθα λειμών τε θάλλων, ῥοδοειδέσι καὶ ὑακιθίνοις κατάκομος ἄνθεσι, θεαῖς παρῆν δρέπεσθαι· ὅπου Ἀθηνᾶ ποτε, Ἀφροδίτη τε, καὶ ἡ Ἥρα, ἡγουμένου αὐταῖς τοῦ Ἑρμοῦ· ὃς Διός ἐστιν ἄγγελος· ἡ μὲν, δορὶ χαίρουσα μάλιστα· ἡ δὲ, ἔρωσιν ἐντρυφῶσα· Ἥρα δὲ, ταῖς τοῦ Διὸς βασιλικαῖς σεμνυνομένη εὐναῖς, παρεγένοντο, δικασόμεναι παρὰ Πάριδι περὶ κάλλους· ὃς τοῖς μὲν Ἕλλησιν ἤνεγκε κλέος, ἐμοὶ δὲ ἀπώλειαν· ὦ κόραι.

---

μέλπειν. 1270. Νιφοβόλον] τὸ βαλλόμενον ὑπὸ τῶν Νιφάδων. 1271. Βρέφος ·· βαλε ἴδε. Ἀνδρ. στίχ. 295. Πρίαμος δ' οὖν αὐξηθέντα Ἀλέξανδρον ἐκ Ἴδῃ, κατέστησεν αὐτοῦ ἐν Κρήνῃ τινὶ ἐνδιαιτᾶσθαι, ὅπου αἱ θεαὶ ἐλθοῦσαι ἐδικάσαντο 1290. Ἐμοὶ δὲ θάνατον] συγκέχυται, καὶ οὐκ ἂν ἄλλως ἔμοιγε ὀρθωθείη, εἰ μὴ συντάττοιμεν, μεταβαλόντες τὴν τάξιν τῶν ὀνομάτων, οὕτως ἄνωθεν.

» Μήποτ' ὤφειλε (Πρίαμος) τὸν ἀμφὶ

» Βουσὶ βουκόλον τραφέντ'

» Ἀλέξανδρον οἰκίσαι

» Ἀμφὶ τὸ λευκὸν ὕδωρ . . . .

» . . . . . . . . .

» Δαναΐδαις μὲν ὄνομα, ἐμοὶ δὲ θάνατον φέροντα.

Οὕτως οὖν συντακτέον τὸ, φέροντα, πρὸς τὸν Ἀλέξανδρον. τὰ δ' ἄλλα ὡς ἐν συνθέσει· τὸ δὲ, ὦ κόραι· ἐπικαλεῖται ἁπλῶς μεταξὺ τοῦ πάθους τὰς παρθέ

ΧΟ· Πρόθυμά σ' ἔλαβεν Ἄρτεμις πρὸς Ἴλιον.
ΙΦ. Ὁ δὲ τεκών με τὰν τάλαιναν,
Ὦ μᾶτερ, ὦ μᾶτερ,
Οἴχεται προδοὺς ἔρημον.
Ὦ δυστάλαιν' ἐγὼ πικρὰν
Πικρὰν ἰδοῦσα δυσελέναν,
Φονεύομαι, διόλλυμαι
Σφαγαῖσιν ἀνοσίοισιν ἀνοσίου πατρός.
Μή μοι ναῶν χαλκεμβολάδων
Πρύμνας ἄδ' Αὐλὶς δέξασθαι
Τούσδ' εἰς ὅρμους εἰς Τροίαν
Ὤφελεν ἐλάταν πομπαίαν.
Μήτ' ἀνταίαν
Εὐρίπῳ πνεῦσαι πομπάν.
Ζεὺς μειλίσσων αὔραν ἄλλοις
Ἄλλαν θνατῶν λαίφεσι χαίρειν,
Τοῖσι δὲ λύπαν, τοῖσι δ' ἀνάγκαν,
Τοῖς δ' ἐξορμᾶν, τοῖς δὲ στέλλειν,
Τοῖσι δὲ μέλλειν.
Ἦ πολύμοχθον ἄρ' ἦν γένος,
Ἦ πολύμοχθον ἁμερίων.
Χρεὼν δὲ τί δύσποτμον ἀνδράσιν ἀνευρεῖν;
ΧΟ. Ἰώ! ἰώ! μεγάλα πάθεα, μεγάλα δ' ἄχεα
Τοῖς Δαναΐδαις τιθεῖσα Τυνδαρὶς κόρη.
Ἐγὼ μὲν οἰκτείρω σε συμφορᾶς κακῶν
Τυχοῦσαν, οἵας μή ποτ' ὤφελες τυχεῖν.

---

θους πρὸς συμπάθειαν. 1301. Πρύμνας] εἰ μὲν ὡς αἰτιατικὴν ἐκλάβοιμεν τοῦ

ΧΚ. Πρόθυμ', ὦ δύστηνε, Ἀρτέμιδι γέγονας τῆς τῶν Ἑλλήνων ἐπὶ Τροίαν ἕνεκα ἐκστρατείας.

ΙΦ. Ὁ δ' αὖ πατὴρ, ὦ μῆτερ, μῆτερ, προδούς με τὴν τάλαιναν ἔρημον, ᾤχετ' ἀπιών· ὦ δυστάλαιν' ἐγὼ, ὡς πικρὰν τὴν καχελένην ἰδοῦσα, φονεύομαι, ἀπόλλυμαι ἀνοσίᾳ σφαγῇ πατρὸς ἀνοσιωτάτου· ὡς μήποτ' ὤφειλεν ἥδε ἡ Αὐλὶς δέξασθαι ἐν τῷδε τῷ λιμένι τὰς χαλκεμβόλους ναῦς τῶν Ἑλλήνων, μήτε τὴν ἐκείνους ἐπὶ Τροίαν πέμψουσαν κώπην· μήτε Ζεὺς πνεῦμ' ἐναντίον Εὐρίπῳ ἀφεῖναι, ἄλλοτ' ἄλλως αὐτὸ ἡδύ τε καὶ τραχὺ τοῖς θνητοῖς ἑκάστοις περιειλίσσων, τοῖς μὲν οὔριον ὥστε χαίρειν περὶ τὰ ἴδια· τοῖς δ' ἐναντίον, ὥστε λυπεῖσθαι· τοῖς δ' αὖ κατ' ἀνάγκην, ὥστε καὶ κινδυνεύειν· καὶ ἄλλοις μὲν, ἐξορμᾶν τὴν ναῦν· ἄλλοις δὲ, καταστέλλειν. καὶ ἄλλοις μέλλειν ποιήσειν ταῦτα· πολύμοχθον ἄρα, ὡς πολύμοχθον τὸ τῶν ἀνθρώπων γένος ἐστί· τί οὖν χρὴ αὐτοὺς καὶ ἕτερα κακὰ ἑαυτοῖς ἀνευρίσκειν αὐθαίρετα;

ΧΟ. Ἰὼ, ἰὼ, Τυνδάρεως κόρη, ἡ μεγάλων καὶ ἀνυποίστων συμφορῶν τοῖς Ἕλλησιν ἄρξασα· ὡς οἰκτείρω σε τῆς συμφορᾶς, ἧς ὥρμη ὤφειλες τυχεῖν.

---

το, ἐκληπτέον τὸ, Ἐλάταν πομπαίαν ὡς ἐπεξήγησιν· εἰ δὲ ὡς γενικὴν συντακτέον οὕτω· μήποτ' ὤφειλεν ἡ Αὐλὶς δέξασθαι τὴν πομπαίαν (εἰς Τροίαν) ἐλάταν (κώπην) τῆς πρύμνης τῶν νεῶν. κ.τ.λ. 1304. Ἀνταίαν] πνεῦμα ἐναντίον, πομπαῖον πρὸς Εὔριπον· τὸ δὲ, Μειλίσσων ἡδεῖαν, αὔραν πέμπειν δηλοῖ· τὰ δ' ἄλλα δῆλα ἐκ τῆς παραφράσεως. 1313. Χρεὼν δὲ τί] τίς χρεία ἐστὶν ἀνθρώποις (τοσαῦτα θεόθεν ἔχουσι κακὰ) ἀναζητεῖν κακοδαίμονα; ὅ ἐστιν προ-

ΙΦ. Ὦ τεκοῦσα μῆτερ, ἀνδρῶν ὄχλον εἰσορῶ πέλας.
ΚΛ. Τόν γε τῆς θεᾶς παῖδα, τέκνον, ᾧ γε δεῦρ' ἐλήλυθας.
ΙΦ. Διαχαλᾶτέ μοι μέλαθρα, δμῶες, ὡς κρύψω δέμας.
ΚΛ. Τίνα δὲ φεύγεις, τέκνον;
ΙΦ. Ἀχιλλέα τόνδ' ἰδεῖν αἰσχύνομαι.
ΚΛ. Ὡς τί δή;
ΙΦ. Τὸ δυστυχές μοι τῶν γάμων αἰδῶ φέρει.
ΚΛ. Οὐκ ἐν ἀβρότητι κεῖσαι πρὸς τὰ νῦν πεπτωκότα.
Ἀλλὰ μίμν'· οὐ σεμνότητος ἔργον, ἢν δυνώμεθα.
ΑΧ. Ὦ γύναι τάλαινα, Λήδας θύγατερ.
ΚΛ. Οὐ ψευδῆ θροεῖς.
ΑΧ. Δεῖν' ἐν Ἀργείοις βοᾶται.
ΚΛ. Τίνα βοήν; σήμαινέ μοι.
ΑΧ. Ἀμφὶ σῆς παιδός.
ΚΛ. Πονηρὸν εἶπας οἰωνὸν λόγον.
ΑΧ. Ὡς χρεὼν σφάξαι νιν.
ΚΛ. Οὐδεὶς τοῖσδ' ἐναντίον λέγει;
ΑΧ. Ἐς θόρυβον ἔγωγε κἀυτὸς ἦλθον.
ΚΛ. Ἐς τίν', ὦ ξένε;
ΑΧ. Σῶμα λευσθῆναι πέτροισι.
ΚΛ. Μῶν κόρην σώζων ἐμήν;
ΑΧ Αὐτὸ τοῦτο.
ΚΛ. Τίς δ' ἂν ἔτλη σώματος τοῦ σοῦ θιγεῖν;
ΑΧ. Πάντες Ἕλληνες.
ΚΛ. Στρατὸς δὲ Μυρμηδόνων οὔ σοι παρῆν;

---

-θέναι ἑαυτοῖς κακὰ ἕτερα αὐθαιρέτως; οὕτω μὲν ἐν ἐρωτηματικῷ σχήματι· ἄλλως δὲ, σκεπτέον μη περὶ τοῦ θανάτου φησί· 1318. Τόν γε τῆς θεᾶς παῖδα] τὸν Ἀχιλλέα σὺν τοῖς ἀμφ' αὐτόν· ὡς ἐκ τῶν ἑπομένων. στίχ. 1370. 1321. Οὐκ

ΙΦ. Μῆτερ, ἀνδρῶν ὁρῶ ςῖφος ἡκόντων δεῦρο.

ΚΛ. Ο τῆς Θέτιδος παῖς ἐστιν οὗτος, τέκνον, δἰ ὃν τυγχάνεις ἐλθοῦσα δεῦρο.

ΙΦ. Ἀνοίξατέ μοι τὴν θύραν, ὑμεῖς, ὦ δμῶες, ὡς γενοίμην ἐκποδὼν τὴν ταχίστην.

ΚΛ. Τίνα ποτε φεύγεις, τέκνον;

ΙΦ. Αἰσχύνομαι γὰρ ἰδεῖν Ἀχιλλέα.

ΚΛ. Τί δήποτε;

ΙΦ. Ὡς ψευσθεῖσα τοῦ γάμου.

ΚΛ. Ἀλλ' οὐκ ἂν αἰδοῖ τὰ κατὰ σὲ πρὸς τὰς παρεςώσας ἡμῖν συμφοράς· οὐ γὰρ σεμνότητος νῦν ἡμῖν δεῖ, ἀλλὰ πρὸς σωτηρίαν σπουδῆς, ἣν δυνώμεθα.

ΑΧ. Ὦ τάλαινα γύναι, θύγατερ Λήδας.

ΚΛ. Ἀληθὲς τοῦτ' ἔφησθα πάντως.

ΑΧ. Δεινὰ θροεῖται ἤδη παρὰ τοῖς Ἀργείοις.

ΚΛ. Τίνα φὴς ταῦτα; λέγ' ὡς μάθοιμι σαφῶς.

ΑΧ. Ὅτι δεῖ τὴν σὴν παῖδα σφάξαι.

ΚΛ. Πονηρόν μοι τοῦτον εἴρηκας οἰωνόν· ἀλλ' ἆρ' οὐκ ἔσθ' ὅςτις ἀντιλέγει πρὸς ταῦτα;

ΑΧ. Εἰς κίνδυνον ἧκε κἀμοὶ τὰ πράγματα, ὥςε καταλευσθῆναι.

ΚΛ. Ἀνθ' ὅτου, ἢ τῇ ἐμῇ ἀμύνοντι θυγατρί;

ΑΧ. Τούτου δήπου.

ΚΛ. Καὶ τίς ἂν ὑπέστη σοῦ γενέσθαι πλησίον, ὥστε καὶ βλάψαι;

ΑΧ. Σύμπας ὁ ςρατός.

ΚΛ. Οἱ δὲ σοὶ Μυρμηδόνες ποῦ ἦσαν;

---

ἐν ἁβρότητι κεῖσαι] οὐ καιρός σοι ἀκκίζεσθαι, οὐ νῦν σοι σεμνότητος ἔργον· ἀ·

ΑΧ. Πρῶτος ἦν ἐκεῖνος ἐχθρός.
ΚΛ. Αἲ ἄρ' ὀλώλαμεν, τέκνον.
ΑΧ. Οἵ με τῶν γάμων ἀπεκάλουν ἥσσον'.
ΚΛ. Ἀπεκρίνω δὲ τί;
ΑΧ. Τὴν ἐμὴν μέλλουσαν εὐνὴν μὴ κτανεῖν —
ΚΛ. Δίκαια γάρ.
ΑΧ. Ἣν ἐφήμισεν πατήρ μοι.
ΚΛ. Κἀργόθεν γ' ἐπέμψατο.
ΑΧ. Ἀλλ' ἐνικώμην κεκραυγμοῦ.
ΚΛ. Τὸ πολὺ γὰρ δεινὸν κακόν.
ΑΧ. Ἀλλ' ὅμως ἀρήξομέν σοι.
ΚΛ. Καὶ μαχῇ πολλοῖσιν εἷς;
ΑΧ. Εἰσορᾷς τεύχη φέροντας τούσδ';
ΚΛ. Ὄναιο τῶν φρενῶν!
ΑΧ. Ἀλλ' ὀνησόμεσθα.
ΚΛ. Παῖς ἄρ' οὐκέτι σφαγήσεται;
ΑΧ. Οὐκ, ἐμοῦ γ' ἑκόντος.
ΚΛ. Ἥξει δ', ὅστις ἅψεται κόρης;
ΑΧ. Μυρίοι γ'· ἄξει δ' Ὀδυσσεύς.
ΚΛ. Ἆρ' ὁ Σισύφου γόνος;
ΑΧ. Αὐτὸς οὗτος.
ΚΛ. Ἴδια πράσσων, ἢ στρατοῦ ταχθεὶς ὕπο;
ΑΧ. Αἱρεθεὶς ἑκών.
ΚΛ. Πονηράν γ' αἵρεσιν μιαιφονεῖν.
ΑΧ. Ἀλλ' ἐγὼ σχήσω νιν.
ΚΛ. Ἄξει δ' οὐχ ἑκοῦσαν ἁρπάσας;
ΑΧ. Δηλαδὴ ξανθῆς ἐθείρης.
ΚΛ. Ἐμὲ δὲ τί χρὴ δρᾶν τότε;

ΑΧ. Οὗτοι πρῶτον τυγχάνουσι ςασιάσαντες, δοῦλόν με γενέσθαι τῶν γάμων καταβοῶντες.

ΚΛ. Φεῦ, ἀπωλόμεθα τέκνον· σὺ δὲ τί ἀπεκρίνω;

ΑΧ. Ὡς τὴν μέλλουσάν μοι ἔσεσθαι συνευνέτιν οὐκ ἂν ἐάσαιμι ἀνελεῖν τρόπον οὐδένα·

ΚΛ. Δίκαια γὰρ ταῦτα, καὶ μάλιςθ' ἣν αὐτὸς ὁ πατὴρ μετεπέμψατο ἐπὶ τούτῳ ἀργῆθεν.

ΑΧ. Ἀλλὰ καὶ ταῦτα πράττων, ἥττων ἐγενόμην, ἀποπνιγεὶς ἐν πολλῷ τῷ θορύβῳ.

ΚΛ. Καὶ γὰρ τὸ πλῆθός ἐςι κακὸν ἀδυσώπητον.

ΑΧ. Ἀλλ' οὖν οὐκ ἀποςήσομαι πάμπαν τοῦ ἀπερύκειν σοὶ τὸ κακόν.

ΚΛ. Καὶ μαχήσῃ, εἷς ὢν αὐτὸς πολλοῖς ἅμ' ἐκείνοις;

ΑΧ. Ὁρᾷς τούςδε, οἷα φέρουσιν ὅπλα;

ΚΛ. Ὄναιο σύγε τῶν ἀγαθῶν βουλευμάτων.

ΑΧ. Καὶ μὴν ὀνησόμεθα, ὡς ἔγωγε κρίνω.

ΚΛ. Ἡ παῖς ἄρ' ἡ ἐμὴ οὐκέτι σφαγήσεται;

ΑΧ. Ἐμοῦ γ' ἑκόντος, οὐκ ἄν.

ΚΛ. Ἥξει δέ τις ἀπάξων αὐτήν;

ΑΧ. Αὐτίκα μάλ' Ὀδυσσεὺς σὺν μυρίοις.

ΚΛ. Τὸν Σισύφου φής; αὐτόθεν δὲ, ἢ ὑπὸ τοῦ ςρατοῦ πρὸς τοῦθ' αἱρεθείς;

ΑΧ. Ἑκὼν παρ' ἑκόντος τοῦ ςρατοῦ δεξάμενος τὸ ὑπούργημα.

ΚΛ. Πονηρὸν φὴς τοῦθ' ἑκόντα μιαιφονεῖν ἐθέλειν.

ΑΧ. Ἀλλ' ἐγὼ κωλύσω, ὥστε μηδὲν ἐκεῖνον πρᾶξαι.

ΚΛ. Ἐξαρπάσας δ' ἄκουσαν ἀπάξει;

ΑΧ. Τῆς ξανθῆς λαβόμενος κόμης.

ΚΛ. Ἐμὲ δε τί χρὴ δρᾶν ἐν τούτῳ;

ΑΧ. Ἀντέχου θυγατρός.
ΚΛ. Ὡς τοῦδ' οὕνεκ' οὐ σφαγήσεται,
ΑΧ. Ἀλλὰ μὴν ἐς οὗτό γ' ἥξει.
ΙΦ. Μῆτερ, εἰσακούσατε
Τῶν ἐμῶν λόγων· μάτην γάρ σ' εἰσορῶ θυμουμένην
Σῷ πόσει· τὰ δ' ἀδύναθ' ἡμῖν καρτερεῖν οὐ ῥᾴδιον.
Τὸν μὲν οὖν ξένον δίκαιον αἰνέσαι προθυμίας, 1351
Ἀλλὰ καὶ σὲ τοῦθ' ὁρᾶν χρὴ, μὴ διαβληθῇς στρατῷ
Καὶ πλέον πράξωμεν οὐδὲν, ὅδε δὲ συμφορᾶς τύχῃ.
Οἷα δ' εἰσῆλθέν μ' ἄκουσον, μῆτερ, ἐννοουμένην.
Κατθανεῖν μέν μοι δέδοκται· τοῦτο δ' αὐτὸ βούλομαι
Εὐκλεῶς πρᾶξαι, παρεῖσά γ' ἐκποδὼν τὸ δυσμενές.
Δεῦρο δὴ σκέψαι μεθ' ἡμῶν, μῆτερ, ὡς καλῶς λέγω.
Εἰς ἔμ' Ἑλλὰς ἡ μεγίστη πᾶσα νῦν ἀποβλέπει, 1358
Κἀν ἐμοὶ πορθμός τε ναῶν καὶ Φρυγῶν κατασκαφαὶ,
Τάς τε μελλούσας γυναῖκας ἤν τι δρῶσι βάρβαροι,
Μηκάθ' ἁρπάζειν ἐᾷν τάσδ' ὀλβίας ἐξ Ἑλλάδος,
Τὸν Ἑλένης τίσαντας ὄλεθρον, ἥντιν' ἥρπασεν Πάρις.
Ταῦτα πάντα κατθανοῦσα ῥύσομαι, καί μου κλέος,
Ἑλλάδ' ὡς ἠλευθέρωσα, μακάριον γενήσεται. 1364
Καὶ γὰρ οὐδέ τοι λίαν ἐμέ γε φιλοψυχεῖν χρεών·
Πᾶσι γάρ μ' Ἕλλησι κοινὸν ἔτεκες, οὐχὶ σοὶ μόνῃ

μοιον τῷ ἐν Φοινίσσαις (1279.) Οὐκ ἐν χορείαις, οὐδὲ παρθενεύμασι. 1347. Εἰς τοῦτό γ' ἥξει] πότερον, ἡ παῖς ἥξει εἰς τὸ σφαγῆναι, ἢ ὁ Ὀδυσσεὺς εἰς τὸ σφάξας; ἢ ἄλλο τι κρύπτει τὸ σύντομον τοῦτο; ἔοικε δὲ Ἀχιλλεὺς μὴ πάνυ δυνατὰ ἑαυτῷ βλέπειν τὰ πράγματα ὄντα, καὶ διὰ τοῦτ' εἴασε τὸν λόγον μετέωρον· ἔφθη δὲ καὶ ἡ παῖς διακόψασα τοῦ λόγου τὸ πλῆρες. 1359. Πορθμὸς] πλοῦς, ἡ ἀναγωγὴ τῶν ἐπὶ τῇ ἐμῇ σφαγῇ κεῖται. 1361. Ἐᾷν] καὶ τὸ μὴ ἐᾷν καὶ τοῦτο ἐν ἐμοὶ κεῖται· αἰνίττεται δὲ πρὸς τῇ Ἑλένῃ καὶ τὴν Ἰὼ τὴν

ΑΧ. Ἀντέχου τῆς σαυτοῦ θυγατρὸς ὅσον δύνῃ.

ΚΛ. Ἀλλ' ἆρα σωθήσεται ἕνεκα τούτου;

ΑΧ. Εἰς τοῦτο γὰρ ἥξει.

ΙΦ. Μῆτερ, ἀκούσατε νῦν τῶν ἐμῶν λόγων· μάτην γὰρ δοκεῖς μοι ὀργίζεσθαι τῷ πατρί· οὐ γὰρ ἐσθ' ὅπως ἡμῖν ἐξέϛαι ἀντισχεῖν τοῖς παροῦσιν· Οὐκοῦν τὸν μὲν ξένον τουτονὶ ἐπαινῶμεν τῆς προθυμίας· σὲ δὲ χρὴ προορᾶσθαι, μὴ διαβληθῇς μάτην, μηδὲν πλέον πράξασα· οὗτος δὲ συμφορᾷ τινι περιπέσῃ· σὺ δ' ἄκουσον, οἷα μοι νῦν ἐνθυμηθῆναι ἐπῆλθεν· ἐπειδὴ γὰρ δέδοκται ἀποθανεῖν με, τί μὴ οὐχὶ εὐκλεῶς τοῦτο δέξωμαι, ἀποβαλοῦσα τὸ δυσμενὲς καὶ φιλόνεικον; σκέψαι δὲ καὶ αὐτὴ, ὡς καλῶς αὐτὴ τοῦτο ἔγνων· νῦν γὰρ εἰς ἐμὲ πᾶσ' ἡ Ἑλλὰς ἐλπίζει· ὅ,τε πλοῦς τῶν νεῶν ἐπὶ Τροίᾳ καὶ ὁ ὄλεθρος τῶν Φρυγῶν ἐπ' ἐμοὶ κεῖται· οὐκέτι γὰρ ἂν ἐπιχειροῖεν οἱ βάρβαροι ἀναρπάζειν τὰς εὐγενεϛέρας τῶν Ἑλλήνων γυναῖκας, δίκην δόντας ὑπὲρ τῆς Ἑλένης, ἣν Πάρις ἥρπασε· ταῦτ' ἐγὼ τῷ ἐμῷ κωλύσω θανάτῳ· καὶ τοῦτ' ἐμὸν ἀγώνισμα ἔϛαι ἐν τοῖς ἐπιγιγνομένοις τῶν ἀνθρώπων, καὶ μέγα μοι κλέος ἐλευθερῶσαι τὴν Ἑλλάδα· οὐδ' ἄλλως δὲ δίκαιον λίαν ἐμὲ φιλόψυχον εἶναι· καὶ γὰρ κοινή γε πᾶσιν ἐγεννήθην τοῖς Ἕλλησιν, οὐχὶ δέ σοι μόνῃ· Ὁπότε τοίνυν μυρίοι

---

Ἰνάχου· τὸ δὲ, Τάςδ' ὀλβίας, ἐν ἄλλοις κεῖται, Τᾶς ὀλβίας, ἵν' ᾗ, ἐκ τῆς ὀλβίας Ἑλλάδος. 1361. Κοινὸν] κοινὴν ἐμέ· ἀττικὸν τοῦτο· Ὀφείλει γὰρ ἕκαϛο κατὰ τὸν Δημοσθένην (Περὶ ϛεφ. ρδ'.) οὐχ ἑαυτῷ μόνῳ ζῶντα, τὸν αὐτόματον ἀναμένειν θάνατον, ἀλλὰ καὶ ὑπερ πατρίδος, εἴτι δέοι, ἑκόντα προαποθανεῖν.

Ἀλλὰ μυρίοι μὲν ἄνδρες ἀσπίσιν πεφραγμένοι,
Μυρίοι δ' ἐρέτμ' ἔχοντες, πατρίδος ἠδικημένης,
Δρᾶν τι τολμήσουσιν ἐχθροὺς χὐπὲρ Ἑλλάδος θανεῖν·
Ἡ δ' ἐμὴ ψυχὴ, μί' οὖσα, πάντα κωλύσει τάδε;
Τί τὸ δίκαιον τοῦτό γ'; ἆρ' ἔχοιμεν ἀντειπεῖν ἔπος;
Κἀπ' ἐκεῖν' ἔλθωμεν. οὐ δεῖ τόνδε διὰ μάχης μολεῖν
Πᾶσιν Ἀργείοις γυναικὸς οὕνεκ', οὐδὲ κατθανεῖν.
Εἷς γ' ἀνὴρ κρείσσων γυναικῶν μυρίων ὁρᾶν φάος.
Εἰ δ' ἐβουλήθη τὸ σῶμα τοὐμὸν Ἄρτεμις λαβεῖν,
Ἐμποδὼν γενήσομαι 'γὼ, θνητὸς οὖσα τῇ θεῷ;
Ἀλλ' ἀμήχανον· δίδωμι σῶμα τοὐμὸν Ἑλλάδι.
Θύετ', ἐκπορθεῖτε Τροίαν. ταῦτα γὰρ μνημεῖά μου
Διὰ μακροῦ, καὶ παῖδες οὗτοι καὶ γάμοι καὶ δόξ' ἐμή·
Βαρβάρων δ' Ἕλληνας ἄρχειν εἰκὸς, ἀλλ' οὐ βαρβάρους
Μῆτερ, Ἑλλήνων· τὸ μὲν γὰρ δοῦλον, οἱ δ' ἐλεύθεροι·

ΧΟ· Τὸ μὲν σὸν, ὦ νεᾶνι, γενναίως ἔχει·
Τὸ τῆς τύχης δὲ καὶ τὸ τῆς θεοῦ νοσεῖ.

ΑΧ. Ἀγαμέμνονος παῖ, μακάριόν μέ τις θεῶν
Ἔμελλε θήσειν, εἰ τύχοιμι σῶν γάμων.
Ζηλῶ δὲ σοῦ μὲν Ἑλλάδ', Ἑλλάδος δὲ σέ.
Εὖ γὰρ τόδ' εἶπας ἀξίως τε πατρίδος·
Τὸ θεομαχεῖν γὰρ ἀπολιποῦσ', ὅ σου κρατεῖ,
Ἐξελογίσω τὰ χρηστὰ τά τ' ἀναγκαῖά γε·
Μᾶλλον δὲ λέκτρων σῶν πόθος μ' εἰσέρχεται,
Ἐς τὴν φύσιν βλέψαντα· γενναία γὰρ εἶ.
Ὅρα δ'· ἐγὼ γὰρ βούλομαί σ' εὐεργετεῖν
Λαβεῖν τ' ἐς οἴκους· ἄχθομαί τ', ἴστω Θέτις,

---

1371. Οὐ δεῖ τόνδε] τὸν Ἀχιλλέα. 1394. Ὁ θάνατος] ποτέρου, τῆς Ἰφιγενείας;

μὲν ἄνδρες, καταςράπτοντες ὅπλοις, μυρίοι δὲ ἤδη τῆς κώπης ἐπειλημμένοι, τῆς πατρίδος ἀδικηθείσης, ὥρμηνται ἀποθανεῖν, τοὺς ἐχθροὺς ἀμυνόμενοι, πῶς ἂν εἴη δίκαιον ἐμὲ, μίαν οὖσαν, κωλῦσαι ταῦτα διὰ φιλοψυχίαν; καὶ τί ἂν εἴποιμεν πρὸς ἀπολογίαν; πρὸς δ' αὖ τούτοις οὐδ' Ἀχιλλέα τοῦτόν γε χρὴ, ἄνδρ' ὄντα, ὑπὲρ γυναικὸς ἐμοῦ διὰ μάχης ἐλθόντα, πρὸς πάντας ἀποκινδυνεῦσαι· ἀνὴρ γὰρ εἷς μυρίων ἀντάξιος γυναικῶν· ἔπειτα δόξαν τῇ Ἀρτέμιδι τοὐμὸν λαβεῖν σῶμα, ἐγὼ κωλύσω τούτου τὴν θεὸν, θνητὴ οὖσα; ἀμήχανον τοῦτο· οὐκοῦν δίδωμι ἐμαυτὴν θῦσαι ὑπὲρ τῆς Ἑλλάδος· λάβετέ με, θύσατε, ἐκπορθήσατε Τροίαν· ταῦτα γάρ μοι καὶ γάμοι, καὶ παῖδες, καὶ κλέος· δεῖ γὰρ, ὦ μῆτερ, Ἕλληνας βαρβάρων, ἀλλ' οὐχ Ἑλλήνων βαρβάρους ἄρχειν· οἱ μὲν γὰρ, δοῦλοι· οἱ δὲ, ἐλεύθεροι.

ΧΟ. Τὰ μὲν πρὸς σοῦ, ὦ παρθένε, πάντα καλῶς ἔχει· τὰ δὲ παρὰ τῆς τύχης καὶ τῆς θεοῦ οὐκ εὐτυχῶς.

ΑΧ. Θύγατερ Ἀγαμέμνονος, ὡς μακάριος ἦν ἂν πρὸς θεοῦ, εἴγε μοι ἐξῆν σε συναρμόσασθαι γάμῳ· διὸ ζηλῶ μὲν διὰ σὲ τὴν Ἑλλάδα, διὰ δὲ τὴν Ἑλλάδα σέ· εἴρηταί γάρ σοι γενναῖα καὶ ἄξια τῆς πατρίδος. ἀφεῖσα γὰρ τὸ πρὸς κρείττους τοὺς θεοὺς ὄντας μάχεσθαι, προείλου τὰ χρηςά τε καὶ ἀναγκαῖα· διὸ τῆς σῆς νῦν φύσεως συνιέντα, πλείων με νῦν ἔχει πόθος τοῦ σοῦ τυχεῖν γάμου· καί μοι σκέψαι, ὅπως μοι ταῦτ' ἔχει· ἐγὼ γὰρ βούλομαί σε δι' εὐεργεσίας εἰς τὴν ἐμαυτοῦ ἀγαγέσθαι οἰκίαν· καὶ ἄχθομαί γε λίαν νὴ τὴν

Εἰ μή σε σώσω, Δαναΐδαισι διὰ μάχης
Ἐλθών. ἄθρησον, ὁ θάνατος δεινὸν κακόν.
ΙΦ. Λέγω τάδ', οὐδὲν οὐδέν' εὐλαβουμένη.
Ἡ Τυνδαρὶς παῖς διὰ τὸ σῶμ' ἀρκεῖ, μάχας
Ἀνδρῶν τιθεῖσα· καὶ φόνους· σὺ δ', ὦ ξένε,
Μὴ θνῆσκε δι' ἐμὲ, μηδ' ἀποκτείνης τινά.
Ἔα δὲ σῶσαί μ' Ἑλλάδ', ἣν δυνώμεθα.
ΑΧ. Ὦ λῆμ' ἄριστον· οὐκ ἔχω προς τοῦτ' ἔτι
Λέγειν, ἐπεί σοι τάδε δοκεῖ· γενναῖα γὰρ
Φρονεῖς· τί γὰρ τἀληθὲς οὐκ εἴποι τις ἄν;
Ὅμως δ' ἴσως γε κἂν μεταγνοίης τάδε.
Ὡς οὖν ἂν εἰδῇς τἀπ' ἐμοῦ λελεγμένα,
Ἐλθὼν τάδ' ὅπλα θήσομαι βωμοῦ πέλας,
Ὡς οὐκ ἐάσων σ', ἀλλὰ κωλύσων θανεῖν.
Χρήσῃ δὲ καὶ σὺ τοῖς ἐμοῖς λόγοις τάχα,
Ὅταν πέλας σῆς φάσγανον δέρης ἴδῃς.
Οὔκουν ἐάσω σ' ἀφροσύνῃ τῇ σῇ θανεῖν·
Ἐλθὼν δὲ σὺν ὅπλοις τοῖσδε προς ναὸν θεᾶς
Καραδοκήσω σὴν ἐκεῖ παρουσίαν.
ΙΦ. Μῆτερ, τί σιγῇ δακρύοις τέγγεις κόρας;
ΚΛ. Ἔχω τάλαινα πρόφασιν, ὥστ' ἀλγεῖν φρένα.
ΙΦ. Παῦσαί με μὴ κάκιζε· τάδε δ' ἐμοὶ πιθοῦ·
ΚΛ. Λέγ', ὡς παρ' ἡμῶν οὐδὲν ἀδικήσῃ, τέκνον.

---

ἢ τοῦ Ἀχιλλέως; ἔοικε τὸν ἑαυτοῦ ἐννοεῖν· διὸ κομματικὰ καὶ βραχεῖ πνεύματ προφέρει ταῦτα· ὡς εἰ ἔλεγε βούλομαι μὲν σῶσαί σε. οὐμὴν δ' ὥςε ἀποθανεῖν αὐτός· εἰ δὲ μὴ ἀπέφευγε τὸν θάνατον, εἶπεν ἂν σὺν Ὁμήρῳ. » Οὐ νέμεσις Τρῶας...τοιῇδ' ἀμφὶ γυναικὶ ἄλγεα πάσχειν.» Ἰλ. Γ. 156. 1397 Ἀρκεῖ] οὕτως

Θέτιν αὐτὴν, εἰ μή σε σώσαιμι, εἰς χεῖρας ἐλθὼν πρὸς τοὺς Ἕλληνας· λόγισαι δὲ, ὅσον δεινόν ἐσθ' ὁ θάνατος.

ΙΦ. Καὶ μὴν ἐλευθέρως ἐρῶ, ὃ φρονῶ, αἰδουμένη μηδένα· ἀρκεῖ ἡ Ἑλένη διὰ κάλλος σώματος, εἰς μάχας καὶ φόνους διαγείρασα τὴν Ἑλλάδα· σὲ δ', ὦ ξένε, οὐκ ἂν βουλοίμην οὐδ' αὐτὸν ἀποθανεῖν δι' ἐμὲ, οὐδέ σε αὖθις ἕτερον ἀνελεῖν· βούλομαι γὰρ σωτηρία, ὅσον τοὐπ' ἐμοὶ, τῆς Ἑλλάδος γενέσθαι.

ΑΧ. Ὦ φρόνημα ἄριστον· οὐκέτ' ἂν ἔχοιμι ὅ,τι πρὸς ταῦτα εἴπω· γενναῖα γάρ σοι ἔδοξεν, εἴγε δεῖ εἰπεῖν ἁπλῶς τἀληθές· ἀλλ' ὅμως ἴσθι, ὡς τάχ' ἂν μεταγνοίης, ἐν τῷ δεινῷ γενομένῃ· διὸ ἵν' ἔργῳ εἰδῇς τὰ παρ' ἐμοῦ εἰρημένα, θέμενος τὰ ὅπλα, στήσομαι παρὰ τῷ βωμῷ, ὡς ἀπερύξων σοι τὸ θανεῖν· τάχα δὲ καὶ αὐτὴ χρήσῃ τοῖς ἐμοῖς λόγοις τότε, ἅμα τὸ ξίφος ἐπικείμενον πρὸς τῇ δέρῃ ἰδοῦσα. οὐκ ἂν οὖν ἐάσαιμί σε ἀποθανεῖν ἀφροσύνῃ· ἀλλ' ἐλθὼν σὺν τοῖς ὅπλοις παρὰ τὸν νεὼν τῆς θεοῦ, ἐκεῖ ἀναμενῶ τὴν σὴν παρουσίαν.

ΙΦ. Μῆτερ, τί οὕτω σιγῶσα κλαίεις;

ΚΛ. Τί δ', οὐκ ἄξια τὰ παρόντα θρηνεῖν κακά;

ΙΦ. Παῦσαι, μὴ κάκιζέ με ἀλλὰ πείθου μοι, οἷς ἐρῶ.

ΚΛ. Λέγε, τέκνον, ὡς ἐν οὐδενὶ ἐγώ σου παρήκοος ἔσομαι·

---

ἄμεινον ἀντὶ τοῦ ἄρχει. 1408. Τοῖς ἐμοῖς λόγοις] τῇ ἐμῇ γνώμῃ· ὅ ἐστι, ποιήσεις, ὃ ἐγὼ λέγω· εἰμή τι γραπτέον, ὅπλοις, ἀντὶ τοῦ λόγοις. 1415. Κάκιζε

ΙΦ· Μήτ᾽ οὖν γε τὸν σὸν πλόκαμον ἐκτέμῃς τριχὸς,
Μήτ᾽ ἀμφὶ σῶμα μέλανας ἀμπίσχῃ πέπλους.
ΚΛ. Τί δὴ τόδ᾽ εἶπας, τέκνον; ἀπολέσασά σε;
ΙΦ. Οὐ σύ γε· σέσωσμαι, κατ᾽ ἐμὲ δ᾽ εὐκλεὴς ἔσῃ.
ΚΛ. Πῶς εἶπας; οὐ πενθεῖν με σὴν ψυχὴν χρεών;
ΙΦ· Ἥκιστ᾽, ἐπεὶ μοι τύμβος οὐ χωσθήσεται.
ΚΛ· Τί δαὶ, τὸ θνήσκειν οὐ τάφος νομίζεται;
ΙΦ· Βωμὸς θεᾶς μοι μνῆμα, τῆς Διὸς κόρης.
ΚΛ. Ἀλλ᾽, ὦ τέκνον, σοι πείσομαι· λέγεις γὰρ εὖ.
ΙΦ. Ὡς εὐτυχοῦσά γ᾽ Ἑλλάδος τ᾽ εὐεργέτις.
ΚΛ. Τί δὴ κασιγνήταισιν ἀγγελῶ σέθεν;
ΙΦ· Μηδ᾽ ἀμφὶ κείναις μέλανας ἐξάψῃ πέπλους.
ΚΛ. Εἴπω δὲ παρά σου φίλον ἔπος τί παρθένοις;
ΙΦ. Χαίρειν γ᾽· Ὀρέστην τ᾽ ἔκτρεφ᾽ ἄνδρα τόνδε μοι.
ΚΛ Προσέλκυσαί νιν ὕστατον θεωμένη.
ΙΦ. Ὦ φίλτατ᾽, ἐπεκούρησας, ὅσον εἶχες, φίλοις.
ΚΛ. Ἔσθ᾽ ὅ,τι κατ᾽ Ἄργος δρῶσά σοι χάριν φέρω;
ΙΦ. Πατέρα γε τὸν ἐμὸν μὴ στύγει, πόσιν τε σόν·
ΚΛ᾽ Δεινοὺς ἀγῶνας διὰ σὲ κεῖνον δεῖ δραμεῖν·
ΙΦ. Ἄκων μ᾽ ὑπὲρ γῆς Ἑλλάδος διώλεσεν.
ΚΛ. Δόλῳ δ᾽, ἀγεννῶς, Ἀτρέως τ᾽ οὐκ ἀξίως·
ΙΦ. Τίς μ᾽ εἶσιν ἄξων, πρὶν σπαράξασθαι κόμας;
ΚΛ. Ἐγὼ μετά γέ σου.

---

μήμε ποίει ἀποδειλιᾶν. 1419. Ἀπολέσασα] ἀποδοθήτω εἰς τὸ, πῶς οὐ ποιήσω τοῦτο; ἀπὸ κοινοῦ γὰρ συνεπακούεται τὸ Ἀμπίσχειν. 1422. Οὐ χωσθησε-

ΙΦ. Βουλοίμην γάρ σε μήτε πλόκαμον ἐμοὶ ἐκτεμεῖν, μήτε μελαγχειμονεῖν ὁτιοῦν ἐπ' ἐμοί.

ΚΛ. Πῶς ἂν εἴη τοῦτο, σὲ τὴν ἐμαυτῆς ἀπολέσασαν παῖδα;

ΙΦ. Οὐ μενοῦν· σέσωσμαι γάρ· σὺ δ' εὐκλεὴς τοὐμὸν ἔσῃ μέρος.

ΚΛ. Τί φής; οὐ δεῖ σε πενθεῖν ἐμὲ μητέρα οὖσαν;

ΙΦ. Ἥκιστά γε· τάφος γάρ μοι οὐκ ἔσται ὧδε.

ΚΛ. Καὶ μὴν τάφος θανάτου τί ἂν διαφέροι;

ΙΦ. Τάφος γὰρ ἔμοιγ' ὁ τῆς Διὸς κόρης βωμὸς ἔσται.

ΚΛ. Πείθομαι, ὦ τέκνον, εὖ σοι πάντα λεγούσῃ.

ΙΦ. Ὡς εὐτυχὴς θανοῦμαι, εὖ ποιοῦσα τὴν Ἑλλάδα.

ΚΛ. Ταῖς δὲ ἀδελφαῖς τίποτε πρὸς σοῦ εἴπω;

ΙΦ. Ταὐτὰ, ὦ μῆτερ, μέλαινα μὴ ἀμπίσχεσθαι.

ΚΛ. Λόγον δὲ πρὸς σοῦ τίνα εἴπω ἐκείναις φίλον;

ΙΦ. Χαίρειν κέλευε· σὺ δ' Ὀρέστην αὖξέ μοι τόνδε.

ΚΛ. Καὶ μὴν πρόσαγε αὐτὸν, νῦν τὸ ὕστατον ὁρῶσα.

ΙΦ. Ὦ φίλτατ' ἀδελφὲ, τὸ σαυτοῦ μέρος καλῶς ἤμυνάς μοι.

ΚΛ. Τί δὲ ἐν Ἄργει γενομένη, χαρίσωμαί σοι;

ΙΦ. Τῷ πατρί μου, σῷ δ' ἀνδρὶ, μηδὲν μνησικακῆσαι.

ΚΛ. Ἐκεῖνος δὲ διὰ σὲ εἰς μέγαν ἀγῶνα ἥξει.

ΙΦ. Ὑπὲρ τῆς Ἑλλάδος ἄκων προὔδωκέ με.

ΚΛ. Δόλῳ ὑπελθὼν, κἀναξίως Ἀτρέως.

ΙΦ. Ἀλλὰ τίς ἄξει με πρὶν σπαράξαι τὴν κόμην;

ΚΛ. Ἐγὼ, τέκνον, ἕψομαί σοι, ἐχομένη τῶν πέπλων.

---

ται] προφητεύει περὶ ἑαυτῆς, ὡς ἀναληφθησομένη ὑπὸ τῆς θεοῦ, κἀν τῷ τῆς θεοῦ βωμῷ ἐν Ταύροις ἐσομένη ἱέρεια. 1435. Δεινοὺς ἀγῶνας] τὰ κατὰ Αἴγισθον

ΙΦ. Μὴ σύ γ'· οὐ καλῶς λέγεις.
ΚΛ. Πέπλων ἐχομένη σῶν.
ΙΦ. Ἐμοὶ, μῆτερ, πιθοῦ,
Μέν'· ὡς ἐμοί τε σοί τε κάλλιον τόδε·
Πατρὸς δ' ὀπαδῶν τῶνδέ τίς με πεμπέτω
Ἀρτέμιδος ἐς λειμῶν', ὅπου σφαγήσομαι.
ΚΛ. Ὦ τέκνον οἴχῃ;
ΙΦ. Καὶ πάλιν γ' οὐ μὴ μόλω.
ΚΛ. Λιποῦσα μητέρ'.
ΙΦ. Ὡς ὁρᾷς γ', οὐκ ἀξίως.
ΚΛ. Σχὲς, μή με προλίπῃς.
ΙΦ. Οὐκ ἐῶ στάζειν δάκρυ.
Ὑμεῖς δ' ἐπευφημήσατ', ὦ νεάνιδες,
Παιᾶνα τῇ μῇ συμφορᾷ, Διὸς κόρην
Ἄρτεμιν· ἴτω δε Δαναΐδαις εὐφημία.
Κανᾶ δ' ἐναρχέσθω τις, αἰθέσθω δὲ πῦρ
Προχύταις καθαρσίοισι· καὶ πατὴρ ἐμὸς
Ἐνδεξιούσθω βωμὸν, ὡς σωτηρίαν
Ἕλλησι δώσουσ' ἔρχομαι νικηφόρον.
Ἄγετέ με τὰν Ἰλίου
Καὶ Φρυγῶν ἑλέπτολιν.
Στέφεα περίβολα δίδοτε, φέρετε· πλόκαμος
Ὅδε καταστέφειν·
Χερνίβων τε παγαῖς.

---

αἰνίττεται. 1456. Πλόκαμος ὅδε] ὡς ἐν παρενθέσει ἀναγνωστέον· οἷον, σέφη, φέρετε. δότε μοι ὥστε (πλόκαμος γὰρ ὅδ' ἐστι) καταστρέψαι τοῦτον. ἐννοεῖ δὲ τὰ μετὰ ταῦτα γενόμενα. ἴδε στίχ. 1578. 1458. Χερνίβων τε παγαῖσιν]

ΙΦ. Μὴ σύγε· οὐ καλῶς τοῦτο δράσεις· ἀλλ' ἐμοὶ πεισθεῖσα, μεῖνον ἀτρέμας ὧδε· ἀμφοτέραις γὰρ κάλλιον ἔςαι τόδε· Ὑμῶν δέ τις τῶν τοῦ πατρὸς ἀκολούθων ἡγείσθω μοι πρὸς τὸ τέμενος τῆς θεοῦ, ἔνθα δεῖ με σφαγῆναι.

ΚΛ. Ὦ τέκνον, ἄπει;

ΙΦ. Οὐδ' ἄν με ἴδοις ἔτι.

ΚΛ. Λιποῦσα τὴν μητέρα;

ΙΦ. Ὁρᾷς, ὡς ἀναξίως.

ΚΛ. Ἐπίσχες, μὴ προλίπῃς με.

ΙΦ· Οὐ γὰρ ἂν βουλοίμην κόπτεσθαι δακρύουσαν. Ὑμεῖς δ' ὦ νεάνιδες, ᾄσατε Ἀρτέμιδι τῇ Διός παιᾶνα τῆς ἐμῆς συμφορᾶς· εὐφημείσθων δὲ οἱ Ἕλληνες· εναρχέσθω δέ τις τὰ κανᾶ, καὶ πῦρ ἀνακαιέτω προχύταις καθαρσίαις. πατὴρ δ' οὑμὸς δεξιούσθω με ἐπὶ τοῦ βωμοῦ· ἑκοῦσα γὰρ ἥκω δώσουσ' ἐμαυτὴν τοῖς Ἕλλησιν ὑπὲρ νίκης.

Ἄγετέ με τὴν τῆς Τροίας ἑλέπολιν, ἄγετε, πέμπετε, ςεφάνους τὴν ἐμὴν περικαλύψοντες κεφαλὴν, φέροντες δότε μοι, ὥςε πλοκάμους τούτους δὴ περιςέψαι· περιέλθετε δὲ σὺν χέρνιψι, σὺν κανοῖς τὸν ναὸν, περιελ

---

τὸ ὕδωρ ἐννοεῖ, ᾧ ἐν τῷ θύειν ἐνίπτοντο, ἢ ὁπωσδήποτε ἐκαθαίροντο· ἐν δ' Ἀλκήστιδι στίχ. 100. παγαῖον χέρνιβα εἴρηκεν. » Οὐχ ὁρῶ πηγαῖον χέρνιβα ἐπὶ φθιτῶν πύλαις. » ἦν δ' ὡς ἔοικε τὸ ὕδωρ πηγαῖον, ἐν ᾧ ἔβαπτον δαλὸν, ἐκ τοῦ βωμοῦ ἡμμένον λαβόντες· ὡς ὁ αὐτὸς ποιητὴς (Ἡρ. Μαιν. ςίχ. 929.

» Μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν,

» Εἰς χέρνιβ' ὡς βάψειεν Ἀλκμήνης τόκος.

Τοῦτο δὲ τὸ ὕδωρ ἐν χέρνιβι ἔχοντες καὶ τὰ κανᾶ, ἐν οἷς αἱ οὐλοχύται καὶ ἡ μάχαιρα, περιήρχοντο τὸν βωμόν· ὡς καὶ ἐκ τῶν ἑπομένων δῆλον, καὶ ἔτι

Ἑλίσσετ' ἀμφὶ ναὸν,
Ἀμφὶ βωμὸν Ἄρτεμιν,
Τὰν ἄνασσαν Ἄρτεμιν,
Τὰν μάκαιραν, ὡς ἐμοῖσιν, εἰ χρεὼν,
Αἵμασι θύμασί τε
Θέσφατ' ἐξαλείψω.

ΧΛ. [Ὦ] πότνια, πότνια μῆτερ, ὡς
Δάκρυά γέ σοι δώσομεν ἁμέτερα.
Παρ' ἱεροῖς γὰρ οὐ πρέπει.

ΙΦ. Ὦ νεάνιδες,
Συνεπαείδετ' Ἄρτεμιν
Χαλκίδος ἀντίπορον,
Ἵνα τε δόρατα μέμονε δάϊα δι' ἐμὸν
Ὄνομα [τᾶς] γ' Αὐλίδος στενοπόροις ὅρμοις.
Ἰὼ γᾶ μᾶτερ,
Ὦ Πελασγία,
Μυκηναῖαί τ' ἐμαὶ θεράπναι!

ΧΛ. Καλεῖς πόλισμα Περσέως,
Κυκλωπίων πόνον χερῶν.

ΙΦ. Ἔθρεψας Ἑλλάδι μέγα φάος·
Θανοῦσα δ', οὐκ ἀναίνομαι.

ΧΟ. Κλέος γὰρ οὔ σε μὴ λίπῃ.

ΙΦ. Ἰώ! ἰώ!
Λαμπαδοῦχος ἁμέρα Διός τε φέγγος
Ἕτερον, ἕτερον αἰ-
Ὦνα καὶ μοῖραν οἰκήσομεν.
Χαῖρέ μοι, φίλον φάος.

ΧΟ. Ἰώ! ἰώ!

θετε τὸν βωμὸν, Ἄρτεμιν τὴν μακαρίαν ὑμνοῦσαι ἄνασσαν, ἵνα τῷ ἐμαυτῆς αἵματι ἐκπληρώσω, εἰ δέοι, τὰ θέσφατα.

ΧΟ. Ὦ πότνια, πότνια μῆτερ, δέξαι παρ' ἡμῶν δάκρυα τὰ ἡμέτερα· οὐ γὰρ ἐν τοῖς ἱεροῖς ἐπιτρέπεται.

ΙΦ. Ὦ νεάνιδες κόραι, συνυμνεῖται Ἄρτεμιν ἐνταῦθ' ἀπέναντι τῆς Χαλκίδος, ἔνθα τὰ ἀρίεια ὅπλα τῶν Ἑλλήνων ἵςανται ἐν τῷ τῆς Αὐλίδος λιμένι διὰ τοὐμὸν ὄνομα· ὦ πατρὶς, ὦ πελασγία, καὶ Μυκῆναι αἱ τροφός τε καὶ δίκιτά μοι γεγενημέναι.

ΧΟ. Τὴν τοῦ Περσέως πόλιν καλεῖς, ἣν ἔκτισαν Κύκλωπες·

ΙΦ. Σὺ γὰρ ἀνέθρεψάς με μέγα ὄφελος τῇ Ἑλλάδι· διὸ οὐκ αἰσχύνομαι θανεῖν.

ΧΟ. Τὸ γὰρ σὸν κλέος οὐκ ἀπολεῖται εἰς ἅπαντα τὸν αἰῶνα.

ΙΦ. Ἰὼ, ἰώ· λαμπαδοῦχε ἡμέρα, καὶ φῶς τοῦ Διός· ἡμεῖς ἕτερον τοῦ λοιποῦ, ἕτερον καὶ τόπον οἰκήσομεν· χαῖρέ μοι φίλον φῶς.

ΧΟ. Ἰὼ, ἰώ· ὁρᾶτε τὴν τῆς Τροίας πορθήτριαν βαίνουσαν

---

κατωτέρω στίχ. 1578. καὶ ἐν Ἡρακ. Μαινομ. 928. 1475. Θεράπναι] ἐν ἄλλοις κεῖται Θεράπαιναι· ὃ σημαίνοι ἂν καὶ τὸ σταθμοὺς, κατοικίας. 1476. Περσεὺς|Περσέως ἄρχοντος, ἐκτίσθη τὸ Ἄργος ὑπὸ τῶν Κυκλώπων. 1479. Θανοῦσα δὲ οὐκ ἀναίνομαι] πότερον, καὶ θανοῦσα οὐκ ἀναίνομαι ὁμολογεῖν τοῦτο, ἢ οὐκ ἀποφεύγω τὸ θανεῖν, ὥστε γενέσθαι ὄφελος τῇ Ἑλλάδι; τὸ δεύτερον ἔοικε·

Ἴδεσθε τὰν Ἰλίου
Καὶ Φρυγῶν ἑλέπτολιν
Στείχουσαν, ἐπὶ κάρα στέφη
Βαλλομέναν χερνίβων τε παγαῖς,
Βωμόν γε δαίμονος θεᾶς,
Ῥανίσιν αἱματοῤῥύτοις θανοῦσαν
Εὐφυῆ τε σώματος δέρην σφαγεῖσαν.
Εὔδροσοι παγαὶ πατρῷαι
Μένουσι, χέρνιβές τέ σε, στρατός τ᾽
Ἀχαιῶν, θέλων
Ἰλίου πόλιν μολεῖν.
Ἀλλὰ τὰν Διὸς κόραν
Κλήσωμεν Ἄρτεμιν, θεῶν ἄνασσαν,
Ὡς ἐπ᾽ εὐτυχεῖ πότμῳ.
Ὦ πότνια, θύμασι βροτησίοις
Χαρεῖσα, πέμψον εἰς Φρυγῶν
Γαῖαν Ἑλλάνων στρατὸν
Καὶ δολόεντα Τροίας ἕδη, Ἀγαμέμνονά
Τε λόγχαις Ἑλλάδι
Κλεινότατον στέφανον δὸς,
Ἀμφὶ κάρα θ᾽ ἑὸν
Κλέος ἀείμνηστον ἀμφιθεῖναι.

ΑΧ. Ὦ Τυνδαρεία παῖ, Κλυταιμνήστρα, δόμων
Ἔξω πέρασον, ὡς κλύῃς ἐμῶν λόγων.

ΚΛ. Φθογγῆς κλύουσα δεῦρο σῆς ἀφικόμην,
Ταρβοῦσα τλήμων κἀκπεπληγμένη φόβῳ.
Μή μοί τιν᾽ ἄλλην ξυμφορὰν ἥκεις φέρων
Πρὸς τῇ παρούσῃ;

ΑΧ. Σῆς μὲν οὖν παιδὸς πέρι
Θαυμαστά σοι καὶ δεινὰ σημῆναι θέλω.

ΚΛ. Μὴ μέλλε τοίνυν, ἀλλὰ φράζ᾽ ὅσον τάχος.

ΑΧ. Ἀλλ᾽, ὦ φίλη δέσποινα, πᾶν πεύσῃ σαφῶς.
Λέξω δ᾽ ἀπ᾽ ἀρχῆς, ἤν τι μὴ σφαλεῖσά που

πρὸς τὸν τῆς θεᾶς βωμὸν, στεφάνοις μὲν τὴν κεφαλὴν στεψομένην· ἐν χέρνιψι δὲ καὶ αἵματι, τῆς κεφαλῆς ἀποτμηθείσης, περιῤῥέοντι τεθνηξομένην· πηγὰς δὲ πατρῴας εὔδροσοι περιμένουσί σε χέρνιβές τε, καὶ ὁ στρατὸς τῶν Ἑλλήνων, ὡρμημένος πλεῖν ἐπὶ Τροίαν· ἀλλ' ὑμνήσωμεν Ἄρτεμιν τὴν κόρην Διὸς, καὶ ἄνασσαν τῶν θεῶν ἐπ' εὐτυχίᾳ τῶν Ἑλλήνων· ὦ πότνια, ἡ ἀνανθρωπείοις χαίρουσα θύμασιν, εἴης πομπὸς τῷ στρατῷ ἐπὶ Φρύγας, καὶ τὰ τῆς Τροίας τείχη· τόν τ' Ἀγαμέμνονα δὸς στέφανον κλεινὸν τῇ Ἑλλάδι διὰ τῶν ὅπλων γενέσθαι, καὶ ἑαυτῷ ἀείμνηστον ἄρασθαι κλέος.

ΑΓ. Ὦ θύγατερ Τυνδάρεω Κλυταιμνήστρα, ἔξελθ' ἀκούσασα, ὧν μέλλω ἐρεῖν.

ΚΛ. φωνῆς τῆς σῆς ὀξείας ὡς ἐμὲ διηξάσης, ἐξέπτην σὺν φόβῳ ἡ δύστηνος, μή τινα καὶ ἑτέραν πρὸς τῇ παρούσῃ συμφορὰν ἥκες ἀγγελῶν.

ΑΓ. Θαυμαστά σοι ἅμα καὶ δεινὰ ἥκω ἐρῶν περὶ τῆς σῆς θυγατρός.

ΚΛ. Εἶτ' οὐ φθάνοις εἰπὼν, ὅ,τι ποτ' ἔχεις;

ΑΓ. πάντα μαθήσῃ σαφῶς, ὦ δέσποιν', αὐτή· ἄρξομαι δὲ ἀπὸ τῶν πρώτων, ἣν μὴ σφαλεῖσα ἡ μνήμη, συνδιασ-

Γνώμη ταράξῃ γλῶσσαν ἐν λόγοις ἐμήν.
Ἐπεὶ γὰρ ἱκόμεσθα τῆς Διὸς κόρης
Ἀρτέμιδος ἄλσον λείμακάς τ᾽ ἀνθεσφόρους,
Ἵν᾽ ἦν Ἀχαιῶν σύλλογος στρατεύματος,
Σὴν παῖδ᾽ ἄγοντες, εὐθὺς Ἀργείων ὄχλος
Ἠθροίζεθ᾽· ὡς δ᾽ ἐσεῖδεν Ἀγαμέμνων ἄναξ
Ἐπὶ σφαγὰς στείχουσαν εἰς ἄλσος κόρην,
Ἀνεστέναζε, κἄμπαλιν στρέψας κάρα,
Δάκρυα προῆγεν, ὀμμάτων πέπλον προθείς.
Ἡ δὲ σταθεῖσα τῷ τεκόντι πλησίον,
Ἔλεξε τοιάδ᾽· ὦ πάτερ, πάρεισί σοι,
Τοὐμὸν δὲ σῶμα τῆς ἐμῆς ὑπὲρ πάτρας
Καὶ τῆς ἁπάσης Ἑλλάδος γαίας ὕπερ
Θῦσαι δίδωμ᾽ ἑκοῦσα πρὸς βωμὸν θεᾶς
Ἄγοντας, εἴπερ ἐστὶ θέσφατον τόδε.
Καὶ τοὐπ᾽ ἔμ᾽ εὐτυχοῖτε, καὶ νικηφόρου
Δώρου τύχοιτε, πατρίδα δ᾽ ἐξίκοισθε γῆν.
Πρὸς ταῦτα μὴ ψαύσῃ τις Ἀργείων ἐμοῦ.
Σιγῇ παρέξω γὰρ δέρην εὐκαρδίως.
Τοσαῦτ᾽ ἔλεξε· πᾶς δ᾽ ἐθάμβησεν κλύων
Εὐψυχίαν τε κἀρετὴν τῆς παρθένου.
Στὰς δ᾽ ἐν μέσῳ Ταλθύβιος, ᾧ τόδ᾽ ἦν μέλον,
Εὐφημίαν ἀνεῖπε καὶ σιγὴν στρατῷ·
Κάλχας δ᾽ ὁ μάντις ἐς κανοῦν χρυσήλατον
Ἔθηκεν ὀξὺ χειρὶ φάσγανον, σπάσας
Κολεῶν ἔσωθεν, κρᾶτά τ᾽ ἔστεψεν κόρης.

---

1526. Κάρα] ἐν ἄλλοις, Κάρας, οὐ καλῶς κεῖται. 1536. Μὴ ψαύσῃ τίς Ἀργείων ἐμοῦ] παράβαλε ταῦτα πρὸς ἃ εἴρηκε Πολυξένη Ἑκάβῃ. στίχ. 545.

φάλη καὶ τὴν γλῶσσαν ὁμοίως· ἐπειδὴ γὰρ ἀφικοίμεθα εἰς τὸ τῆς Ἀρτέμιδος τέμενος, καὶ τοὺς ἀνθοφόρους ἐκείνης λειμῶνας, ἔνθ' ὁ ςρατὸς ἠθροισμένος, τὴν σὴν παῖδα ἄγοντες, συνεῤῥύη πανταχόθεν ὄχλος πολύς. Ἀγαμέμνων δ' ὡς εἶδε τὴν ἑαυτοῦ παῖδα βαδίζουσαν κατὰ τὸ ἄλσος πρὸς τὴν σφαγὴν, ἀνεςέναξε μύχιον, καὶ ςρέψας πρὸς τοὔμπαλιν, κατέλειβε δάκρυα ὑπὸ θοιματίῳ, ἡ δὲ προσιοῦσα τῷ πατρὶ, ἔφη τάδε· πάρειμί σοι, ὦ πάτερ, ἑκοῦσα τοὐμὸν ὑπὲρ τῆς πατρίδος καὶ πάσης τῆς Ἑλλάδος προσφέρουσα σῶμα, θῦσαι παρὰ τῷ βωμῷ τῆς θεοῦ, εἴπερ τοῦθ' οὕτως ἐστὶ χρησμῳδούμενον· καὶ τόγ' ἐπ' ἐμοὶ εὐπλοεῖτε, εὖ μὲν τὴν νίκην αἰρόμενοι· εὖ δ' ὕστερον καὶ οἴκαδ' ἐπανιόντας· πρὸς δὲ ταῦτα μηδείς μου ἅψηται τῶν Ἀργείων· ἑκοῦσα γὰρ αὐτὴ καὶ εὐκαρδίως παρέξω τὴν δέρην τῷ ξίφει. Ἐκ δὲ τούτου παρελθὼν ἐν μέσοις Ταλθύβιος, ᾧ τούτων μάλιστα ἔμελεν, ἀνεῖπε τῷ ςρατῷ εὐφημοῦντες σιγᾷν. Κάλχας δ' ὁ μάντις, σπασάμενος τὸ ξίφος, ἔθηκεν ἐπὶ χρυσηλάτου κανοῦ καὶ τὴν τῆς παρθένου κατέςεψε

---

καὶ ἑξῆς. 1543. Κολεῶν ἔσωθεν πότερον τὴν μάχαιραν ἔσωθεν ἐκ τοῦ κολεοῦ ἢ σπάσας αὐτὴν τοῦ κολεοῦ ἔσωθεν ἐκ τῶν οὐλῶν; (μήτι δὲ γραπτέον ἀντὶ τοῦ Κολεῶν, Οὐλῶν;) ἐντὸς γὰρ τῶν ὀλῶν ἐνέκρυπτο ἡ μάχαιρα· φησὶ γὰρ Ὅμηρος (Ὀδ. Γ. 441.)

» Χέρνιβα δὲ σφ' Ἄρητος ἐν ἀνθεμόεντι λέβητι.
» Ἤλυθεν ἐκ θαλάμοιο φέρων, ἑτέρῃ δ' ἔχεν οὐλὰς
» Ἐν κανέῳ . . . . . . . . . . .

Καὶ Ἀριστοφάνης Εἰρ. στίχ. 948.

Τὸ κανοῦν πάρεστιν ὀλὰς ἔχον καὶ στέμμα καὶ μάχαιραν.

Ἔνθα ὁ Σχολιαστής· Ὀλὰς ἀντὶ κριθάς· ὅτι ἐκέκρυπτο ἐν τῷ κανῷ ἡ μάχαιρα.

Ὁ παῖς δ' ὁ Πηλέως ἐν κύκλῳ βωμὸν θεᾶς
Λαβὼν κανοῦν ἔθρεξε, χέρνιβάς θ' ὁμοῦ·
Ἔλεξε δ'· ὦ θηροκτόν' Ἄρτεμις Διὸς,
Τὸ λαμπρὸν εἱλίσουσ' ἐν εὐφρόνῃ φάος,
Δέξαι τὸ θῦμα τόδ', ὅγε σοι δωρούμεθα
Στρατός τ' Ἀχαιῶν, Ἀγαμέμνων τ' ἄναξ ὁμοῦ,
Ἄχραντον αἷμα καλλιπαρθένου δέρης·
Καὶ δὸς γενέσθαι πλοῦν νεῶν ἀπήμονα,
Τροίας τε Πέργαμ' ἐξελεῖν ἡμᾶς δορί.
Ἐς γῆν δ' Ἀτρεῖδαι, πᾶς στατός τ' ἔστη βλέπων·
Ἱερεὺς δὲ φάσγανον λαβὼν, ἐπεύξατο,
Λαιμόν τ' ἐπεσκοπεῖθ', ἵνα πλήξειεν ἄν.
Ἐμοὶ δέ τ' ἄλγος οὐ μικρὸν ἐσῄει φρενὶ,]
Κἄστην νενευκώς· θαῦμα δ' ἦν αἴφνης ὁρᾷν.
Πληγῆς κτύπον γὰρ πᾶς τις ᾔσθετ' ἂν σαφῶς,
Τὴν παρθένον δ' οὐκ εἶδεν, οὗ γῆς εἰσέδυ.
Βοᾷ δ' ἱερεὺς, ἅπας δ' ἐπήχησε στρατὸς,
Ἄελπτον εἰσιδόντες ἐκ θεῶν τινος
Φάσμ', οὗ γε μηδ' ὁρωμένου πίστις παρῆν·
Ἔλαφος γὰρ ἀσπαίρουσ' ἔκειτ' ἐπὶ χθονὶ
Ἰδεῖν μεγίστη διαπρεπής τε τὴν θέαν,
Ἧς αἵματι βωμὸς ἐῤῥαίνετ' ἄρδην τῆς θεοῦ.
Κἂν τῷδε Κάλχας (πῶς δοκεῖς;) χαίρων ἔφη·
Ὦ τοῦδ' Ἀχαιῶν κοίρανοι κοινοῦ στρατοῦ,

---

ταῖς ὀλαῖς καὶ τοῖς στέμμασι. 1546. Ἔθρεξε] περιῆλθε. 1556. Ἵνα πλήξειεν ἂν] ὅπου ῥᾷον εἴη ἂν αὐτῷ πλῆξαι, οὕτω τοπικοῦ ληφθέντος τοῦ Ἵνα.

κεφαλήν· ὁ δ' αὖ τοῦ Πηλέως, λαβὼν κανοῦν καὶ χέρνιβας, καὶ περιελθὼν τὸν βωμὸν τῆς θεοῦ, ἔφη ταῦτα· Ἄρτεμι, θύγατερ Διὸς, θηροκτόνε, ἡ ἐν νυξὶ τὸ τῆς σελήνης εἱλίσσουσα φῶς, δέξαι τὸ θῦμα τοῦτο, ἄχραντον αἷμα καλλιπαρθένου δέρης· ὃ Ἀγαμέμνων ὁ βασιλεὺς καὶ πᾶς ὁ τῶν Ἑλλήνων ϛρατός σοι δωρεῖται· δὸς δ' ἡμῖν πνεῦμα οὔριον ἐπὶ Τροίαν, ὥστ' ἐξελεῖν πολέμῳ. Ἐν δὲ τούτῳ οἵτ' Ἀτρεῖδαι, καὶ πᾶς ὁ ϛρατὸς, ἕϛασαν βλέποντες εἰς τὴν γῆν· ὁ δὲ ἱερεὺς, προσλαβὼν φάσγανον, ἐπηύξατο, καὶ τὸν λαιμὸν, ὅποι ὥσοι τὸ ξίφος, διεσκοπεῖτο· ἐγὼ δὲ συναλγήσας, ἔστην νενευκὼς εἰς τὴν γῆν· κἀν τούτῳ θαῦμ' ἦν ὁρᾷν παρὰ δόξαν· τοῦ μὲν γὰρ κτύπου τῆς τοῦ ξίφους πληγῆς πᾶσιν ἴσως ἐγένετο αἴσθησις· τὴν δὲ παρθένον οὐδεὶς οἶδεν, οἷ γῆς κατέδυ· βοᾷ δ' ὁ ἱερεὺς, καὶ ὁ ϛρατὸς ἐπεφήμησεν ἐπὶ τούτοις, ἀπροσδόκητον θεόθεν ἰδόντες προσκείμενον φάσμα, ὃ οὐδ' ἰδών τις ἂν ῥᾳδίως ἐπίστευσεν· ἔλαφος γὰρ ἀσπαίρουσα, προὔκειτο ἐπὶ γῆς, μεγίϛη μὲν ἰδεῖν, καλλίστην δὲ θέαν παρεχομένη· ἧς τὸ αἷμα περιῤῥέον κατέκλυζε τὸν βωμὸν τῆς θεοῦ· κἀν τούτῳ Κάλχας, ῥᾴων γενόμενος ἑαυτοῦ, (τί γὰρ δοκεῖς;) ἔφη τάδε· βασιλεῖς καὶ ἡγεμόνες τοῦ ϛρατοῦ τῶν Ἑλ-

1565. Ἧς αἵματι] ὑποχωλαίνει τὸ μέτρον· διὸ μετέβαλέ τις τὴν τάξιν τῶν ὀνομάτων οὕτω.

» Ἧς αἷμα βωμοῖς ῥαίνετ' ἄρδην τῆς θεοῦ.

Ὁρᾶτε τήνδε θυσίαν, ἣν ἡ θεὸς
Προὔθηκε βωμίαν, ἔλαφον ὀρειδρόμον;
Ταύτην μάλιστα τῆς κόρης ἀσπάζεται,
Ὡς μὴ μιάνῃ βωμὸν εὐγενεῖ φόνῳ.
Ἡδέως τε τοῦτ' ἐδέξατο, καὶ πλοῦν οὔριον
Δίδωσιν ἡμῖν, Ἰλίου τ' ἐπιδρομάς.
Πρὸς ταῦτα πᾶς τις θάρσος αἶρε ναυβάτης,
Χώρει τε πρὸς ναῦν· ἡμέρα γὰρ τῆδε δεῖ,
Λιπόντας ἡμᾶς Αὐλίδος κοίλους μυχοὺς,
Αἰγαῖον οἶδμα διαπερᾷν· ἐπεὶ δ' ἅπαν
Κατηνθρακώθη θῦμ' ἐν Ἡφαίστου φλογὶ,
Τὰ πρόσφορ' εὔξαθ' ὡς τύχοι νόστου στρατός·
Πέμπει δ' Ἀγαμέμνων μ', ὥστε σοι φράσαι τάδε,
Λέγειν θ' ὁποίας ἐκ θεῶν μοίρας κυρεῖ
Καὶ δόξαν ἔσχεν ἄφθιτον καθ' Ἑλλάδα,
Ἐγὼ παρὼν δὲ καὶ τὸ πρᾶγμ' ὁρῶν λέγω·
Ἡ παῖς σαφῶς σοι πρὸς θεοὺς ἀφίπτατο.
Λύπης δ' ἀφαίρει, καὶ πόσει πάρες χόλον·
Ἀπροσδόκητα δὲ βροτοῖς τὰ τῶν θεῶν,
Σώζουσί θ', οὓς φιλοῦσιν· ἦμαρ γὰρ τόδε
Θανοῦσαν εἶδε καὶ βλέπουσαν παῖδα σήν.

ΧΟ Ὡς ἥδομαί τοι, ταῦτ' ἀκούσασ' ἀγγέλου·
Ζῶν δ' ἐν θεοῖσι σὸν μένειν φράζει τέκος.

ΚΑ Ὦ παῖ, θεῶν τοῦ κλέμμα γέγονας;
Πῶς σε προσείπω; πῶς δὲ φῶ;
Παραμυθεῖσθαι τούσδε μάτην μύθους,
Ὡς σου πένθους λυγροῦ παυσαίμαν;

λήνων, ὁρᾶτε τὴν ἔλαφον ταύτην, ἣν θεὸς προὔθηκεν ἑαυτῇ ἐπὶ τοῦ βωμοῦ ἐσφαγμένην, ταύτῃ μᾶλλον, ἢ τῇ παρθένῳ δοκεῖ ἀρέσκεσθαι· καὶ γὰρ ἵνα μὴ τὸν ἑαυτῆς ναὸν εὐγενεῖ αἵματι μιάνῃ, τοῦτ' ἀντ' ἐκείνης ἀντηλλάξατο θῦμα, πλοῦν θ' ἡμῖν καὶ ἅλωσιν Τροίας διδοῦσα· ταῦτα δ' ἀκούσας ἅπας ὁ στρατὸς, ἐῤῥώσθω πρὸς ἀναγωγήν· καὶ ἤδη χωρεῖτ' ἕκαστος πρὸς τὴν ἑαυτοῦ ναῦν σὺν προθυμίᾳ· ὥστ' ἀνθημερὸν ἀναχθέντας ἡμᾶς δεῖ διαβαλεῖν τὸ Αἰγαῖον, τοὺς τῆς Αὐλίδος ὅρμους ὧδε καταλιπόντας· Καταναλωθέντος οὖν τοῦ θύματος τῷ πυρὶ, ηὔξαθ' ὁ ςρατὸς τυχεῖν νόστου εὐτυχοῦς πάλιν· καί με Ἀγαμέμνων πέμπουφεν ἐροῦντα σοι ταῦτα, οἵας τε μοίρας ἡ παρθένος τετύχηκε πρὸς θεῶν, καὶ οἷον ἦρατ' ἀθάνατον κλέος παρὰ πᾶσι τοῖς Ἕλλησιν· ἐγὼ δὲ παρὼν τοῖς γιγνομένοις, καὶ τὸ πρᾶγμ' αὐτοῖς ἑωρακὼς ὀφθαλμοῖς, μαρτυρῶ, ὡς ἡ παῖς ἀναντιῤῥήτως ἀνέπτη εἰς θεούς· ἀνθ' ὧν σέ τε πᾶσαν λύπην χρὴ ἀφελέσθαι, καὶ τῷ ἀνδρὶ μηκέτι μνησικακεῖν· τὰ γὰρ παρὰ τῶν θεῶν οὕτω τοῖς ἀνθρώποις ἐςὶν ἀπροσδόκητα ἐφ' ἑκάτερα· καὶ σώζουσιν ἐκείνων, οὓς ἂν φιλῶσι· τήνδε τὴν ἡμέραν ἑωράκαμεν τὴν σὴν θυγατέρα καὶ ζῶσαν, καὶ τεθνηκυῖαν.

ΧΟ. Ὡς ἥδιστα ἀκήκοα ταῦτα, τὴν σὴν παῖδ' ἐς θεοὺς γενομένην· τοῦτο γὰρ ἡμῖν οὗτος ἤγγειλεν.

ΚΛ. Ὦ θύγατερ, ὑπὸ τοῦ ἆρα τῶν θεῶν ἀνηρπάγης; πῶς σε προσφθέγξωμαι; τί δὲ καὶ εἴπω; ἆρά γε μάτην οὗτοι ἐῤῥίφαται οἱ λόγοι πρὸς παραμυθίαν, ὡς παυσαίμην πενθοῦσα;

ΧΟ· Καὶ μὴν Ἀγαμέμνων ἄναξ στείχει,
Τούσδ' αὐτοὺς ἔχων σοι φράζειν μύθους.
ΑΓ Γύναι, θυγατρὸς [ἕνεκ'] ὄλβιοι γενοίμεθ' ἄν·
Ἔχει γὰρ ὄντως, ἐν θεοῖς ὁμιλίαν.
Χρὴ δὲ σε λαβοῦσαν τόνδε μόσχον εὐγενῆ
Στείχειν πρὸς οἴκους, ὡς στρατὸς πρὸς πλοῦν ὁρᾷ.
Καὶ χαῖρε· χρόνια τἀμά σοι προσφθέγματα
Τροίηθεν ἔσται· καὶ γένοιτό σοι καλῶς!
ΧΟ Χαίρων, Ἀτρείδη, γῆν ἵκου Φρυγίαν.
Χαίρων δ' ἐπάνηκε,
Κάλλιστά μοι τὰ σκῦλ' ἀπὸ Τροίας ἑλών.

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΟΜΟΥ.

ΚΟ. Καὶ μὴν ἴδε Ἀγαμέμνων ἥκει, ταῦτά σοι ἐρῶν.

ΑΓ. Γύναι, ἡμεῖς μὲν ὅσον γε τῆς παιδος ἕνεκα εὐδαιμονοῦμεν· ἐκείνη γὰρ ἔχει ἤδη μακαρίαν ἐν θεοῖς ὁμιλίαν· σὲ δὲ χρὴ λαβοῦσαν τὸ βρέφος τόδε, σπεύδειν οἴκαδε· ὁ γὰρ στρατὸς μετέωρος ὅλως ἐστὶ πρὸς τὸν πλοῦν, καί μοι χαῖρε· διὰ γὰρ χρόνου ἀκούσεις μου τοῦτο αὖθις ἐκ Τροίας· ἀλλ' εὖ πάθοις αὐτή.

ΧΟ. Εὖ δὲ καὶ σὺ πάθοις Ἀτρέως υἱὲ, ἰὼν ἐπὶ Τροίαν· χαίρων δὲ καὶ νοστήσειας, κάλλιστά μοι ἐκεῖθεν κομίζων σκύλα.

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΟΜΟΥ.

# ΠΑΡΟΡΑΜΑΤΑ

## ΤΟΥ ΚΕΙΜΕΝΟΥ ΚΑΙ ΤΗΣ ΠΑΡΑΦΡΑΣΕΩΣ.

Σελ. 9, Στίχ. 1. ἧς—ἧς. 10, 21. ἅ γὼ—ἅ 'γώ. 14, 6. ἀπολόμην—ἀπωλόμην. 18, 1. ἅς—ἅς. 18, 9. οἴ σε—οἴ σε. 23, 19 ζυλότοπον—ζηλότυπον. 25, 11. ἐπερειδομέτη—ἐπερειδομένη. 26, 16. τῇ 'ρητῇ—τῇ 'ρετῇ. 28, 5. αἰσχῶν — αἰσχρῶν. 37, 18. πρρέλοιο — προέλοιο. 37, 1. ἐξομιοῦσθαι — ἐξομοιοῦσθαι. 39, 10. οἴη — οἴει. 83, 14. ὀρῷ — ὁρῶ. 61, 20. ἦν — ἦν. 63, 1. χηρῶν — χειρῶν. 65, 15. σεμοὶ — σεμνοί. 65, 22. ἀντίκα — αὐτίκα. 67, 9. τοῦτων — τούτων. 69, 2. ἥξω — ἥξω. 100, 22. αὐχ—οὐχ. 101, 4. ὁ μὲν — ὁ μὲν. 103, 12. ὢν — ὢν. 106, 5. καλοῖς — κακοῖς. 107, 15. ἀπογόγους — ἀπογόνους. 124, 7. βομίαν — βωμίαν. 133, 3. τὰ — τά. 139, 2. καραλιποῦσαι — καταλιποῦσαι. 139, 4. ἠρκεσαν — ἤρκεσαν. 139, 10. κατεφεύγοντα — καταφεύγοντα. 140, 1. θυρῶν — θηρῶν. 140, 24. μονῳ — μόνῳ. 141, 3. ἅ — ἅ. αὐτόθεν· ὀχθαλμῶν — ὀφθαλμῶν. 147, 14. χῶραν — χώραν. 154, 2. ἡτοιμάζουσι — ἑτοιμάζουσι 156, 8. τὸ δυσυχὲς — τὸ δυστυχές. 164, 15. ἀφρῷ — ἀφρῶ 178, 19. ἡγεμῶν — ἡγεμὼν. 176, 18. ἄλκμιος — ἄλκιμος. 178, 22. οὕνεχ' ἀγὼν — οὕνεχ' 'ἀγὼν. 180, 9. ὧν — ὧν. 197, 5. οὐκ ἀ — οὐκ. 201, 17. πύλας — πέλας. 214, 16. Πυθιλὴν, Πυθικήν. 225, 10. τί φῆς — φὴς. 228, 20. ἦν — ἦν. 229, 4. ἐλέσθαι — ἑλέσθαι. 230, 18. ἦν — ἦν. 231, 2. ἐκέλευσε — ἐκέλευσα. 237, 20. ἰθάνης — Ἰθάκης. 240, 27. ναυάτας — ναύτας. 276, 9. ἡ μὲ — ἡ 'μὲ. 277, 2. βούλη — βούλει. 296, 9. εἰ δὴ μὸ — εἰ δὲ μή. 313, 14. παρέξουσα, — παρέξουσαι. 316, 18. ἡ — ἡ. 322, 10. ἀποκτεῖσαι — ἀποκτεῖναι. 323, 24. ναὶ — καί. 328, 25. συμφαρᾶς — συμφορᾶς. 330, 8. ἀδρότητι — ἁβρότητι. 334, 17. μηκάθ' — μηκέθ'. 339, 12. 12. γενομένη — γενομένη. 340, 14. ἄδρα — ἄνδρα. 342, 17. ἐλέπτολιν — ἑλέπτολιν. 346, 27. ξυνφορὰν — ξυμφορὰν. 347, 7. ἀν — ἐν.

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ